καὶ τὰ μὲν εἰς ζω, ποτὲ μὲν τὸ ξ ἐν τῷ μέλλοντι ἔχουσιν. οἷον παίζω. παίξω. κράζω, κράξω. σφάζω, σφάξω. σίζω, σίξω. τρύζω, τρύξω. οἰμώζω, οἰμώξω. στενάζω, στενάξω. στηρίζω στηρίξω. αἰάζω, αἰάξω. ἀλαπάζω, ἀλαπάξω. ὀλολύζω, ὀλολύξω. ὧν ὁ παρακείμενος, τὸ χ ἔχει. ποτὲ δὲ τὸ σ ἐν τῷ μέλλοντι ἔχουσιν. οἷον, φράζω φράσω, κτίζω. κτίσω. κομίζω, κομίσω. βαδίζω, βαδίσω, ἀγωνίζω, ἀγωνίσω. ἑλληνίζω, ἑλληνίσω. φιλιππίζω, φιλιππίσω. ὧν ὁ παρακείμενος, τὸ κ ἔχει. τὰ δὲ εἰς σσω, ὡς ἐπιτοπλεῖστον εἰς ξω τὸν μέλλοντα ποιοῦσιν. οἷον, ὀρύσσω, ὀρύξω, πλήσσω, πλήξω. ὧν ὁ παρακείμενος τὸ χ. ἔχει. οἷον ὤρυχα. πέπληχα. ἐξαιρεῖται τὰ εἰς σω τὸν μέλλοντα ποιοῦντα. οἷον, ἱμάσσω, ἱμάσω. ἰνάσσω, ἰνάσω. πλάσσω, πλάσω. πάσσω, πάσω. λάσσω λάσω. ἐρέσσω, ἐρέσω. ὧν ὁ παρακείμενος, τὸ κ ἔχει.

Πέμπτη.

Πέμπτη ἐστὶ τῶν τεσσάρων ἀμεταβόλων. λ μ ν ρ. οἷον, ψάλλω. νέμω. κρίνω. σπείρω. ὧν ὁ μέλλων, διὰ τοῦ αὐτοῦ ἀμεταβόλου, περισπώμενός ἐστι, τὴν παραλήγουσαν βραχεῖαν ἔχων, ἀμετάβολον, ἢ τὸ ι τῆς διφθόγγου ἐκβάλλων, οἷον, ψαλῶ. νεμῶ. κρινῶ σπερῶ, ὁ παρακείμενος, εἰς κα οἷον ἔψαλκα. νενέμηκα. κέκρικα. ἔσπαρκα.

Ἕκτη.

Ἕκτη ἐστὶ τῶν εἰς ω καθαρόν. οἷον, ἱππάω. πλέω. βασιλεύω. ἀκούω. ὧν ὁ μέλλων εἰς σ. οἷον, ἱππάσω. πλεύσω. βασιλεύσω. ἀκούσω. ὁ παρακείμενος, εἰς κα οἷον, ἵππακα. βεβασίλευκα. ἤκουσα κοινῶς, καὶ ἀκήκοα ἀττικῶς. Τούτων οὕτως ἐχόντων, εἰδέναι δεῖ ὅτι πᾶν ῥῆμα ἢ εἰς ω βαρύτονον λήγει, οἷον τύπτω, γράφω, ἢ εἰς ω περισπώμενον, οἷον, ποιῶ, βοῶ. ἢ εἰς μι, οἷον, τίθημι. ἵστημι. περὶ ὧν λεκτέον. καὶ πρῶτον περὶ τῆς κλίσεως τῶν βαρυτόνων.

& aliqua in zo.interdum quidem xi.in futuro habent. vt ludo ludam.clamo clamabo.iugulo labo, pungo pungam,gemo gemam.ploro plorabo.suspiro suspirabo. firmo firmabo.lamentor tabor.populor populabor.ululo ululabo,quorum Ptũm perfectum chi habet,interdũ autem sigma in futuro habent. vt dico dicam.cõdo cõdam.porto portabo.uado uadam.certo certabo.græcisso græcissabo.philippisso philippissabo,quorũ. Ptũm pfectũ cappa hẽt.sed in sso vt plurimũ in xo futurum faciunt,vt fodio fodiã.percutio percutiam. quorũ Ptũm perfec. chi hẽt vt fodi percussi.Excipiuntur hæc in so futurũ faciẽtia, vt lorouerbero lorouerberabo do fortitudinem,dabo fortitudinẽ.fingo gam. spergo gam. uideo uidebo. remigo remigabo.quorum Ptũm perfectũ cappa hẽt.

Quinta.

Quinta est,quatuor immutabiliũ lambda.mi.gni.rho vt canto. pasco.tribuo.iudico.semino. quorum futurum per eandem immutabilẽ circũflexum est, penultimam breuem habens immutabilem.vel iota dipthõgi abiiciẽs.vt cãtabo.pascã.iudicabo.seminabo. Ptũm pfectũ in cappa vt,cecini.paui.iudicaui,seminaui.

Sexta.

Sexta est in omega purum vt equito, nauigo, regno, audio. Quorꝝ futurꝝ i sigma,vt eqtabo,nauigabo,gnabo audiam.prçteritum perfe.in cappa, vt æquitaui regnaui . audiui,communiter,& audiui attice.

His sic habẽtibus scire oportet ꝙ omne verbũ vel in o grauisonum desinit,vt verbero,scribo,vel in o circunflexum,vt facio clamo.vel in mi.vt pono,sto de quibus dicendũ,& primũ de declinatiõe baritonorũ.

ΡΗΜΑ ΟΡΙΣΤΙΚΟΝ, ΕΝΕΡΓΗΤΙΚΟΝ, ΣΥΖΥΓΙΑΣ ΠΡΩΤΗΣ ΤΩΝ ΒΑΡΥΤΟΝΩΝ.

Ενεστώς.

Τύπτω. τύπτεις. τύπτει. τύπτετον. τύπτετον. τύπτομεν. τύπτετε. τύπτουσι. Παρατατικός. ἔτυπτον. ἔτυπτες. ἔτυπτε. ἐτύπτετον. ἐτυπτέτην. ἐτύπτομεν. ἐτύπτετε. ἔτυπτον. Παρακείμενος. Τέτυφα. τέτυφας. τέτυφε. τετύφατον. τετύφατον. τετύφαμεν. τετύφατε. τετύφασι. Καὶ μέσος διὰ π. τέτυπα. τέτυπας. τέτυπε. τετύπατον. τετύπατον. τετύπαμεν. τετύπατε. τετύπασιν. Υπερσυντέλικος. Ετετύφειν. ἐτετύφεις. ἐτετύφει. ἐτετύφειτον. ἐτετυφείτην. ἐτετύφειμεν. ἐτετύφειτε. ἐτετύφεισαν. Καὶ μέσος διὰ π. Ετετύπειν. ἐτετύπεις. ἐτετύπει. ἐτετύπειτον. ἐτετυπείτην. ἐτετύπειμεν. ἐτετύπειτε. ἐτετύπεισαν. Αόριστος πρῶτος. Ετυψα. ἔτυψας. ἔτυψε. ἐτύψατον. ἐτυψάτην. ἐτύψαμεν. ἐτύψατε. ἔτυψαν. Αόριστος β'. Ετυπον. ἔτυπες. ἔτυπε. ἐτύπετον. ἐτυπέτην. ἐτύπομεν. ἐτύπετε. ἔτυπον. Μέλλων πρῶτος. Τύψω. τύψεις. τύψει. τύψετον. τύψετον. τύψομεν. τύψετε. τύψουσι. Μέλλων β'. Τυπῶ. τυπεῖς. τυπεῖ. τυπεῖτον. τυπεῖτον. τυποῦμεν, τυπεῖτε. τυποῦσι. Προστακτικὰ ἐνεργητικά. Ενεστώς. Τύπτε. τυπτέτω. τύπτετον. τυπτέτων. τύπτετε. τυπτέτωσαν. Παρακείμενος. Τέτυφε. τετυφέτω. τετύφετον. τετυφέτων. τετύφετε. τετυφέτωσαν. Καὶ μέσος διὰ π. Τέτυπε. τετυπέτω. τετύπετον. τετυπέτων. τετύπετε. τετυπέτωσαν. Αόριστος α'. τύψον. τυψάτω. τύψατον. τυψάτων. τύψατε, τυψάτωσαν. Αόριστος β. Τύπε. τυπέτω. τύπετον. τυπέτων. τύπετε. τυπέτωσαν.

Ευκτικὰ ἐνεργητικά. Ενεστώς.

Τύπτοιμι. τύπτοις, τύπτοι. τύπτοιτον. τυπτοίτην. τύπτοιμεν. τύπτοιτε, τύπτοιεν. Παρ. καὶ ὑπερ. Τετύφοιμι. τετύφοις. τετύφοι. τετύφοιτον.

VERBVM INDICATIVVM ACTIVVM CONIVGATIONIS PRIMÆ VARYTONORVM.

Præſens.

Verbero,ras,rat,uerberatis verberant. verberamus, uerberatis,rant. Prçteritum imperfectum. Verberabam,bas,bat,verberatis,bant, uerberabamus,tis,bant. Prçteritum perfectum uerberaui.ſti uit.uerberauiſtis runt.uerberauimus, uerberauiſtis,verberarunt . Et medium per pi. Verberaui. ſti.uit.uerberauiſtis.runt.uerberauimus. ſtis.runt . Præteritum pluſquamperfectum uerberaueram.ras.rat. verberaueratis.verberauerant. berauerامus.beraueratis.rant. Et medium per pi. Verberaueram.ras.rat.beraueratis.berauerant, uerberaueramus.tis.rauerant. Aoriſtus primus. verberaui.ſti.berauit.uerberauiſtis.runt. uerberauimus. uiſtis runt. Aoriſtus ſecundus. verberaui.ſti. berauit.ſtis.runt,verberauimus ſtis. uerunt. Futurum primum. verberabo.bis.bit.verberabitis. bunt.bimus.bitis.bunt. Futurum ſm. Verberabo uerberabis.bit.berabitis rabunt.bimus.berabitis bunt. Imperatiua actiua præſens.verbera verberet, verberate rent,berate verberent, Præteritum pfectũ verberato tu,verberato ille,verberatote,ranto, verberatote.beranto. Et medium per pi. verberato tu.rato ille.ratote.ranto.uerberatote ranto. Aoriſt⁹ primus verberato tu.rato ille.beratote ráto.ote. ráto. Aoriſtus ſecũdus Verberato tu.rato ille tote.anto. ratote.ranto. Optatiua actiua, Præſens. Verberarem res ret,raretis berarent,verberaremus verberaretis.rent. Ptũm pfectũ & pluſquampfectũ, Verberauiſſem,verberauiſſes.ſet.uerberauiſſetis ſent.

[handwritten in margin:] caret præ... ito fine.

τετυφοίτην. τετύφοιμεν. τετύφοιτε. τετύφοιεν. Καὶ μέσος διὰ τοῦ π. Τετύποιμι. τετύποις. τετύποι. τετύποιτον. τετυποίτην. τετύποιμεν. τετύποιτε. τετύποιεν. Ἀόριστος. πρῶτος. Τύψαιμι. Τύψαις. τύψαι. τύψαιτον. τυψαίτην. τύψαιμεν. τύψαιτε. τύψαιεν. Αἰολικῶς. Τύψεια. τύψειας. τύψειε. τυψείατον. τυψειάτην. τυψείαμεν. τυψείατε. τύψειαν. Ἀόριστος. β. Τύποιμι. τύποις. τύποι. Μέλλων α. Τύψοιμι. τύψοις. τύψοι. Μέλλων β. Τυποῖμι. τυποῖς. τυποῖ.

Ὑποτακτικὰ ἐνεργητικά, Ἐνεστὼς. Ἐὰν τύπτω τύπτῃς. τύπτῃ. ἐὰν τύπτητον. τύπτητον. ἐὰν τύπτωμεν. τύπτητε. τύπτωσιν. Παρακείμενος. Ἐὰν τετύφω τετύφῃς. τετύφῃ. ἐὰν τετύφητον. τετύφητον. ἐὰν τετύφωμεν. τετύφητε. τετύφωσιν. Καὶ μέσος διὰ π. Ἐὰν τετύπω. τετύπῃς. τετύπῃ. ἐὰν τετύπητον. τετύπητον. ἐὰν τετύπωμεν. τετύπητε. τετύπωσιν. Ἀόριστος. πρῶτος. Ἐὰν τύψω, τύψῃς. τύψῃ. Ἀόριστος β. Ἐὰν τύπω. τύπῃς τύπῃ. Ἀπαρέμφατα ἐνεργητικά. Ἐνεστὼς. Τύπτειν. Παρακείμενος. Τετυφέναι. Καὶ μέσος διὰ π, Τετυπέναι. Ἀόριστος πρῶτος. Τύψαι. Ἀόριστος β. Τυπεῖν. Μέλλων α, Τύψειν. Μέλλων β. Τυπεῖν. Σημείωσαι ὅτι τοῦ πληθυντικοῦ πρώτου προσώπου τῶν ἐνεργητικῶν καὶ οὐδετέρων ῥημάτων εἰς μεν λήγοντος, ἀπολείπει τὸ δυϊκὸν πρῶτον πρόσωπον. Ἔτι τοῦ πληθυντικοῦ τρίτου προσώπου λήγοντος εἰς ι ἢ εἰς αι, τὰ δυϊκὰ δεύτερα καὶ τρίτα πρόσωπα ὅμοιά εἰσιν· ὅτε ἄλλως ἔχει, ἀνόμοια διατελοῦσιν. Ἔτι μέλλοντες ἐν τοῖς προστακτικοῖς καὶ ὑποτακτικοῖς οὐκ εἰσίν. οἱ ἀόριστοι δὲ, τὴν τῶν μελλόντων σημασίαν ἔχουσιν.

Περὶ μετοχῆς.

Μετοχή ἐστι μέρος λόγου κλιτὸν, τῆς ἰδιότητος τοῦ ὀνόματος καὶ τοῦ ῥήματος μετέχον. Παρέπεται δὲ αὐτῇ, ὀκτώ. γένος. εἶδος. σχῆμα. ἀριθμός. πτῶσις. χρόνος. διάθεσις. καὶ συζυγία.

Μετοχαὶ ἐνεργητικαί. Ἐνεστὼς.

Ὁ τύπτων, τοῦ τύπτοντος. Ἡ τύπτουσα, τῆς τυπτούσης τὸ τύπτον, τοῦ τύπτοντος. Παρακείμενος,

Verberauissemus setis.uerberauissent.& mediū per pi.
Verberauissem ses.set.uerberauissetis sent.
uerberauissemus setis.uissent. Aoristus primus.
Verberauissem ses.set.uissetis sent.semus.
setis.sent.Æolice. Verberauissem ses.set.
uerberauissetis sent.semus.setis.sent. Aoristus secūdus.
Verberauissem ses.set. Futurū primū. uerberem. res,
verberet. Futurum 2m. uerberem res ret.
Subiunctiua actiua, Præsens. Si uerberem res. ret.
si retis.berent.si remus.retis.rent,
Præteritum perfectū. Si uerberauerim uerberaueris.rit.
si ueritis.rint.si uerberauerimus.tis rint.
Et medium per pi. Si uerberauerim.ris.rit.si
ueritis.rint.si uerberauerimus.tis.rint.
Aoristus primus. Si uerberauero. ris.rit. Aoristus scđs.
Si verberauero ris.rit. Infinita actiua, Præsens.
Verberare. Ptūm perfectum uerberauisse. Et medium
per pi. rauisse. Aoristus primus.uerberare. Aoristus. ii.
rare. Futurum primū.uerberaturū esse. Futurum 2m.
uerberatum ire. Nota ꝙ plurali prima
persona actiuorum & neutrorum verborum in
men desinente, deficit dualis prima persona.
Insuper plurali tertia persona desinente in iota, uel
in alpha iota, duales secundę & tertiæ personæ
similes sunt. qñ aūt aliter se habent, dissimiles sunt.
Insuper futura in imperatiuis & subiunctiuis nō sunt.
Aoristi autem futurorum significationem habent.

De participio.

Participiū est pars orationis declinabilis ꝓprietatis nōis
& verbi particeps. Accidunt autem ei octo, genus,
spēs, figura, numerꝰ, casus, tēpus, affectus, & cōiugatio.

Participia actiua. Præsens.

Hic uerberás hꝰ uerberátis. Hæc uerberās huius tis.
Hoc uerberans huius uerberantis. Ptūm perfectum.

καὶ ὑπερσυντέλικος. Ὁ τετυφὼς, τοῦ τετυφότος. Ἡ τετυφυῖα, τῆς τετυφυίας. Τὸ τετυφὸς, τοῦ τετυφότος. Καὶ μέσος διὰ π, Ὁ τετυπὼς, τοῦ τετυπότος. Ἡ τετυπυῖα, τῆς τετυπυίας. Τὸ τετυπὸς, τοῦ τετυπότος.

Ἀόριστος α. Ὁ τύψας, τοῦ τύψαντος. Ἡ τύψασα, τῆς τυψάσης. Τὸ τύψαν, τοῦ τύψαντος. Ἀόριστος β΄. Ὁ τυπὼν, τοῦ τυπόντος. Ἡ τυποῦσα, τῆς τυπούσης. τὸ τυπόν. τοῦ τυπόντος. Μέλλων ά. Ὁ τύψων, τοῦ τύψοντος. Ἡ τύψουσα, τῆς τυψούσης. τὸ τύψον, τοῦ τύψοντος. Μέλλων β. Ὁ τυπῶν, τοῦ τυποῦντος. Ἡ τυποῦσα, τῆς τυπούσης. τὸ τυποῦν, τοῦ τυποῦντος. Δεῖ δὲ εἰδέναι, ὅτι αἱ μετοχαὶ ἐνεργητικαὶ καὶ οὐδέτεραι ἐν ἀρσενικῷ καὶ οὐδετέρῳ γένει, κατὰ τὴν πέμπτην ἁπλῶν κλίνονται κλίσιν. αἱ δὲ θηλυκαὶ, κατὰ, τὴν δευτέραν.

Ὁριστικὰ παθητικά. Ἐνεστώς.

Τύπτομαι, τύπτῃ, τύπτεται. τυπτόμεθον, τύπτεσθον, τύπτεσθον. τυπτόμεθα, τύπτεσθε, τύπτονται. Παρατατικός. Ἐτυπτόμην, ἐτύπτου, ἐτύπτετο. ἐτυπτόμεθον, ἐτύπτεσθον, ἐτυπτέσθην. ἐτυπτόμεθα. ἐτύπτεσθε, ἐτύπτοντο. Παρακείμενος. τέτυμμαι, τέτυψαι, τέτυπται. τετύμμεθον, τέτυφθον, τέτυφθον. τετύμμεθα, τέτυφθε. τετυμμένοι εἰσὶ, καὶ Ἰωνικῶς, τετύφαται. Μετ' ὀλίγον μέλλων. τετύψομαι τετύψῃ, τετύψεται. Ὑπερσυντέλικος. Ἐτετύμμην, ἐτέτυψο, ἐτέτυπτο. ἐτετύμμεθον, ἐτέτυφθον, ἐτετύφθην. ἐτετύμμεθα, ἐτέτυφθε. τετυμμένοι ἦσαν, καὶ Ἰωνικῶς ἐτετύφατο. Σημειώσαι δὲ ὅτι τοῦ ἑνικοῦ τρίτου προσώπου τοῦ παθητικοῦ παρακειμένου καὶ ὑπερσυντελίκου, πρὸ τοῦ τ σύμφωνον ἔχοντος, διὰ τὴν ἀσυνταξίαν οὐ γίνεται τρίτον πρόσωπον πληθυντικόν. ἡ χρῆσις δὲ αὐτὸ ἀναπληροῖ, διὰ μετοχῆς. καὶ ὑπαρκτικοῦ ῥήματος. Ἀόριστος α΄. Ἐτύφθην, ἐτύφθης, ἐτύφθη. ἐτύφθητον, ἐτυφθήτην, ἐτύφθημεν, ἐτύφθητε, ἐτύφθησαν. Καὶ δεύτερος διὰ π. Ἐτύπην, ἐτύπης, ἐτύπη. ἐτύπητον, ἐτυπήτην. ἐτύπημεν,

& plusquāperfectum. qui verberauit. eius qui uit.
quæ verberauit. eius quæ auit. qđ rauit eius, quoduit.
Et medium per pi. qui verberauit eius qui uit.
ea quę uerberauit eius quæ uit. qđ rauit, eius, qđ rauit.
Aoristus primus. q verberauit. eius q uit. q̄ verberauit,
eius quæ uit. qđ verberauit, eius qđ uit. Aoristus scđs.
qui verberauit. eius q uit. Quæ verberauit.
Quod verberauit. Futurum primum.
Hic verberaturus h⁹ turi. Hęc ratura. h⁹ turæ. hoc turū.
huius turi. Futurum ꝭm. Hic verberaturus huius turi.
Hęc tura huius verberaturę. Hoc verberaturū h⁹ turi.
Oportet aūt scire ꝙ participia actiua & neutra
in masculino & neutro genere ꝭm quintā simplicem
declinant declinationē, sed fœminina ꝭm secundam.

Indicatiua passiua. Præsens.

Verberor. verberaris beratur. uerberamur uerberamini
berantur. verberamur ramini berantur.
Ptūm imperfectum. Verberar. berabaris rabatur.
verberamur verberabamini bantur. verberabamur
mini verberabantur. Præteritum perfectū. Vapulaui
uisti uit, vapulauimus vapulauistis. vapulauerunt.
vapulauimus stis. verberati sunt. & ionice
vapulauerunt. Postpaulo futurū. Verberabor. beris.
bitur, Ptūm plusquā perfectum. Vapulaueram ras.
rat. vapulaueramus vapulaueratis uerant.
vapolaueramus vapulaueratis. uerberati erāt. & ionice
uapulauerant. Nota autem ꝙ singulari tertia
persona passiui præteriti perfecti & plusquāperfecti
ante tai consonantem hnte propter inconcinnitatem
non fit tertia persona pluralis, vsus autem eam
supplet per participium & substantiuum verbum.
Aoristus primus. Vapulaui uisti. uit. uapulauistis
vapulauerūt. vapulauimus vapulauistis rūt. & secūdus
per pi. Vapulaui sti. uit. pul auistis uerunt. uapulauimus.

futurum ἐτύπητε, ἐτύπησαν. Μέλλων α. τυφθήσομαι, τυφθήσῃ,
Medij Aoris. τυφθήσεται. καὶ β΄ διὰ π. τυπήσομαι, τυπήσῃ, τυπήσεται.
primus Μέσος ἀόριστος πρῶτος. Ἐτυψάμην, ἐτύψω, ἐτύψατο.
ἐτυψάμεθον, ἐτύψασθον, ἐτυψάσθην. ἐτυψάμεθα,
Medij Ao. ἐτύψασθε, ἐτύψαντο. Μέσος ἀόριστος δεύτερος.
sta secundus Ἐτυπόμην, ἐτύπου, ἐτύπετο. ἐτυπόμεθον, ἐτύπεσθον, ἐτυπέσθην.
Medium fut. ἐτυπόμεθα, ἐτύπεσθε, ἐτύποντο. Μέσος μέλλων α΄. τύψομαι.
turum pm τύψῃ, τύψεται. Μέσος μέλλων β. τυποῦμαι, τυπῇ, τυπεῖται,
Medium futu. 2m Προστακτικὰ παθητικά. Ἐνεστώς.
presens Impe. Τύπτου, τυπτέσθω. τύπτεσθον, τυπτέσθων. τύπτεσθε,
Pretm perfec. τυπτέσθωσαν, Παρακείμενος. καὶ ὑπερσυντέλικος.
tum et plusq. τέτυψο, τετύφθω. τέτυφθον, τετύφθων. τέτυφθε.
Aorista primus τετύφθωσαν. Ἀόριστος πρῶτος. τύφθητι. τυφθήτω.
τύφθητον, τυφθήτων. τύφθητε, τυφθήτωσαν. καὶ δεύτερος
Aorista 2us διὰ π τύπηθι, τυπήτω, τύπητον, τυπήτων. τύπητε,
Medij Aorist τυπήτωσαν. Μέσος ἀόριστος πρῶτος. Τύψαι, τυψάσθω.
us primus τύψασθον, τυψάσθων. τύψασθε, τυψάσθωσαν. Μέσος
Medij Aorist ἀόριστος β. τυποῦ, τυπέσθω. τύπεσθον, τυπέσθων. τύπεσθε,
us 2us τυπέσθωσαν. Εὐκτικὰ παθητικά. Ἐνεστώς.
Presens optativi Τυπτοίμην, τύπτοιο, τύπτοιτο. τυπτοίμεθον, τύπτοισθον,
τυπτοίσθην. τυπτοίμεθα, τύπτοισθε, τύπτοιντο.
Preterit. per. Παρακείμενος. Τετυμμένος εἴην, εἴης, εἴη. τετυμμένω
et plusq. εἴητον. εἰήτην. τετυμμένοι εἴημεν. εἴητε, εἴησαν.
Futurum a paulo Μετ' ὀλίγον μέλλων. τετυψοίμην, τετύψοιο, τετύψοιτο.
post Ἀόριστος α. Τυφθείην, τυφθείης, τυφθείη. τυφθείητον.
Aorista primus τυφθειήτην. τυφθείημεν, τυφθείητε, τυφθείησαν.
Aorista 2us Καὶ δεύτερος διὰ π. Τυπείην, τυπείης, τυπείη.
τυπείητον, τυπειήτην. τυπείημεν, τυπείητε, τυπείησαν.
Futurum p. Μέλλων α. Τυφθησοίμην, τυφθήσοιο, τυφθήσοιτο.
Futurum 2. Μέλλων β. Τυπησοίμην, τυπήσοιο, τυπήσοιτο. Μέσος
Aorista me ἀόριστος α. Τυψαίμην, τύψαιο, τύψαιτο. τυψαίμεθον,
dius primus τύψαισθον, τυψαίσθην. τυψαίμεθα, τύψαισθε, τύψαιντο.
Μέσος ἀόριστος β. Τυποίμην, τύποιο, τύποιτο.
Aorista me Μέσος μέλλων α. Τυψοίμην. τύψοιο, τύψοιτο.
dius 2us
Medium futurum pm
Medium futurum 2m

ſtis.ſunt. Futurum primum. Verberabor beris. uerberabitur. Et. ii. per pi. uerberabor beris berabitur. Medius Aoriſtus primus. Verbearaui ſti. uit. uerberauimus uerberauiſtis uerberauerūt. uerberauimus ſtis. uerunt. Medius aoriſtus ſecundus. Verberaui ſti. uit. uerberauimus uerberauiſtis uerunt. uerberauim⁹ ſtis. runt. Mediū futurū primū. uerberabo. bis. bit. Mediū futurū ſm verberabo uerberabis bit.

Imperatiua paſsiua. Præſens.

Verberare retur. beramini rentur. uerberamíni. berentur. Ptūm perfectum & pluſquamperfectum. verberator tu. tor. ille. minor uerberantor. minor. berantor. Acriſtus primus. verberato tu. uerberator ille. minor rantor. minor uerberantor. Et ſecundus per pi. Verberator tu. tor ille. minor. rantor. minor nerberantor. Medius Aoriſtus primus. Verbera beret: uerberate berent berate berent. Medius Aoriſtus ſecundus uerbera ret. uerberate berent. berate. uerberent.

Optatiua paſsiua. Præſens.

Verberarer uerberareris. raretur. beraremur. remini uerberarentur. beraremur mini uerberarentur. Prǽteritū ꝑ fectū. Verberatus eſſem. eſſes. eſſet. berati eſſetis eſſent. uerberati eſſemus eſſetis. ſint. Poſtpaulo futurum. Verberer. verbereris. beretur: Aoriſtus primus. Vapulauiſſem ſes. ſet. uapulauiſſetis uiſſent, uapulauiſſemus. uapulauiſſetis. ſent. Et ſecundus per pi. Verberer. verbereris. verberetur. remini. rentur. remur remini verberentur. Futurum primum. Verberer verbereris. retur. Futurum ſm. Verberer. reris retur. Medius Aoriſtus primus. Verberauiſsē ſes. ſet. verberauiſſem⁹ rauiſſetis verberauiſſent, verberauiſſemus ſetis ſent. Medius Aoriſtus ſecundus, verberauiſſem ſes ſet. Medium futurum primum. Verberem verberes ret.

Μέσος μέλλων β· Τυποίμην, τυποῖο, τυποῖτο.

Ὑποτακτικὰ παθητικά. Ἐνεστώς.

Presens. Ἐὰν τύπτωμαι, τύπτῃ, τύπτηται. ἐὰν τυπτώμεθον, τύπτησθον, τύπτησθον. ἐὰν τυπτώμεθα, τύπτησθε, τύπτωνται.
preteritum perfectum Παρακείμενος. Τετυμμένος ἐὰν ὦ, ᾖς, ᾖ. τετυμμένω ἐὰν ἦτον, ἦτον. τετυμμένοι ἐὰν ὦμεν, ἦτε, ὦσιν.
Aoristus p[9] Ἀόριστος α. Ἐὰν τυφθῶ, τυφθῇς, τυφθῇ. ἐὰν τυφθῆτον
Aoristus 2 τυφθῆτον. ἐὰν τυφθῶμεν, τυφθῆτε, τυφθῶσι. Καὶ β διὰ π. Ἐὰν τυπῶ, τυπῇς, τυπῇ. ἐὰν τυπῆτον, τυπῆτον. ἐὰν τυπῶμεν, τυπῆτε, τυπῶσι. Μέσος ἀόριστος α.
Medius aoristus p[9] Ἐὰν τύψωμαι, τύψῃ, τύψηται. Μέσος ἀόριστος β.
Medius aoristus 2us Ἐὰν τύπωμαι, τύπῃ τύπηται.

Ἀπαρέμφατα παθητικά. Ἐνεστώς.

Τύπτεσθαι. Παρακείμενος, Τετύφθαι. Μετ' ὀλίγον μέλλων, Τετύψεσθαι. Ἀόριστος α, Τυφθῆναι. Καὶ β διὰ π, τυπῆναι. Μέλλων α, τυφθήσεσθαι. Μέλλων β, τυπήσεσθαι. Μέσος ἀόριστος α, τύψασθαι. Μέσος ἀόριστος β, τυπεῖσθαι. Μέσος μέλλων α, τύψεσθαι. Μέσος μέλλων, β, τυπεῖσθαι.

Μετοχαὶ παθητικαί. Ἐνεστώς.

Ὁ τυπτόμενος τοῦ τυπτομένου. Ἡ τυπτομένη, τῆς τυπτομένης. Τὸ τυπτόμενον, τοῦ τυπτομένου. Παρακείμενος. Ὁ τετυμμένος, τοῦ τετυμμένου. Ἡ τετυμμένη, τῆς τετυμμένης. Τὸ τετυμμένον, τοῦ τετυμμένου. Μετ' ὀλίγον μέλλων. Ὁ τετυψόμενος, ἡ τετυψομένη, τὸ τετυψόμενον. Ἀόριστος α. Ὁ τυφθείς, τοῦ τυφθέντος. ἡ τυφθεῖσα, τῆς τυφθείσης. τὸ τυφθέν, τοῦ τυφθέντος. Καὶ δεύτερος διὰ π. Ὁ τυπείς, τοῦ τυπέντος. Ἡ τυπεῖσα, τῆς τυπείσης. τὸ τυπέν, τοῦ τυπέντος. Μέλλων. α. Ὁ τυφθησόμενος, ἡ τυφθησομένη, τὸ τυφθησόμενον. Καὶ δεύτερος διὰ π. Ὁ τυπησόμενος, ἡ τοπησομένη, τὸ τυπησόμενον. Μέσος ἀόριστος α, Ὁ τυψάμενος, ἡ τυψαμένη, τὸ τυψάμενον. Μέσος ἀόριστος β. Ὁ τυπόμενος, ἡ τυπομένη, τὸ τυπόμενον.

Medium futurum ꝭm. Verberem uerbe res ret.

Subiunctiua pasſiua. Præſens.

Si verberer. verbereris. retur. ſi verberemur. mini. verberentur. ſi verberemur verberemini. rentur. Ptūmperfectum. Verberatus ſi fuerim fueris fuerit. ſi fueritis fuerint. verberati ſi fuerimus tis. rint. Aoriſtus primus. Si vapulauero. ris. rit. ſi vapulaueritis. rint. ſi vapulauerimus. ritis rint. Et ſecundus per pi. Si vapulauero. ris rit. ſi vapulaueritis uerint. ſi vapulauerimus ritis. rint. Medius aoriſtus primus. Si verberauero ris uerit. Medius Aoriſtus ſecundus. Si verberauero ris. rit.

Infinita paſsiua. Præſens.

Verberari, Ptūmpſectū vapulauiſſe. Poſtpaulo futurū uapulatum ire. Aoriſtus primus. Vapulauiſſe. Et ſcd̄s per pi. vapulauiſſe. Futurū. i. uerberatum iri. Futurū. ii. uerberatum iri. Medius aoriſtus. i. verberare. Medius aoriſtus. ii. verberare. Medium futurū primum uerberatum ire. Medium futurū ꝭm uerberatum ire.

Participia paſsiua, Præſens.

Hic vapulans, huius uapulātis. hæc uapulās, huius uapulantis, hoc uapulās, huius tis. Ptūmperfectum, hic verberatus, huius uerberati. hæc uerberata, huius verberatæ. hoc verberatū, huius uerberati. Poſtpaulo futurum, hic uerberandus, hęc uerberanda, hoc uerberādū. Aoriſtus primus, hic verberatus, h⁹ rati hæc uerberata, huius uerberatę. hoc verberatum, huius rati. Et ſecūdus per pi. hic uerberatus huius rati. hæc uerberata, huius ratę. hoc ratū, huius uerberati. Futurum primū, hic uerberandus, hęc verberanda, hoc uerberandum. Et ꝭm per pi, hic verberandus. hæc verberāda, hoc randū. Medius aoriſtus primus. qui verberauit. quæ uerberauit. qđ uerberauit. Medius. aoriſtus ſecūdus. qui uerberauit q̄ uerberauit, qđ rauit.

Μέσος μέλλων α. Ὁ τυψόμενος, ἡ τυψομένη, τὸ τυψόμενον. Μέσος μέλλων β. Ὁ τυπούμενος, ἡ τυπουμένη, τὸ τυπούμενον. Σημείωσαι ὅτι αἱ μετοχαὶ παθητικαὶ, καὶ κοιναὶ, καὶ ἀποθετικαὶ, ἐν ἀρσενικῷ καὶ οὐδετέρῳ γένει κλίνονται κατὰ τὴν τετάρτην ἁπλῆν κλίσιν, χωρὶς τοῦ πρώτου καὶ δευτέρου ἀορίστου, περισποσυλλάβως κλινομένων ἐν ἀρσενικῷ καὶ οὐδετέρῳ γένει. αἱ θηλυκαὶ δὲ, κατὰ τὴν δευτέραν ἁπλῆν. Καὶ περὶ μὲν τῆς κλίσεως τῶν βαρυτόνων, ἅλις. νῦν δὲ περὶ τῶν περισπωμένων ῥημάτων λέγωμεν.

Περὶ τῶν περισπωμένων ῥημάτων.

Τὰ περισπώμενα ῥήματα ἀπὸ τῆς ἕκτης συζυγίας τῶν βαρυτόνων κατὰ συναίρεσιν γίνεται. οἷον ἀπὸ τοῦ ποιέω, ποιῶ. Εἰσὶ δὲ τούτων αἱ συζυγίαι, τρεῖς. ὧν ἡ πρώτη, διὰ τοῦ εω προφέρεται, οἷον, ποιέω ποιῶ. καὶ ἐν τῇ παραληγούσῃ τοῦ μέλλοντος καὶ πάντων τῶν παρῳχημένων. πλὴν τοῦ παρατατικοῦ τὸ η ἔχει. οἷον πεποίηκα, ἐπεποιήκειν. ἐποίησα, ποιήσω. πλὴν τινῶν διὰ τοῦ εσω τὸν μέλλοντα ποιούντων. οἷον, τελῶ, τελέσω. ὀλῶ, ὀλέσω. φρονῶ, φρονέσω. καὶ φρονήσω. αἰνῶ, αἰνέσω, καὶ αἰνήσω. ἀρκῶ, ἀρκέσω. καλῶ, καλέσω. φορῶ, φορέσω, καὶ φορήσω. πονῶ, πονέσω, καὶ πονήσω.

Ὁριστικὰ ἐνεργητικά. Ἐνεστώς.

Ποιέω, ῶ. ποιέεις, εῖς. ποιέει, εῖ. ποιέετον, εῖτον. ποιέετον. εῖτον. ποιέομεν, οῦμεν. ποιέετε, εῖτε. ποιέουσι, οῦσι. Παρατατικός. ἐποίεον, ουν. ἐποίεες, εις. ἐποίεε, ει. ἐποιέετον, εῖτον. ἐποιεέτην, είτην. ἐποιέομεν, οῦμεν. ἐποιέετε. εῖτε. ἐποίεον, ουν. Παρακείμενος. Πεποίηκα, πεποίηκας, πεποίηκε. Ὑπερσυντέλικος. Ἐπεποιήκειν, ἐπεποιήκεις, ἐπεποιήκει. Ἀόριστος πρῶτος. Ἐποίησα. ἐποίησας, ἐποίησε. Μέλλων, Ποιήσω, ποιήσεις, ποιήσει.

Προστακτικὰ ἐνεργητικά. Ἐνεστώς.

Ποίεε, εῖ. ποιεέτω, είτω. ποιέετον, εῖτον. ποιεέτων, είτων. Ποιέετε, εῖτε. ποιεέτωσαν, είτωσαν. Παρακείμενος. πεποίηκε, πεποιηκέτω. Ἀόριστος. Ποίησον, ποιησάτω.

Praesens
imperfectum
perfectum
plusquamperfectum
futurum
Praesens
perfectum
…ouibus.

Mediũ futurũ primũ, hic verberatur⁹, hęc verberatura, hoc verberaturum. Mediũ futurũ.ii. hic verberaturus, hæc verberatura, hoc verberaturum. Nota ꝙ participia passiua & comunia & deponentia in masculino & neutro genere declinantur secundũ quartã simplicẽ. declinationem, præter primum & secundum Aoristum inæqualiter declinatos in masculino & neutro genere, & fœminina, secundum secundam simplicem. Et de declinatione barytonorum satis.

Nunc autem de circunflexis dicamus.

De circunflexis verbis.

Circunflexa verba à sexta coniugatione barytonorum per synæresim fiunt. vt facio. facio: Sunt autem horum coniugationes tres. Quarum prima per eo profertur, vt facio ci. & in penultima futuri & omnium præteritorum. præter præteritum imperfectum ita habet. vt feci feceram. feci faciam, præter quædam per eso futurum facientia velut perficio pficiam. pdo perdã. sapio sapiã. & piã. laudo laudabo. & laudabo. sufficio sufficiã. voco vocabo. iduor, iduar & iduar. Laboro rabo. & laborabo.

Indicatiua actiua. Pręsens.

Facio. facis. facit. facitis duo, faciunt duo. facimus facitis citis. faciunt. unt.

Pręteritum imperfectum faciebam faciebas, faciebat, faciebatis, duo faciebant duo. feciebamus, faciebatis, faciebant. Præteritum perfectum feci, fecisti, fecit. præteritum plusquamperfectum feceram feceras. rat. Aoristus primus.

Feci, fecisti, fecit. Futurum faciam, facies, facies, faciet.

Imperatiua actiua, Pręsens.

Fac faciet, facite duo. faciant duo. faciate faciant. Præteritum perfectum facito tu, facito ille. Aoristus. facito tu. facito ille.

Ευκτικὰ ἐνεργητικά. Ενεςώς.

Presens Ποιέοιμι, οῖμι. ποιέοις. οῖς. ποιέοι, οῖ. ποιέοιτον, οῖτον
ποιεοίτην, οίτην. ποιέοιμεν, οῖμεν. ποιέοιτε, οῖτε. ποιέοιεν, οῖεν
perfectum Παρακείμενος. Πεποιήκοιμι, πεποιήκοις, πεποιήκοι.
Aoristus Αόριςος. Ποιήσαιμι, ποιήσαις, ποιήσαι. Καὶ αἰολικῶς.
Ποιήσεια, ποιήσειας, ποιήσειε. Μέλλων.
futurum Ποιήσοιμι, ποιήσοις. ποιήσοιμι, ποιήσοις. ποιήσοι.

Υποτακτικὰ ἐνεργητικά. Ενεςώς.

Presens Εὰν ποιέω, ῶ. ποιέῃς, ῇς. ποιέῃ, ῇ. ἐὰν ποιέητον, ποιῆτον.
ποιέητον ῆτον. ἐὰν ποιέωμεν, ῶμεν. ποιέητε, ῆτε. ποιέωσι, ῶσι.
P. perfectum Παρακείμενος. Εὰν πεποιήκω, πεποιήκῃς. πεποιήκῃ.
Aoristus Αόριςος. α΄. Εὰν ποιήσω, ποιήσῃς, ποιήσῃ.

Απαρέμφατα ἐνεργητικά. Ενεςώς.

Presens. Ποιέειν, εῖν. Παρακείμενος. Πεποιηκέναι. ἀόριςος. α΄.
perfectum ποιῆσαι. Μέλλων. ποιήσειν.
Aoristus, futurum

Μετοχαὶ ἐνεργητικαί. Ενεςώς.

Ο ποιέων, ῶν. τοῦ ποιέοντος, οῦντος. Η ποιέουσα, οῦσα. τῆς
ποιεούσης, ούσης. Τὸ ποιέον, οῦν. τοῦ ποιέοντος, οῦντος.
Παρακείμενος. Ο πεποιηκὼς, τοῦ πεποιηκότος.
Η πεποιηκυῖα, τῆς πεποιηκυίας. Τὸ πεποιηκὸς, τοῦ πεποιηκότος.
Αόριςος πρῶτος. Ο ποιήσας, Η ποιήσασα, τὸ ποιῆσαν.
Μέλλων. Ο ποιήσων, Η ποιήσουσα, τὸ ποιῆσον.

Οριςικὰ παθητικά. Ενεςώς.

Presens Ποιέομαι, οῦμαι. ποιέῃ, ῇ. ποιέεται, εῖται. ποιεόμεθον, ούμεθον.
ποιέεσθον, εῖσθον. ποιέεσθον, εῖσθον. ποιεόμεθα, ούμεθα. ποιέεσθε,
εῖσθε. ποιέονται, οῦνται. Παρατατικός.
P. imperfectum Εποιεόμην, ούμην. ἐποιέου, οῦ. ἐποιέετο, εῖτο. ἐποιεόμεθον,
ούμεθον. ἐποιέεσθον, εῖσθον ἐποιεέσθην, εἴσθην, ἐποιεόμεθα,
ούμεθα. ἐποιέεσθε, εῖσθε. ἐποιέοντο, οῦντο. Παρακείμενος.
P. perfectum Πεποίημαι, πεποίησαι. πεποίηται. πεποιήμεθον.
πεποίησθον, πεποίησθον. πεποιήμεθα, πεποίησθε. πεποίηνται.
Paulo post futurum Μετ᾽ ὀλίγον μέλλων. Πεποιήσομαι, πεποιήσῃ. πεποιήσεται.
Plusquamperfectum Υπερσυντέλικος. Επεποιήμην, ἐπεποίησο.
ἐπεποίητο. ἀόριςος πρῶτος. Εποιήθην, ἐποιήθης.
Aoristus p.

Optatiua actiua, Præsens.

Facerem faceres ret. faceretis facerent. faceremus faceretis facerent.

Ptūmperfectum, fecissem fecisses fecisset.

Indefinitum. fecissem fecisses fecisset, & æolice fecissem fecisses fecisset. Futurum faciam facias faciat.

Subiunctiua actiua Præsens.

Si faciam facias faciat. si faciatis faciant. Si faciamus faciatis faciant.

Præteritum pfectū cum fecerim feceris fecerit.

Aoristus primus. si fecero feceris fecerit.

Infinita actiua. Præsens.

Facere, Ptūm pfectum fecisse. Aoristus primus. fecisse. Futurum factumire.

Participia actiua, Præsens.

Hic faciens, huius facientis, hęc faciens, huius facientis, hoc faciens, huius facientis.

Ptūm perfectum, qui fecit eius qui fecit.

Quæ fecit eius quæ fecit. Quod fecit, eius quod fecit.

Aoristus primus. Qui fecit. Quæ fecit. Quod fecit.

Futurum, Hic facturus. hæc factura. hoc facturum.

Indicatiua passiua. Præsens.

Fio fis fit. fimus duo.

fitis duo fiunt duo fimus.

fitis fiunt. Pręteritum imperfectum.

Fiebam fiebas fiebat. fiebamus duo.

fiebatis duo. fiebant. fiebamus fiebatis fiebant. Pręteritum perfectum.

Factus sum factus es, factus est, facti sumus facti estis, facti sunt. facti sumus, facti estis, facti sunt.

Postpaulo futurum. Fiam fies fiet.

Præteritum plusquāperfectū factus fuerā, factus fueras. factus fuerat. Aoristus. i. Factus fui. factus fuisti.

ἐποιήθη. Μέλλων α. Ποιηθήσομαι. ποιηθήσῃ. ποιηθήσεται. Μέσος ἀόριστος πρῶτος. Ἐποιησάμην, ἐποιήσω, ἐποιήσατο. Μέσος μέλλων α. Ποιήσομαι, ποιήσῃ, ποιήσεται.

Προστακτικὰ παθητικά. Ἐνεστώς.

Ποιέου, οῦ. ποιεέσθω, είσθω. ποιέεσθον, εῖσθον, ποιεέσθων, είσθων. ποιέεσθε, ποιεῖσθε. ποιεέσθωσαν. είσθωσαν. Παρακείμενος. Πεποίησο, πεποιήσθω. ἀόριστος α. Ποιήθητι, ποιηθήτω. Μέσος ἀόριστος α. Ποίησαι, ποιησάσθω.

Εὐκτικὰ παθητικά. Ἐνεστώς.

Ποιεοίμην, οίμην. ποιέοιο, οῖο. ποιέοιτο, οῖτο. ποιεοίμεθον, οίμεθον. ποιέοισθον, οῖσθον, ποιεοίσθην, οίσθην. ποιεοίμεθα, οίμεθα. ποιέοισθε, οῖσθε. ποιέοιντο, οῖντο. Παρακείμενος. Πεποιήμην, πεποίῃο, πεποίῃτο. Μετ' ὀλίγον μέλλων. Πεποιησοίμην, πεποιήσοιο, πεποιήσοιτο. Ἀόριστος πρῶτος. Ποιηθείην, ποιηθείης, ποιηθείη. Μέλλων α. Ποιηθησοίμην, ποιηθήσοιο, ποιηθήσοιτο. Μέσος ἀόριστος πρῶτος. Ποιησαίμην, ποιήσαιο, ποιήσαιτο. Μέσος μέλλων πρῶτος. Ποιησοίμην, ποιήσοιο, ποιήσοιτο.

Ὑποτακτικὰ παθητικά. Ἐνεστώς.

Ἐὰν ποιέωμαι, ῶμαι. ποιέῃ, ῇ. ποιέηται, ῆται. ἐὰν ποιεώμεθον, ώμεθον. ποιέησθον, ῆσθον. ποιέησθον, ῆσθον. ἐὰν ποιεώμεθα, ώμεθα. ποιέησθε, ῆσθε. ποιέωνται, ῶνται. Παρακείμενος. Ἐὰν πεποιῶμαι, πεποιῇ, πεποιῆται. Ἀόριστος πρῶτος. Ἐὰν ποιηθῶ, ποιηθῇς, ποιηθῇ. Μέσος ἀόριστος πρῶτος. Ἐὰν ποιήσωμαι, ποιήσῃ, ποιήσηται.

Ἀπαρέμφατα παθητικά. Ἐνεστώς.

Ποιέεσθαι, εῖσθαι. Παρακείμενος, πεποιῆσθαι. Μετ' ὀλίγον μέλλων, Πεποιήσεσθαι. Ἀόριστος πρῶτος. Ποιηθῆναι. μέλλων α. Ποιηθήσεσθαι. μέσος ἀόριστος α. Ποιήσασθαι. μέσος μέλλων α. Ποιήσεσθαι.

Μετοχαὶ παθητικαί. Ἐνεστώς.

Ὁ ποιεόμενος, ούμενος. τοῦ ποιεομένου, ουμένου. ἡ ποιεομένη, ουμένη, τῆς ποιεομένης, ουμένης. Τὸ ποιεόμενον, ούμενον. τοῦ ποιεομένου, ουμένου. Παρακείμενος. Ὁ πεποιημένος,

factus fuit. Futurum primum. Fiam. fies. fiet.
Medius Aoristus primus. Feci fecisti fecit.
Medium futurum primum. faciam facies faciet.

Imperatiua passiua, Pręsens.

Fi fiat fite duo. fiant duo.
fiet fiant. Pręteritum perfectum.
Fito tu. fito ille. Aoristus primus, fito tu. fito ille.
Medius Aoristus. i. facito tu, facito ille.

Optatiua passiua, Pręsens.

Fierem fieres fieret. fieremus
duo, fieretis duo. fierent duo.
fieremus fieretis fierent. Pręteritumperfectum.
Factus essem. factus esses factus esset. Post paulo
Futurum. Fiam fias fiat.
Aoristus primus. factus essem. factus esses. factus esset.
futurum primum. Fiam fias fiat.
Medius Aoristus primus. Facerem faceres faceret.
Medium futurum primum. Fiam. fias fiat.

Subiunctiua passiua, Pręsens.

Si fierem fieres fieret. Si fieremus duo.
fieretis duo. fierent duo. Si fieremus
fieretis fierent. Præteritum perfectum.
Si factus fuerim fueris fuerit. Aoristus primus.
Si factus fuero fueris fuerit. Medius aoristus primus.
Si factus fuero fueris fuerit.

Infinitiua passiua, Pręsens.

Fieri. Præteritum perfectum, factum fuisse. post paulo
futurum facturum iri. Aoristus primus, fieri. Futurũ primũ
factum iri. Medius Aoristus primus facere. Medium
futurum primum facturum esse.

Participia passiua, Præsens.

Qui fit, eius qui fit. Quæ fit.
eius quę fit. Quod fit, eius.
quod fit. præteritum perfectum. Hic factus.

ἡ πεποιημένη, τὸ πεποιημένον. Μετ᾽ ὀλίγον μέλλων. Ὁ πεποιησόμενος, ἡ πεποιησομένη, Τὸ πεποιησόμενον. Ἀόριστος πρῶτος. Ὁ ποιηθεὶς, ἡ ποιηθεῖσα, τὸ ποιηθέν. μέλλων α. Ὁ ποιηθησόμενος, ἡ ποιηθησομένη, Τὸ ποιηθησόμενον. μέσος Ἀόριστος πρῶτος. Ὁ ποιησάμενος. ἡ ποιησαμένη, Τὸ ποιησάμενον. μέσος μέλλων πρῶτος. Ὁ ποιησόμενος, ἡ ποιησομένη, τὸ ποιησόμενον.

Περὶ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων.

Η δευτέρα συζυγία τῶν περισπωμένων διὰ τοῦ αω προφέρεται. οἷον, βοάω, ῶ. δράω, ῶ. καὶ ἐν τῇ παραληγούσῃ τοῦ μέλλοντος τὸ η ἢ τὸ α ἔχει. οἷον, βοήσω, δράσω.

Ὁριστικὰ ἐνεργητικά. Ἐνεστώς.

Βοάω, ῶ. βοάεις, ᾷς. βοάει, ᾷ. βοάετον, ᾶτον. βοάετον, ᾶτον. βοάομεν, ῶμεν. βοάετε, ᾶτε. βοάουσι, ῶσι. Παρατατικός. Ἐβόαον, ων. ἐβόαες, ας. ἐβόαε, α. ἐβοάετον, ᾶτον. ἐβοαέτην, άτην. ἐβοάομεν, ῶμεν. ἐβοάετε, ᾶτε. ἐβόαον, ων. Παρακείμενος. Βεβόηκα, βεβόηκας, βεβόηκε. Ὑπερσυντέλικος. Ἐβεβοήκειν, ἐβεβοήκεις, ἐβεβοήκει. ἀόριστος α. ἐβόησα, ἐβόησας, ἐβόησε. μέλλων. Βοήσω, σεις, σει.

Προστακτικὰ ἐνεργητικά. Ἐνεστώς.

Βόαε, α. βοαέτω, άτω. βοάετον, ᾶτον. βοαέτων, άτων. βοάετε, ᾶτε. Βοαέτωσαν, άτωσαν. παρακείμεν. Βεβόηκε, βεβοηκέτω. Ἀόριστος α. Βόησον, βοησάτω.

Εὐκτικὰ ἐνεργητικά. Ἐνεστώς.

Βοάοιμι, ῷμι. βοάοις. ῷς. βοάοι, ῷ. βοάοιτον, ῷτον. βοαοίτην, ῴτην. βοάοιμεν, ῷμεν. βοάοιτε, ῷτε. βοάοιεν, ῷεν. Παρακείμενος. Βεβοήκοιμι, βεβοήκοις. κοι. ἀόριστος α. Βοήσαιμι, βοήσαις, βοήσαι. αἰολικῶς. Βοήσεια, βοήσειας, ειε. μέλλων. βοήσοιμι, βοήσοις. σοι.

Ὑποτακτικὰ ἐνεργητικά. Ἐνεστώς.

Ἐὰν βοάω, ῶ. βοάῃς. ᾷς. βοάῃ, ᾷ. ἐὰν βοάητον, ᾶτον. βοάητον, ᾶτον. ἐὰν βοάωμεν, ῶμεν. βοάητε, ᾶτε. βοάωσι, ῶσι. παρακείμενος. Ἐὰν βεβοήκω, κῃς. κῃ. ἀόριστος α. ἐὰν βοήσω, σῃς, σῃ.

Hęc facta. Hoc factum. Postpaulo futurum.
Hic faciendus, Hæc facienda. Hoc faciendum.
Aoristus primus. Hic factus, hæc facta, hoc factum.
futurũ primum. Hic faciendus. hæc facienda.
hoc faciendum. Medius aoristus primus. Qui fecit.
Quæ fecit. Quod fecit.. Medium futurum primum.
Hic facturus. Hæc factura. Hoc facturum.

De secunda coniugatione circũflexorum.

Secunda coniugatio circũflexorum per ao, profertur, vt clamo facio. & in penultima futuri, ita vel alpha habet, vt clamabo. faciam.

Indicatiua actiua, Pręsens.

Clamo clamas, clamat, clamatis, clamant. clamamus clamatis clamant. præteritum imperfectum.
Clamabã clamabas clamabat. clamabatis clamabãt. clamabamus clamabatis clamabant. pręteritũ perfectũ.
Clamaui clamauisti clamauit. præteritũ plusq̃pfectũ.
Clamaueram clamaueras clamauerat. Aoristus primus.
Clamaui uisti, uit. Futurum clamabo, bis, bit.

Imperatiua actiua, Præsens.

Clama clamet, clamate, clament, clamate.
Clament. pręteritũ perfectum, Clamato tu. clamato ille.
Aoristus primus. clamato tu. clamato ille.

Optatiua actiua, Præsens.

Clamarem clamares clamaret. clamaretis clamarent.
Clamaremus clamaretis clamarent. pręteritũ perfectũ.
clamauissem. uisses. uisset. Aoristus. i. clamauissem sses, sset. ęolicus clamauissem. uisses. uisset. Futurum clamem clames clamet.

Subiunctiua actiua, Præsens.

Si clamarem clamares clamaret. si clamaremus clamaretis rent. Si clamaremus clamatetis clamarẽt.
præteritum perfectum. Si clamauerim ris, rit.
Aoristus primus. Si clamauero ris, rit.

Απαρέμφατα ἐνεργητικά. Ἐνεστώς.

Βοάειν, ᾶν. παρακείμενος. Βεβοηκέναι. ἀόριστος α, Βοῆσαι. μέλλων. βοήσειν.

Μετοχαὶ ἐνεργητικαί. Ἐνεστώς.

Ὁ βοάων, ῶν. τοῦ βοάοντος, ῶντος. ἡ βοάουσα, ῶσα. τῆς βοαούσης, ώσης. τὸ βοάον, ῶν. τοῦ βοάοντος, ῶντος. παρακείμενος. ὁ βεβοηκώς. ἡ βεβοηκυῖα. τὸ βεβοηκός. ἀόριστος α. ὁ βοήσας. ἡ βοήσασα, τὸ βοῆσαν. μέλλων, ὁ βοήσων, ἡ βοήσουσα, τὸ βοῆσον.

Ὁριστικὰ παθητικά. Ἐνεστώς.

Βοάομαι, ῶμαι. βοάῃ, ᾷ. βοάεται, ᾶται. βοαόμεθον, ώμεθον. βοάεσθον, ᾶσθον. βοάεσθον, ᾶσθον. βοαόμεθα, ώμεθα. βοάεσθε. ᾶσθε. βοάονται, ῶνται. παρατατικός. ἐβοαόμην, ώμην. ἐβοάου, ῶ. ἐβοάετο, ᾶτο. ἐβοαόμεθον, ώμεθον. ἐβοάεσθον, ᾶσθον. ἐβοαέσθην, άσθην. ἐβοαόμεθα, ώμεθα. ἐβοάεσθε, ᾶσθε. ἐβοάοντο, ῶντο. παρακείμενος. Βεβόημαι, βεβόησαι. ται. μετ᾽ ὀλίγον μέλλων. Βεβοήσομαι, βεβοήσῃ, σεται. Ὑπερσυντέλικος. ἐβεβοήμην, ἐβεβόησο, ἐβεβόητο. ἀόριστος α. ἐβοήθην, ἐβοήθης, θη. μέλλων πρῶτος. βοηθήσομαι, βοηθήσῃ, ται. Μέσος ἀόριστος πρῶτος. ἐβοησάμην, ἐβοήσω, το. μέσος μέλλων πρῶτος βοήσομαι βοήσῃ, εται. Προστακτικὰ παθητικά. Ἐνεστώς.

Βοάου, ῶ. βοαέσθω, άσθω. βοάεσθον, ᾶσθον. βοαέσθων, άσθων. βοάεσθε, ᾶσθε. βοαέσθωσαν, άσθωσαν. παρακείμενος Βεβόησο, βεβοήσθω. ἀόριστος α. Βοήθητι, βοηθήτω. μέσος ἀόριστος πρῶτος. Βόησαι, βοησάσθω.

Εὐκτικὰ παθητικά. Ἐνεστώς.

Βοαοίμην, ῴμην. βοάοιο, ῷο. βοάοιτο. ῷτο. βοαοίμεθον, ῴμεθον. βοάοισθον, ῷσθον. βοαοίσθην, ῴσθην. βοαοίμεθα. ῴμεθα, βοάοισθε, ῷσθε. βοάοιντο, ῷντο. Παρακείμενος. Βεβοήμην, βεβοῇο, βεβοῇτο. μετ᾽ ὀλίγον μέλλων. Βεβοησοίμην, βεβοήσοιο, βεβοήσοιτο. Ἀόριστος πρῶτος, Βοηθείην, βοηθείης, βοηθείη. μέλλων πρῶτος. Βοηθησοίμην, βοηθήσοιο. βοηθήσοιτο. μέσος ἀόριστος πρῶτος. Βοησαίμην, βοήσαιο

Infinita actiua, Præsens.
Clamare.ptūm perfectum.clamauisse. aoristus primus. clamauisse. Futurum clamatum ire.

Participia actiua, Præsens.
Hic clamans,huius clamantis,hæc clamans,huius clamantis,hoc clamans,huius clamantis.
Præteritum perfectum.Qui clamauit.Quæ clamauit, quod clamauit.aoristus.i.Qui clamauit,quę clamauit, qđ clamauit.futurū,hic clamatur⁹, hęc tura,hoc turū.

Indicatiua pasſiua, Præsens.
Clamor clamaris clamatur,clamamur.
clamamini clamantur,clamamur clamamini
clamantur. Præteritum imperfectum.clamabar
clamabaris clamabatur. clamabamur clamabamini
clamabantur,clamabamur clamabamini
clamabantur. Ptæteritū perfectum clamatus sum es est.
postpaulo futurum.Clamabor beris,bitur.
Ptūm plusquamperfectū clamatus fuerā fueras fuerat.
Aoristus.i.clamatus fui fuisti fuit.Futurum primum.
clamabor beris.bitur.Medius aoristus primus .
clamaui clamauisti uit. Mediū futurū primū clamabo, bis,bit.

Imperatiua pasſiua, Pręsens.
Clamare clametur clamamini clamentur.
clamamini clamentur.Præteritum perfectum.
clamator tu,clamator ille.Aorist⁹.i.clamator tu,tor ille.
Medius aoristus. i. clamator tu, clamator ille.

Optatiua pasſiua, Præsens.
Clamarer clamareris clamaretur.clamaremur duo.
clamaremini duo.clamarentur duo.clamaremur.
clamaremini clamarentur. Præteritum perfectum.
Clamatus essem esses esset.Postpaulo futurum
clamer.clameris.clametur. Aoristus primus.
clamarer,clamareris,clamaretur. Futurum.i.clamer,
clameris clamet.Medius aoristus prim⁹.clamē clames.

σαιτο. μέσος μέλλων α. Βοησοίμην, βοήσοιο, σοιτο.

Υποτακτικὰ παθητικά. Ενεστώς.

Εὰν βοάωμαι, ῶμαι. βοάῃ, ᾷ. βοάηται. ᾶται. ἐὰν βοαόμεθον, ώμεθον. βοάησθον, ᾶσθον. βοάησθον, ᾶσθον. ἐὰν βοαώμεθα, ώμεθα, βοάησθε, ᾶσθε. βοάωνται, ῶνται. Παρακείμενος. ἐὰν βεβοῶμαι, βεβοῇ, βεβοῆται. Αόριστος α. ἐὰν βοηθῶ, βοηθῇς, ῇ. μέσος. αόριστος α. ἐὰν βοήσωμαι, βοήσῃ, σηται.

Απαρέμφατα παθητικά. Ενεστώς.

Βοάεσθαι, ᾶσθαι. Παρακείμενος, Βεβοῆσθαι. μετ' ὀλίγον μέλλων, Βεβοήσεσθαι. Αόριστος α, βοηθῆναι. μέλλων πρῶτος, βοηθήσεσθαι. μέσος αόριστος πρῶτος, βοήσασθαι. μέσος μέλλων α, βοήσεσθαι.

Μετοχαὶ παθητικαί. Ενεστώς.

Ο βοαόμενος, ώμενος. τοῦ βοαομένου, ωμένου. Η βοαομένη. ωμένη. τῆς βοαομένης. ωμένης. Τὸ βοαόμενον, ώμενον. τοῦ βοαομένου, ωμένου. Παρακείμενος. Ο βεβοημένος. Η βεβοημένη, τὸ βεβοημένον. Μετ' ὀλίγον μέλλων. Ο βεβοησόμενος, ἡ βεβοησομένη, τὸ βεβοησόμενον. Αόριστος α. Ο βοηθεὶς, ἡ βοηθεῖσα. τὸ βοηθέν. μέλλων α. ὁ βοηθησόμενος, ἡ βοηθησομένη, τὸ βοηθησόμενον. μέσος αόριστος α. ὁ βοησάμενος. ἡ βοησαμένη, τὸ βοησάμενον. μέσος μέλλων α. ὁ βοησόμενος, ἡ βοησομένη, τὸ βοησόμενον.

Περὶ τῆς τρίτης συζυγίας.

Η τρίτη συζυγία τῶν περισπωμένων, διὰ τοῦ οω προφέρεται. οἷον, χρυσόω, ῶ καὶ ἐν τῇ παραληγούσῃ τοῦ μέλλοντος τὸ ω μέγα ἔχει. οἷον, χρυσώσω. πλὴν τοῦ ἀρόω ἀρόσω. ὀμόω. ὀμόσω. ἐνόω, ἐνόσω. βόω, βόσω. ὀνόω, ὀνόσω.

Οριστικὰ ἐνεργητικά. Ενεστώς.

Χρυσόω, ῶ. χρυσόεις, οῖς. χρυσόει, οῖ. χρυσόετον, οῦτον. χρυσόετον, οῦτον. χρυσόομεν, οῦμεν. χρυσόετε, οῦτε. χρυσόουσι, οῦσι. Παρατατικός. Εχρύσοον, ουν. ἐχρύσοες, ους. ἐχρύσοε, ου. ἐχρυσόετον, οῦτον. ἐχρυσοέτην, ούτην. ἐχρυσόομεν, οῦμεν.

met. Mediũ futurũ primũ clamẽ, clames, clamet.

Subiunctiua passiua, pręsens.

Si clamarer, clamareris, clamaretur. Si clamaremur, clamaremint, clamarentur.
Si clamaremur, clamaremini, clamarentur.
Pręteritum perfectũ, si clamatus fuerim, fueris, rit.
Aoristus.i. si clamatus fuero, fueris, fuerit. Medius aoristus primus. Si clamauero clamaueris rit.

Infinita passiua, præsens.

Clamari. pteritũ pfectũ clamatũ esse. Postpaulo futurũ clamatũ iri. Aoristus primus. clamatũ esse. futurũ primum. clamatum iri. Medius aoristus.i. clamauisse. Medium futurum.i. clamatumiri.

Participia passiua, pręsens.

Qui clamatur, eius qui clamatur. Quę clamat. eius quæ clamatur. Quod clamatur, eius quod clamatur. Præteritum perfectum. Hic clamatus, hęc clamata, hoc clamatum. Postpaulo futurum, hic clamandus, hæc clamanda. hoc clamandum. Aoristus pri. hic clamatus hęc clamata, hoc atum. Futurũ primũ, hic clamãdus, hæc clamanda, hoc clamandum. Medius aoristus pri. Qui clamauit. quę clamauit. quod clamauit. Mediũ futurum.i. hic clamaturus. hęc clamatura, hoc clamaturum.

De tertia coniugatione.

Tertia coniugatio circunflexorum p oo, pfert, ut inauro, & in penultima futuri o mega habet, ut inaurabo. pręter aro, arabo. Iuro, iurabo, unio, uniã. Nutrio, nutriã, cõqror, ꝯquerar.

Indicatiua passiua, præsens.

Deauro, deauras, deaurat, tis duo, deaurãt duo. deauramus, deauratis, deaurant.
Præteritũ imperfectũ. Deaurabã deaurabas abat deaurabatis deaurabant. deaurabamus,

ὁ χρυσόετε, οῦτε. ἐχρύσοον, ουν. Παρακείμενος. Κεχρύσωκα, κας, κε. Υπερσυντέλικος. Εκεχρυσώκειν, κεις, κει. Αόριστος, α. Εχρύσωσα, ἐχρύσωσας, ἐχρύσωσε. μέλλων. Χρυσώσω, χρυσώσεις, χρυσώσει.

Προστακτικὰ ἐνεργητικά. Ενεστώς.

Χρύσοε, ου. χρυσοέτω, ούτω. χρυσόετον, οῦτον χρυσοέτων, ούτων. χρυσόετε, ουτε. χρυσοέτωσαν, ούτωσαν. Παρακείμενος. Κεχρύσωκε, κεχρυσωκέτω. Αόριστος πρῶτος. Χρύσωσον, χρυσωσάτω.

Ευκτικὰ ἐνεργητικά. Ενεστώς.

Χρυσόοιμι, οῖμι. χρυσόοις, οῖς. χρυσόοι, οῖ. χρυσόοιτον, οῖτον. χρυσοοίτην, οίτην. χρυσόοιμεν, οῖμεν. χρυσόοιτε, οῖτε. χρυσόοιεν, οῖεν. Παρακείμενος, Κεχρυσώκοιμι, κεχρυσώκοις, κεχρυσώκοι. Αόριστος α. Χρυσώσαιμι, χρυσώσαις. χρυσώσαι. Αἰολικῶς. Χρυσώσεια, σειας, σειε. μέλλων. Χρυσώσοιμι, χρυσώσοις, χρυσώσοι.

Υποτακτικὰ ἐνεργητικά. Ενεστώς.

Εὰν χρυσόω, ῶ χρυσόῃς, οῖς. χρυσόῃ, οῖ. ἐὰν χρυσόητον, ῆτον. χρυσόητον, ῆτον. ἐὰν χρυσόωμεν, ῶμεν. χρυσόητε, ῆτε. χρυσόωσι, ῶσι. Παρακείμενος. Εὰν κεχρυσώκω, κεχρυσώκῃς, κεχρυσώκῃ. Αόριστος α. Εὰν χρυσώσω, χρυσώσῃς, χρυσώσῃ.

Απαρέμφατα ἐνεργητικά. Ενεστώς.

Χρυσόειν, οῦν. Παρακείμενος, Κεχρυσωκέναι. Αόριστος α. Χρυσῶσαι. μέλλων, χρυσώσειν.

Μετοχαὶ ἐνεργητικαί. Ενεστώς.

Ο χρυσόων, ῶν. τοῦ χρυσόοντος, οῦντος. Η χρυσόουσα, οῦσα. τῆς χρυσοούσης, ούσης. Τὸ χρυσόον, οῦν. τοῦ χρυσόοντος, οῦντος. Παρακείμενος. Ο κεχρυσωκὼς, τοῦ κεχρυσωκότος. Η κεχρυσωκυῖα, τῆς κεχρυσωκυίας. Τὸ κεχρυσωκὸς, τοῦ κεχρυσωκότος. Αόριστος πρῶτος. Ο χρυσώσας, τοῦ χρυσώσαντος. Η χρυσώσασα, τῆς χρυσωσάσης. Τὸ χρυσῶσαν, τοῦ χρυσώσαντος. μέλλων. Ο χρυσώσων, τοῦ χρυσώσοντος. Η χρυσώσουσα, τῆς χρυσωσούσης. Τὸ χρυσῶσον, τοῦ χρυσώσοντος.

deaurabatis, deaurabant. Præteritum perfectum. Deauraui, uisti uit Ptūm plusquā pfectū deauraueram ras. rat. Aoristus primus. deauraui sti. deaurauit. Futurum . deaurabo, deaurabis, deaurabit.

Imperatiua actiua, Pręsens.

Deaura. deauret. deauretis. deaurent. deaurate. deaurent. Pręteritum perfectum. deaurato tu. deaurato ille. Aoristus primus. Deaurato tu. deaurato ille.

Optatiua actiua, Pręsens.

Deaurarem. deaurares. deauraret. deauraretis. deaurarent. deauraremus. deauraretis. deaurarent. Ptūm perfe. Deaurauissem deaurauisses deaurauisset. Aoristus. 1. deaurauissem deaurauisses deaurauisset. Aeolice deaurauissem. sses. sset. Futurum deaurem deaures deauret.

Subiunctiua actiua, Præsens.

Si deaurem. deaures. deauret. si deauretis. deaurent. Si deauremus deauretis deaurent. Ptūm perfect. Si deauraucrim deauraueris deaurauerit. Aoristus primus. Si deaurauero raueris. rauerit.

Infinitiua actiua. Præsens.

Deaurare. Ptūm perfectū deaurauisse. Aoristus primus. deaurauisse. Futurum deauratumire.

Participia actiua, Præsens.

Hic deaurans, huius rantis. Hęc deaurans, huius deaurantis, hoc deaurans, huius deaurantis. Pręteritum perfectum. Qui deaurauit, eius qui uit. Quæ deaurauit, eius quæ uit. Quod deaurauit. eius quod uit. Aoristus primus. Qui deaurauit eius qui uit. Quę deaurauit eius quæ uit. Quod deaurauit ei⁹ quod deaurauit. Futurū hic turus. huius deauraturi, hæc deauratura, huius deauraturæ, hoc deauraturum, huius deauraturi.

Οριστικὰ παθητικά. Ενεστώς.

Χρυσόομαι, οῦμαι. χρυσόῃ, οῖ. χρυσόεται, οῦται. χρυσόομεθον, ούμεθον. χρυσόεσθον, οῦσθον. χρυσόεσθον, οῦσθον. χρυσοόμεθα, ούμεθα. χρυσόεσθε, οῦσθε. χρυσόονται, οῦνται. Παρατατικός. Εχρυσοόμην, ούμην. ἐχρυσόου, οῦ. ἐχρυσόετο, οῦτο. ἐχρυσοόμεθον, ούμεθον. ἐχρυσόεσθον, οῦσθον. ἐχρυσοέσθην, ούσθην. ἐχρυσοόμεθα. ούμεθα. ἐχρυσόεσθε, οῦσθε. ἐχρυσόοντο οῦντο. Παρακείμενος. Κεχρύσωμαι, κεχρύσωσαι, σωται. μετ᾽ ὀλίγον μέλλων. Κεχρυσώσωμαι, κεχρυσώσῃ, κεχρυσώσεται. Υπερσυντέλικος. Εκεχρυσώμην. ἐκεχρύσωσο, ἐκεχρύσωτο. Αόριστος α. Εχρυσώθην, ἐχρυσώθης, ἐχρυσώθη. μέλλων α. Χρυσωθήσομαι, σῃ, σεται. μέσος ἀόριστος πρῶτος. Εχρυσωσάμην, ἐχρυσώσω, ἐχρυσώσατο, μέσος μέλλων α. Χρυσώσωμαι, χρυσώσῃ, χρυσώσεται.

Προστακτικὰ παθητικά. Ενεστώς.

Χρυσόου, οῦ. χρυσοέσθω, ούσθω. χρυσόεσθον, οῦσθον. χρυσοέσθων, οῦσθων. χρυσόεσθε, οῦσθε. χρυσοέσθωσαν, ούσθωσαν. Παρακείμενος. Κεχρύσωσο, κεχρυσώσθω. Αόριστος πρῶτος. Χρυσώθητι, χρυσωθήτω. μέσος ἀόριστος α. Χρύσωσαι, χρυσωσάσθω.

Ευκτικὰ παθητικά. Ενεστώς.

Χρυσοοίμην, οίμην. χρυσόοιο. οῖο. χρυσόοιτο, οῖτο. χρυσοοίμεθον, οίμεθον. χρυσοοίσθον, οῖσθον. χρυσοοίσθην, οίσθην. χρυσοοίμεθα, οίμεθα. χρυσόοισθε, οῖσθε. χρυσόοιντο, οῖντο. Παρακείμενος. Κεχρυσώμην. κεχρύσωο. σωτο. Μετ᾽ ὀλίγον μέλλων. Κεχρυσωσοίμην, κεχρυσώσοιο, κεχρυσώσοιτο. Αόριστος α. Χρυσωθείην, χρυσωθείης, χρυσωθείη. Μέλλων α. Χρυσωθησοίμην, χρυσωθήσοιο, χρυσωθήσοιτο. Μέσος ἀόριστος πρῶτος. Χρυσωσαίμην. χρυσώσαιο, χρυσώσαιτο. Μέσος μέλλων πρῶτος. Χρυσωσοίμην, χρυσώσοιο, χρυσώσοιτο.

Υποτακτικὰ παθητικά. Ενεστώς.

Εὰν χρυσόωμαι, ῶμαι. χρυσόῃ, οῖ. χρυσόηται, ῶται. χρυσοώμεθον, ώμεθον. χρυσόησθον, ῶσθον. χρυσόησθον, ῶσθον.

Indicatiua pafsiua, Præſens.

Deauror. deauraris. deauratur. deauramur. deauramini. deaurantur. deauramur. deauramini deaurantur. Ptūm impſectū. deaurabar deaurabaris deaurabatur deaurabamur deaurabamini deaurabantur, deaurabamur bamini. deurabantur. Præteritum perfectum. deauratus fui. deauratus fuiſti. deauratus fuit. Poſtpaulo futurū. Deaurabor. raberis. deaurabitur. Ptūm pluſquāperfectū. deauratus fueram fueras fuerat. Aoriſtus primus. deauratus fui fuiſti fuit. Futurum primum. deaurabor, beris. bitur. Medius Aoriſtus primus. deauraui deauraulſti deaurauit. Mediū futurū primū Deaurabo deaurabis deaurabit.

Imperatiua paſsiua, Præſens.

Deaurare. deauretur. deauraminor. deaurantor. deauraminor deaurantor. Ptūm perfectum. Deaurator tu. rator. ille. Aoriſtus primus. deaurator tu. rator ille. Medius aoriſtus primus. deaurato tu tu. deaurato ille.

Optatiua paſsiua, Præſens.

Deuararer. deuerareris. raretur. raremur. remini. rentur. deauraremur. deauraremini. deaurarennr. Præteritum perfectū. Deauratus eſſem. deauratus eſſes. eſſet. Pnſtpaulo futurum. deaurer. deaureris. deauretur. Aoriſtus. primus. Deauratus eſſem. eſſes. eſſet. Futurum primum. deaurer. deaureris. deauretur. Medius aoriſtus. i. Deaurem. deaures. deauretur. Medium Futurum. i. deaurem. deaures deauret.

Subiunctiua paſsiua, Præſens.

Si deaurer. deaureris. deauretur. Si deauremur. deauremini. deaurentur.

ἐὰν χρυσοώμεθα, ώμεθα. χρυσόησθε, ῶσθε. χρυσόωνται, ῶνται.
Παρακείμενος. Ἐὰν κεχρυσώμαι, κεχρυσῶ κεχρυσῶται.
Ἀόριστος α. Ἐὰν χρυσωθῶ, χρυσωθῇς, χρυσωθῇ. μέσος ἀόριστος α. Ἐὰν χρυσώσωμαι, χρυσώσῃ, χρυσώσηται. Ἀπαρέμφατα παθητικά. Ἐνεστώς.

Χρυσόεσθαι, οῦσθαι. Παρακείμενος, Κεχρυσῶσθαι. μετ᾽ ὀλίγον μέλλων, Κεχρυσώσεσθαι. Ἀόριστος πρῶτος. Χρυσωθῆναι. μέλλων πρῶτος. Χρυσωθήσεσθαι. μέσος ἀόριστος πρῶτος. Χρυσώσασθαι. μέσος μέλλων πρῶτος. Χρυσώσεσθαι.

Μετοχαὶ παθητικαί. Ἐνεστώς.

Ὁ χρυσοόμενος, ούμενος. τοῦ χρυσοομένου, ουμένου. ἡ χρυσοομένη, ουμένη. τῆς χρυσοομένης, ουμένης. Τὸ χρυσοόμενον, ούμενον. τοῦ χρυσοομένου, ουμένου. Παρακείμενος. Ὁ κεχρυσωμένος. ἡ κεχρυσωμένη. Τὸ κεχρυσωμένον. μετ᾽ ὀλίγον μέλλων. Ὁ κεχρυσωσόμενος. Ἡ κεχρυσωσομένη. Τὸ κεχρυσωσόμενον. Ἀόριστος α. Ὁ χρυσωθείς. ἡ χρυσωθεῖσα. Τὸ χρυσωθέν. μέλλων α. Ὁ χρυσωθησόμενος. ἡ χρυσωθησομένη. Τὸ χρυσωθησόμενον. μέσος ἀόριστος α. Ὁ χρυσωσάμενος. ἡ χρυσωσαμένη. Τὸ χρυσωσάμενον. μέσος μέλλων α. ὁ χρυσωσόμενος. ἡ χρυσωσομένη. τὸ χρυσωσόμενον. Δεῖ δὲ εἰδέναι, ὅτι σπανίως ἀρίσκονται μέσοι παρακείμενοι καὶ δεύτεροι ἀόριστοι ἐπὶ τῆς πρώτης καὶ δευτέρας συζυγίας τῶν περισπωμένων. οἷον. κτυπῶ, ἔκτυπα, ἔκτυπον. δουπῶ, δέδουπα, ἔδουπον. μυκῶ, μέμυκα, ἔμυκον. χρεμισμῶ, ἔχραισμον. ὀλισθῶ, ὤλισθον. ἁμαρτῶ, ἥμαρτον. βλαστῶ, ἔβλαστον. ἀλαλκῶ, ἤλαλκον. ἐπὶ δὲ τῆς τρίτης, οὐδαμῶς.

Περὶ τῶν εἰς μι ῥημάτων.

Τὰ εἰς μι ῥήματα ἀπὸ τῶν περισπωμένων ῥημάτων γίνονται. Εἰσὶ δὲ τούτων αἱ συζυγίαι, τέσσαρες. αἱ πρώτη ἀπὸ τῆς πρώτης τῶν περισπωμένων γίνεται. οἷον, πιθέω, ῶ. πίθημι. ἔχει δὲ τὸ η ἐν τῇ παραληγούσῃ

Si deauremur. deauremini. deaurentur.
Præteritum perfectum. si deauratus fuerim fueris fuerit.
Aoristus pri. Si deauratus. ro. eris. erit.
Medius Aoristus primus. Si deaurauero deauraueris deaurauerit.

Infinitiua passiua Præsens.

Deauraui. Præteritum perfectum. deauratum esse.
Postpaulo futurum deauratumiri. Aorístus primus.
Deauratumesse. Futurum primum deauratumiri.
Medius Aoristus. i. deaurauisse. medium futurum primum. Deauratumire.

Participia passiua, Præsens.

Qui deauratur, eius qui deauratur.
Quæ deauratur, eius quæ deauratur.
Quod deauratur, eius quod deauratur.
Præteritum perfectum. Hic deauratus, hæc deaurata.
hoc deauratum. Postpaulo futurum. Hic deaurandus.
Hæc deauranda, hoc deaurandum. Aoristus primus.
Hic deauratus, hæc deaurata, hoc deauratum.
Futurum primum. Hic deaurandus, hæc deauranda,
hoc deaurādū. Medius Aoristus prim⁹. Qui deaurauit.
Quæ deaurauit. Quod deaurauit. Medium
Futurum primum, hic deauraturus. Hæc deauratura,
hoc deauraturum. Oportet autem scire, quod raro
inueniuntur media prçterita perf. & secundi Aoristi
in prima, & secunda coniugatione cir/
cunflexorum, vt pulso pulsaui, pulsaui, strepo strepui,
strepui. mugio, mugiui, mugiui. Iuuo iuui, iuui.
Labor lapsus, sum, pecco peccaui, germino aui,
expello iuuans, expuli iuuans. Sed in tertia nequaquā.

De in mi verbis.

In mi verba à circunflexis verbis fiunt
sunt autem horum coniugationes quatuor, quarum
prima à prima circunflexorum fit.
vt pono, pono, habet vero ita in penultima

τοῦ ἐνεργητικοῦ. τὸ ε δὲς, ἐν τῇ τοῦ παθητικοῦ. οἷον, τίθημι, τίθεμαι. Ὁριστικὰ ἐνεργητικά. Ἐνεστώς.

Τίθημι. τίθης. τίθησι. τίθετον. τίθετον. τίθεμεν. τίθετε. τιθεῖσι, καὶ ἰωνικῶς, τιθέασι. Παρατατικός. Ἐτίθην, ἐτίθης, ἐτίθη. ἐτίθετον, ἐτιθέτην, ἐτίθεμεν, ἐτίθετε, ἐτίθεσαν. Παρακείμενος. Τέθεικα, τέθεικας, τέθεικε. Ὑπερσυντέλικος. Ἐτεθείκειν, ἐτεθείκεις, ἐτεθείκει. γράφονται δὲ διὰ τῆς ει διφθόγγου ἔθει βοιωτικῷ. Ἀόριστος α. Ἔθηκα, ἔθηκας, κε. ἀντὶ ἔθησα ἔξω τοῦ κανόνος. ὁμοίως καὶ ἔδωκα, καὶ ἧκα, καὶ ἤνεγκα, καὶ εἶπα. ταῦτα γὰρ οὐκ ἐφύλαξαν τὸ σύμφωνον τοῦ οἰκείου μέλλοντος. Ἀόριστος β. Ἔθην, ἔθης. ἔθη. ἔθετον, ἐθέτην, ἔθεμεν. ἔθετε, ἔθεσαν. Μέλλων Θήσω, θήσεις θήσει.

Προστακτικὰ ἐνεργητικά. Ἐνεστώς.

Τίθετι, τιθέτω. τίθετον, τιθέτων, τίθετε, τιθέτωσαν. Παρακείμενος. Τέθεικε, τεθεικέτω. Ἀόριστος β. Θέτι, ἢ θὲς, θέτω.

Εὐκτικὰ ἐνεργητικά. Ἐνεστώς.

Τιθείην, τιθείης, τιθείη. τιθείητον τιθειήτην. τιθείημεν, τιθείητε, τιθείησαν, καὶ τιθεῖεν. Παρακείμενος. τεθείκοιμι, τεθείκοις, τεθείκοι. Ἀόριστος β. Θείην, θείης, θείη, μέλλων. Θήσοιμι, οις, σοι.

Ὑποτακτικὰ ἐνεργητικά. Ἐνεστώς.

Ἐὰν τιθῶ, τιθῇς, τιθῇ. ἐὰν τιθῆτον. τιθῆτον. ἐὰν τιθῶμεν, τιθῆτε, τιθῶσι. Παρακείμενος. ἐὰν τεθείκω, τεθείκῃς, τεθείκῃ. ἀόριστος β. ἐὰν θῶ, θῇς, θῇ.

Ἀπαρέμφατα ἐνεργητικά. Ἐνεστώς.

Τιθέναι. Παρακείμενος. τεθεικέναι. ἀόριστος β. Θεῖναι. μέλλων. Θήσειν.

Μετοχαὶ ἐνεργητικαί. Ἐνεστώς.

Ὁ τιθεὶς, τοῦ τιθέντος. Ἡ τιθεῖσα, τῆς τιθείσης. Τὸ τιθὲν, τοῦ τιθέντος. Παρακείμενος. Ὁ τεθεικώς. ἡ τεθεικυῖα. Τὸ τεθεικός. Ἀόριστος β. Ὁ θείς.

actiui, e autem in penultima passiui, vt pono, ponor. Indicatiua actiua. Præsens.

Secundus aoristus in on definit, vt verberaui suans consonantẽ medii præteriti perfecti. Quæcunq; igitur dicta sunt de eo, & de aoristo secundo dicentur. Cum præsens per vnam simplicẽ cõsonantẽ profertur, per eandem & secundum præteritum perfe. & secũdus aoristus, vt deficio defeci defeci. Cum vero pręsens per duas consonantes profertur, per quã verbale profertur, per eandem & medium præteritũ perfectũ & secũdus aoristus. vt fodio effossio fodi effodi. noceo nocumentum, nocui, obfui. Cum vero præsens in zo vel in sso desinens in xi Futurum facit, medium pręteritum perfectũ & secundus aoristus gãma hẽnt, vt clamo clamabo clamaui clamaui clamaui. fodio fodiam fodi fodi. Cum vero præsens in zo desinens in so futurum facit, delta medium præteritum perfectum & secundus aoristus habent, vt dico dicam dixi dixi. Cum vero medium pręteritum perfectum pure profertur similiter & aoristus, vt audiui audiui. Item cum secundus aoristus a barytono themate

γινόμενος, ἰσοσυλλαβεῖ τῷ πρώτῳ. οἷον, ἔτυψα, ἔτυπον. ἤκουσα, ἤκουον. ἀπὸ δὲ περισπωμένου γινόμενος, ἐλαττοῦται. οἷον, δουπῶ, ἐδούπησα, ἔδουπον. μυκῶ, ἐμύκησα, ἔμυκον. χραισμῶ, ἐχραίσμησα, ἔχραισμον. ὀλισθῶ, ὠλίσθησα, ὤλισθον. κτυπῶ, ἐκτύπησα, ἔκτυπον. ἀνωγῶ, ἠνώγησα, ἤνωγον. Ἐπεὶ ὁ δεύτερος ἀόριστος δισύλλαβος καὶ ὑπερδισύλλαβος, εἴτε ἀπὸ βαρυτόνου, εἴτε περισπωμένου θέματος γίνεται, βραχυπαραληκτεῖ δίχρον παραλήγων. οἷον, ἔτυπον. ἔγραφον. ἔλιπον. καὶ εἰ μὲν ἐστὶν ευ δίφθογγος ἐν τῷ ἐνεστῶτι, ἀποβάλλεται τὸ ε αὐτῆς ἐν τῷ δευτέρῳ. οἷον, φεύγω, ἔφυγον. τεύχω, ἔτυχον. ἐλεύθω, ἤλυθον. εἰ δὲ αυ, τὸ υ. οἷον, παύω, ἔπαον. ὁμοίως εἰ ἐστὶν ει, ἀποβάλλεται τὸ ε. οἷον, λείπω, ἔλιπον. πείθω, ἔπιθον. ὀφείλω, ὄφελον. ἐπεὶ ἐστὶν αι, ἀποβάλλεται τὸ ι. οἷον, φαίνω, ἔφανον. καίω, ἔκαον. δαίω, ἔδαον. εἰ δὲ ἐστὶν η, τρέπεται εἰς α. οἷον, λήθω, ἔλαθον. πήθω, ἔπαθον. λήχω, ἔλαχον, φήγω, ἔφαγον. δήκω, ἔδακον.

Ὅτε δὲ ὁ μέσος παρακείμενος τὸ α ἀμετάβολον ἔχει, καὶ ἐνεστὼς δύο ἀμετάβολα ἔχοντος γινόμενος, ὁμοίως ὁ δεύτερος ἀόριστος τὸ α ἔχει. οἷον, κάμνω, κέκαμα, ἔκαμον. δάμνω, δέδαμα, ἔδαμον. τάμνω, τέταμα, ἔταμον. Ὅτε δὲ ἐν δισυλλάβοις ἐνεστῶσιν αἱρεθῇ τὸ ε ἢ μόνον, ἢ μετὰ τοῦ ι, ἀμεταβόλου προηγουμένου ἢ ἐπιφερομένου, ὡς ἐπιτοπλεῖστον τρέπεται τὸ ε εἰς α ἐν τῷ δευτέρῳ ἀορίστῳ. οἷον, στέλλω, ἔσταλον. τέμνω, ἔταμον. δέρω, ἔδαρον. πέρθω, ἔπραθον, καὶ ἔπαρθον. δέρκω, ἔδρακον, καὶ ἔδαρκον. κλέπτω, ἔκλαπον. πλέκω, ἔπλακον. τρέπω, ἔτραπον. τρέφω, ἔτραφον. βρέχω, ἔβραχον. κείρω, ἔκαρον. φθείρω, ἔφθαρον. σπείρω, ἔσπαρον. Τούτων οὕτως ἐχόντων, εὕρηνται ἀόριστοι δεύτεροι ἀπὸ περισπωμένων μακροπαραληκτοῦντες. οἷον, χραισμῶ, ἔχραισμον. ὀλισθῶ, ὤλισθον. βλαστῶ, ἔβλαστον. ἀλαλκῶ, ἤλαλκον. ἁμαρτῶ, ἥμαρτον. δουπῶ, ἔδουπον. ἀνωγῶ, ἤνωγον. καὶ ἔτι ἀπὸ βαρυτόνων. οἷον, εἶπον. εἷλον. εἷλκον. εἶδον.

factus æquisyllabat primo vt verberaui verberaui, audiui audiui, sed a circunflexo factus minuitur, vt strepo strepui strepui, mugio mugiui mugiui. iuuo iuui iuui. labor lapsus sum lapsus sum. strepo strepui strepui strepui. iubeo iussi. iussi. Item secundus aoristus dissyllabus & hyperdissyllabus siue a barytono siue circunflexo themate fit, breui desinit ancipiti penultimans, vt verberaui scripsi reliqui. & si est e y psilon diphthongus in præsenti abiicitur e eius in secũdo aoristo, vt fugio fugi. compos sum, cõpos fui, venio veni. si autem αυ, y psilon, vt sedo sedaui. similiter si est e iota abiicitur e, vt relinquo reliqui. persuadeo psuasi. iuuo iuui. Etiã, si est alpha iota abiicit iota, vt ostendo ostendi. vro ussi. scio sciui. Si vero est ita, mutatur in a, vt capio cepi, patior passus sum. sortior sortitus sum, comedo edi mordeo momordi. Cũ vero medium præteritũ perf. a immutabilẽ habet a præsenti duas immutabiles habente factum, similiter & secundus aoristus alpha habet, vt laboro laboraui laboraui, domo domui domui. Incido incidi incidi. Quãdo aũt i dissyllabis p̃sentibus iuẽtũ fuerit, e, vel solum, vel cum iota immutabili præcedente vel subsequente vt plurimum vertitur e in a in secundo aoristo, vt mitto misi. Incido incidi, excorio excoriaui, populor populat⁹ sum. & latus" sũ, video vidi & vidi, furor foratus sum. plico plicui, verto verti nutrio nutriui, irrigo irrigaui, tondeo totondi corrumpo corrup, semino seminaui. His sic habentibus, inuenti sunt aoristi secundi a circunflexis longa penultimantes, vt iuuo iuui labor lapsus sum, germino germinaui, expello expuli, pecco peccaui, turbo turbaui, iubeo iussi, & etiam a barytonis. vt dixi cepi traxi vidi veni

ἄρον. ἦλθον. ἦγον. ἤνεγκον. ἔπληγον σωματικῶς, ἔπλαγον δὲ ψυχικῶς. ἔπεφνον.

Περὶ τοῦ πρώτου μέλλοντος.

Ὁ μέλλων πρῶτος ἀπὸ τοῦ ἐνεστῶτος, καὶ συνάρχεται αὐτῷ. οἷον, γράφω, γράψω, λέγω, λέξω, τὰς αὐτὰς συλλαβὰς ἔχων. τὰ δὲ εἰς ἐν λ λήγοντα βαρύτονα, περιττάοντα μέλλοντα ποιοῦσιν. οἷον, μέλω, μελήσω. θέλω, θελήσω. ὀφείλω, ὀφειλήσω. ἔτι τὸ αὔξω, αὐξήσω ποιεῖ, καὶ ἕψω, ἑψήσω, καὶ ἀλέξω. ἀλεξήσω, ὅτι παρὰ τοῖς παλαιοῖς περισπώμενα ὄντα, οἱ ἀθηναῖοι βαρύτονα πεποιήκασι. φυλάττουσι μέντοι τὴν τῶν περισπωμένων κλίσιν. Ἔτι πάντα τὰ περισπώμενα. οἷον, ποιῶ, ποιήσω. βοῶ, βοήσω. χρυσῶ, χρυσώσω. Τὰ εἰς μι δὲ τοὐναντίον πάσχοντα, ἀποβάλλουσι τὴν κατ' ἀρχὴν ἀναδίπλωσιν ἐν τῷ μέλλοντι. οἷον, ἵστημι. στήσω. δίδωμι, δώσω. φυλάττει δὲ ὁ μέλλων τὴν παραλήγουσαν τοῦ ἰδίου ἐνεστῶτος. οἷον, γράφω, γράψω. λείπω, λείψω. πλὴν τῶν τῆς πέμπτης συζυγίας τῶν βαρυτόνων. ταύτης γὰρ οἱ μέλλοντες ἀποβάλλουσιν ἢ τὸ ἀμετάβολον, ἢ τὸ ι τῆς διφθόγγου, ἵνα τὴν παραλήγουσαν αὐτῶν βραχεῖαν ποιήσωσιν. οἷον, ψάλλω, ψαλῶ. βάλλω, βαλῶ. φαίνω, φανῶ. σπείρω, σπερῶ. καὶ πλὴν τῶν σεσημειωμένων. οἷον, πλέω, πλάσω. ῥέω, ῥάσω. χέω. χάσω. πνέω, πνάσω. οἱ γὰρ τούτων μέλλοντες προσλαμβάνουσιν υ ἀπὸ ἀρχαίων ἐνεστώτων γινόμενοι, πλάω, ῥάω, χάω, πνάω. Ἔτι καὶ τὸ καίω καύσω, καὶ κλαίω κλαύσω, ἢ ἀπὸ τοῦ καύω καὶ κλαύω, ἢ ὅτι τῶν ἀθηναίων ἐκβαλλόντων τὸ ι τοῦ ἐνεστῶτος, κάω καὶ κλάω λεγόντων, πλεονάζει τὸ υ ἐν τῷ μέλλοντι. ἔτι οἱ ἀθηναῖοι ἐπὶ τῶν εἰς ζω βαρυτόνων ὑπερδισυλλάβων, βραχὺ τὸ ι ἐχόντων, ἀποβολῇ τοῦ σ περισπώμενον μέλλοντα ποιοῦσιν. οἷον, νομίζω, νομίσω κοινῶς, νομιῶ ἀττικῶς. κομίζω, κομίσω, κομιῶ. ἀγωνίζομαι, ἀγωνίσομαι, ἀγωνιοῦμαι. βαδίζομαι, βαδίσομαι, βαδιοῦμαι.

inueni ueni. egi tuli vulneratus sum corporaliter, stupui autem anima occidi.

De primo futuro.

Futurum primum a præsenti, & coincipit ei, vt scribo scribam, dico dicam easdem syllabas habens; Sed in vnum lambda desinentia barytona superans futurum faciunt, vt curo curabo. volo volam. debeo debebo. Etiam augeo augebo facit. & elixo elixabo & auxilior auxiliabor, quoniam apud antiquos circunflexa entia Athenienses barytona fecerunt. retinent quidem circunflexorum declinationem. Etiam omnia circunflexa, vt facio faciã. clamo clamabo, inauro inaurabo. sed in mi contrarium patientia abiiciunt in principio geminationem in futuro vt sto stabo. do dabo. retinet vero futurum penultimam proprii præsentis vt scribo scribam. relinquo relinquam, præter quintæ coniugationis barytonorum, huius. n. futura abiiciunt vnam immutabilem vel iota diphthongi, vt penultimam. ipsorum breuem faciant, vt cano canam. vulnero vulnerabo. ostendo ostendam. semino seminabo, & præter notata, vt nauigo nauigabo. fluo fluam. fundo fundam. spiro spirabo. nam horum futura assumunt y psilon ab antiquis præsentibus facta. nauigo fluo fundo spiro. Etiam & uro uram & ploro plorabo, vel ab uro & ploro, vel quoniã Atheniẽsibus abiiciẽtibus iota præsentis uro & ploro dicentibus superabundat y psilon in futuro Etiã Athenienses in zo barytonis superbissyllabis breue iota habentibus abiectione sigma circunflexum futurũ faciunt, vt puto putabo communiter putabo attice. porto portabo portabo. exerceor exercebor exercebor. vado vadam vadam.

Περὶ τοῦ δ' ἀτέρου μέλλοντος.

Ὁ δ' ἀτερος μέλλων τυπῶ περισπώμενος, ἀπὸ τοῦ δ' ἀτέρου ἀορίστου. ὅθεν καὶ τὸ σύμφωνον αὐτοῦ ἀεὶ φυλάττει συνάρχεται δὲ τῷ πρώτῳ μέλλοντι. καὶ περὶ μὲν τῶν ἐνεργητικῶν, ἱκανῶς. νῦν δὲ ἐπὶ τῶν παθητικῶν λέγωμεν.

Περὶ σχηματισμοῦ τῶν παθητικῶν.

Ὁ ἐνεστὼς, τύπτομαι, ἀπὸ τοῦ τύπτω, τροπῇ τοῦ ω μεγάλου εἰς ο μικρὸν, καὶ προσθέσει μαι.

Περὶ παρατατικοῦ.

Ὁ παρατατικὸς ἀπὸ τοῦ ἐνεργητικοῦ παρατατικοῦ, προσθέσει μην. οἷον, ἔτυπτον, ἐτυπτόμην. τίθεται δὲ τοῖς ἀρχομένοις ἀπὸ συμφώνων αὔξησις; οἱ ἀττικοὶ δὲ αὔξησιν ἐπ' αὐξήσει ποιοῦντες, ἠβουλόμην, ἀντὶ ἐβουλόμην, καὶ ἠδυνάμην, ἀντὶ ἐδυνάμην, καὶ ἔτι ἤμελλον, ἀντὶ ἔμελλον λέγουσι. Περὶ παθητικοῦ παρακειμένου.

Ὁ παθητικὸς παρακείμενος, ἀπὸ τοῦ ἐνεργητικοῦ, τροπῇ τοῦ φα εἰς μαι. οἷον, τέτυφα τέτυμμαι. Ὅτε δὲ ὁ ἐνεργητικὸς πρὸ τοῦ α φ ἔχει, ὁ παθητικὸς λήγων ἀεὶ εἰς μαι πρὸ τοῦ μ λαμβάνει καὶ ἕτερον μ, οἷον, γέγραφα, γέγραμμαι τέτυφα, τέτυμμαι. Ὅτε δὲ ὁ ἐνεργητικὸς ἔχει χ, ὁ παθητικὸς προσλαμβάνει γ. οἷον, πέπλαχα, πέπλεγμαι. Ὅτε δὲ ὁ ἐνεργητικὸς ἔχει κ, εἰ μὲν μακρὲ παραλήγει, ἀπὸ περισπωμένου θέματος ὢν, ὁ παθητικὸς οὐδὲν προσλαμβάνει. οἷον, ποιῶ, πεποίηκα, πεποίημαι. βοῶ βεβόηκα, βεβόημαι. εἰ δὲ βραχεῖα παραλήγει ὁ παθητικὸς, προσλαμβάνει σ. οἷον τελῶ τετέλεκα, τετέλεσμαι. Ἔτι ὅτε ὁ εἰς κα παρακείμενος, ἀπὸ βαρυτόνου θέματος γίνεται τῆς τρίτης καὶ τετάρτης συζυγίας, ὁμοίως ὁ παθητικὸς προσλαμβάνει σ. οἷον, πείθω, πέπεικα, πέπεισμαι. λακτίζω, λελάκτικα, λελάκτισμαι. οἱ δὲ τῆς πέμπτης συζυγίας ἀπὸ τῶν εἰς λω καὶ ρω γινόμενοι, πρὸ τοῦ μ φυλάττουσι τὸ ἀμετάβολον. οἷον, ψάλλω, ἔψαλμαι. σπείρω, ἔσπαρμαι. τὰ δὲ εἰς νω ὡς ἐπιτοπλεῖστον τρέπουσι τὸ ν εἰς γ ἐν τῷ ἐνεργητικῷ

De secundo futuro.

Secundũ futurum verberabo circunflexum a secũ do aoristo, vnde & consonantem ipsius semper retinet. coincipit autem primo futuro. & quidem de actiuis satis. nunc autem de passiuis dicamus.

De formatione passiuorum.

Præsens verberor a verbero mutatione o magni in o paruum & additione me.

De præterito imperfecto.

Preteritum imperfe. ab actiuo præterito imperfecto. additione mi vt verberabam verberatus sum. ponitur aũt incipientibus a cõsonãtibus e augumẽtũ. Sed attici augumentum in augum. facientes volebam pro volebam. & poteiã pro poteram. & etiam debebã pro debebam dicunt.

De passiuo præterito pfecto.

Passiuum præteritum perfectum ab actiuo mutatiõe pha in me vt verberaui verberat⁹ sum. Cũ vero actiuũ ante alpha phi habet passiuũ desinens semper in me ante m assumit aliud m vt scripsi scriptus sum verberaui verberatus sum. cum vero actiuũ habet chi, passiuum assumit gamma vt plicui implicitus sum. Cũ aũt actiuũ habet cappa, siqdẽ lunga penultimat a circunflexo themate ens, passiuum nihil assumit vt facio feci factus sum. clamo clamaui clamatus sum. Si autem breui penultimat passiuum assumit sigma, vt perficio perfeci perfectus sum. Item cum in ca preteritum perfectum. a barytono themate fit tertiæ & quartæ coniugationis. similiter passiuum assumit sigma, vt persuadeo persuasi persuasus sum. calcitro calcitraui calcitratus sum. quintæ autem coniugationis ab in lo & ro facti ante m, seruat immutabilem, vt cano cantatus sum, semino seminatus sum. Sed in no, vt plurimum mutant n, in g, in actiuo

παρακειμένῳ, ἐπειδὴ τὸ ν πρὸ τοῦ γ, ἢ κ, ἢ ξ, ἢ χ, εἰς γ τρέπεται. οἷον, μιαίνω, μεμίαγκα. μολύνω, μεμόλυγκα. τοῦτο δὲ τὸ τραπὲν γ ἀπὸ τοῦ ν, τρέπεται κοινῶς εἰς μ ἐν τῷ παθητικῷ παρακειμένῳ. οἷον, μεμίαγκα, μεμίαμμαι. μεμόλυγκα, μεμόλυμμαι. οἱ δὲ ἀττικοὶ τὸ μ εἰς σ τρέποντες, μεμίασμαι καὶ μεμόλυσμαι λέγουσι. Τῶν δὲ τῆς ἕκτης συζυγίας παρακειμένων, οἱ μὲν, προσλαμβάνουσι σ. οἷον, σβέω, ἔσβεσμαι. ζέω, ἔζεσμαι. κελάω, κεκέλασμαι. κρούω, κέκρουσμαι. οἱ δὲ, οὔ. οἷον, βασιλεύω, βεβασίλευμαι. Αἰεὶ δὲ ὁ παθητικὸς παρακείμενος ἀπὸ τῶν εἰς ω γινόμενος, τὴν αὐτὴν παραλήγουσαν ἔχει τῷ ἐνεργητικῷ. οἷον, τέτυφα, τέτυμμαι. πεποίηκα, πεποίημαι. πέπεικα, πέπεισμαι. πλὴν τῶν ἀπὸ δισυλλάβων τῆς πρώτης καὶ δευτέρας συζυγίας τῶν βαρυτόνων. οὗτοι γὰρ ἀναλαμβάνουσι τὴν παραλήγουσαν τοῦ ἐνεστῶτος, ἥτις τρέπεται εἰς ο μικρὸν ἐν τῷ ἐνεργητικῷ παρακειμένῳ ὡς εἴρηται ἔξω ἀττικῶν. οἷον, λέγω, λέλοχα, λέλεγμαι. κλέπτω, κέκλοφα, κέκλεμμαι, καὶ κέκλαμμαι ἀττικῶς. καὶ ἔτι πλὴν τῶν ἐχόντων τὸ ρ μετ᾽ ἐπιπλοκῆς συμφώνου. τούτων γὰρ οἱ παθητικοὶ παρακείμενοι τρέπουσι τὸ ε εἰς α. οἷον, στρέφω, ἔστροφα, ἔστραμμαι. τρέφω, τέθροφα τέθραμμαι. τρέπω, τέτροφα, τέτραμμαι. σεσημείωται τὸ βρέχω, βέβροχα, βέβρεγμαι, καὶ ἔτι δέδωκα, δέδομαι.

Περὶ ὑπερσυντελίκου.

Ὁ ὑπερσυντέλικος ἀπὸ τοῦ παρακειμένου, τροπῇ τοῦ μαι εἰς μην. προσλαμβάνει δὲ τὸ ε αὔξησιν ὥσπερ καὶ ὁ ἐνεργητικὸς, φυλάττων πάντα τὰ τοῦ παρακειμένου. οἷον, τέτυμμαι, ἐτετύμμην. γέγραμμαι, ἐγεγράμμην.

Περὶ παθητικοῦ πρώτου ἀορίστου.

Ὁ παθητικὸς πρῶτος ἀόριστος ἀπὸ τοῦ παθητικοῦ παρακειμένου, τροπῇ τοῦ μαι εἰς θην, λήγων ἀεὶ εἰς θην. καὶ εἰ μὲν ὁ παρακείμενος ἄρχεται ἀπὸ φωνήεντος ἢ διφθόγγου καταχρηστικῆς, συνάρχεται αὐτῷ καὶ ὁ ἀόριστος

præterito pfecto. Quoniã n ante gãma vel cappa vel x vel chi. in gamma mutatur, vt fœdo fœdaui, inquino inquinaui. hoc autem conuersum gãma in gni vertitur communiter in mi in passiuo prçterito perfecto, vt fœdaui fœdatus sum. pollui pollutus sum.
Attici vero mi in sigma vertentes fœdatus sum & pollutus sum dicunt. Sed sextç coniugationis prçteritorũ perfe. hæc quidẽ assumũt sigma, vt extingo extinctus sum. ferueo ferbui. iubeo iussus sum. pulso pulsatus sum. hçc vero non. vt regno regnatus sum. semper autem passiuũ præteritum perfe. ab iis, quæ in o factum, eandem penultimam habet actiuo vt verberaui verberatus sum. feci factus sum. persuasi persuasus sum. præter ea, quæ a dissyllabis primæ & secundç coniugationis barytonorũ. hæc enim accipiũt penultimam præsentis, quç vertitur in o micron in actiuo præterito perfecto. vt dictum est more attico, vt dico dixi dictus sum. furor furatus sum furtus sum & furatus sum inuenitur. & item præter habentia tho cum complicatione consonantis. horũ. n. passiua præterita perfecta mutant e in a, vt verto verti versus sum, nutrio nutritus sum, verto verti versus sum. notatur irrigo irrigaui irrigatus sum, & item dedi datus sum.

De præterito plusquamperfecto.

Præteritum plusquãperfectũ ab actiuo cõuersiõe me in min. assumit autem & augumentum vt & actiuum, retinens omnia præteriti perfecti vt verberat' sum verberatus fueram. script' sum script' fuerã.

De passiuo primo aoristo.

Passiuus primus aoristus a passiuo præterito perfecto mutatione me in thin desinens semp in thin. & siquidẽ ptũm pfctũ incipit a ɔsonante vel diphthongo abusiua, ɔincipit ipsi & aoristus

οἷον, ὥπλισμαι, ὡπλίσθην. ᾔρημαι, ᾐρέθην. εἰ δὲ ἄρχεται ὁ παρακείμενος ἀπὸ συμφώνου, ἀποβάλλει ὁ ἀόριστος τὸ σύμφωνον τοῦ ἀναδιπλασιασμοῦ. οἷον, πεποίημαι, ἐποιήθην. τέτυμμαι, ἐτύφθην. καὶ τὸ αἱρεθὲν σύμφωνον πρὸ τοῦ μ, τοῦ παθητικοῦ παρακειμένου φυλάττει. οἷον, κέκαρμαι, ἐκάρθην. ἔψαλμαι, ἐψάλθην. πλὴν ἔξεσμαι, ἐξέσθην. πλὴν εἰ μὴ εἴη μ ἢ γ. ὅτε γὰρ αἱρεθῇ μ ἀπὸ τοῦ φ μεταβληθὲν, τρέπει αὐτὸ εἰς τὸ φ. οἷον, τέτυφα, τέτυμμαι, ἐτύφθην. γέγραφα, γέγραμμαι, ἐγράφθην. Ὅτε δὲ τὸ γ ἀπὸ τοῦ χ μεταβληθὲν, τρέπει αὐτὸ εἰς τὸ χ. οἷον, λέλεχα, λέλεγμαι, ἐλέχθην. τὸ δὲ ἐμολύνθην καὶ ἐμιάνθην, ἔχει ν διὰ τὴν ἐπιφορὰν τοῦ θ. τὴν αὐτὴν δὲ παραλήγουσαν ἔχει ὁ ἀόριστος τῷ παθητικῷ παρακειμένῳ. οἷον, τέτυμμαι, ἐτύφθην. πεποίημαι, ἐποιήθην. πλὴν τοῦ ᾕρημαι, ᾑρέθην, ὅθεν καὶ αἱρετὴς, καὶ ἐπήνημαι, ἐπηνέθην, καὶ ῥῶ, ἔρρημαι, ἐρρέθην, καὶ τοῦ μέμνημαι, ἐμνήσθην προσλαμβάνοντος τὸ σ, καὶ σέσωσμαι, ἐσώθην, ἀποβάλλοντος αὐτό. τὸ δὲ ἐρρώσθην, οὐκ ἀπὸ τοῦ ῥῶ, ἀλλ᾽ ἀπὸ τοῦ ῥώζω καὶ πλὴν τοῦ χῶ, χήσω, ἔχηκα, ἔχημαι, ἐχέθην. καὶ τῶν ἀπὸ τοῦ αἱρῶ περισπωμένων. οἷον, καθήρημαι, καθῃρέθην. ἀφήρημαι, ἀφῃρέθην. καὶ πλὴν τῶν ἐχόντων τὸ ρ μετ᾽ ἐπιπλοκῆς συμφώνου, καὶ τρεπόντων τὸ ε εἰς α ἐν τῷ παθητικῷ παρακειμένῳ. οἷον, ἔστραμμαι, ἐστρέφθην. τέτραμμαι, ἐτρέφθην. Σημείωσαι τὸ μέμνημαι, ἐμνήσθην. οὗ ἐναντίον τὸ σέσωσμαι, ἐσώθην.

Περὶ παθητικοῦ δευτέρου ἀορίστου.

Ὁ παθητικὸς δεύτερος ἀόριστος, ἀπὸ τοῦ ἐνεργητικοῦ δευτέρου ἀορίστου τροπῇ τοῦ ον εἰς ην. ὅθεν καὶ τὸ ἐκείνου φυλάττει σύμφωνον. οἷον, ἔτυπον, ἐτύπην.

Περὶ μέσου ἀορίστου πρώτου.

Ὁ μέσος πρῶτος ἀόριστος ἀπὸ τοῦ ἐνεργητικοῦ πρώτου, προσθέσει μην. οἷον, ἔτυψα, ἐτυψάμην.

vt armat⁹ sũ armat⁹ sũ.sublat⁹ sũ sublat⁹ sũ.si aũt ĩcipit præteritum perfectum a consonante,abiicit aoristus consonantem geminationis,vt factus sum factus fui. verberatus sum verberatus fui,& inuẽtam ɔsonatẽ ante mi passiui prçteriti perfecti retinet,vt gauisus sum, gauisus fui,cantatus sum,cantatus fui,Præter ferbui ferbui.nisi fuerit mi vel gamma.Cũ.n.inuẽtum sit m a phi mutatum,vertit ipsum in phi vt verberaui verberat⁹ sum berat⁹sum,scripsi scriptus sũ scriptus sũ. Cum vero gamma a chi,mutatum vertit ipsum in chi, vt dixi dictus sum dictus sum. Sed inquinatus sum, & fœdatus sum habet gni pp iliationem thita. Eandẽ penultimam habet aoristus passiuo præterito perfecto, vt verberatus sum verberatus fui.factus sum factus fui. Præter inuentus sum inuentus fui. vnde & inuentor & laudatus sum fui,& corrũpo ptus sum corruptus fui & memini memini assumens.s.& saluatus sum saluatus fui abiiciens ipsum.Sed valui nõ a corrumpo sed a valeo.& prçter habeo habeo habui habitus sum habitus sum,& a tollo circunflexa ,vt destructus sum destructus sum,ablatus sum ablat⁹ sum. & præter habentia rho cõ complicatione ɔsonantiũ & vertentia epsilon in alpha in passiuo præterito perfect. vt versus sum versus sum,nutritus sum nutritus sum. Nota memini memini.cuius contrarium saluatus sum saluatus sum.

De passiuo secundo aoristo.

Passiuus secundus aoristus ab actiuo secundo aoristo mutatione on in in,vnde & illius retinet, consonantem,vt verberaui verberatus sum.

De medio aoristo primo.

Medius primus aoristus ab actiuo primo additione min,vt verberaui verberaui.

Περὶ μέσου ἀορίστου β′.

Ἐπὶ ὁ μέσος ἀόριστος δεύτερος ἀπὸ τοῦ δευτέρου, προσθέσει μη. οἷον, ἔτυπον, ἐτυπόμην. ἔγραφον. ἐγραφόμην.

Περὶ μέσου μέλλοντος α′.

Ὁ μέσος μέλλων πρῶτος ἀπὸ τοῦ ἐνεργητικοῦ, τροπῇ τοῦ ω μεγάλου εἰς ο μικρόν, καὶ προσθέσει μαι. οἷον, τύψω, τύψομαι. γράψω, γράψομαι.

Περὶ μέσου μέλλοντος β.

Ὁ μέσος μέλλων δεύτερος ἀπὸ τοῦ ἐνεργητικοῦ δευτέρου μέλλοντος, τροπῇ τοῦ ω εἰς ου, καὶ προσθέσει τοῦ μαι. οἷον, τυπῶ, τυποῦμαι. ψαλῶ, ψαλοῦμαι. σπερῶ, σπεροῦμαι. Ἔτι ὁ μετ᾽ ὀλίγον μέλλων ἀπὸ τοῦ δευτέρου προσώπου τοῦ παθητικοῦ παρακειμένου. οἷον, τέτυψαι, τετύψομαι. Καὶ ἀπὸ τοῦ ἐτύφθη ἀορίστου πρώτου, μέλλων πρῶτος τυφθήσομαι, σῃ, σεται. Καὶ ἀπὸ τοῦ ἐτύπη ἀορίστου δευτέρου, μέλλων δεύτερος τυπήσομαι, σῃ, σεται.

Περὶ τῶν βαρυτόνων συζυγιῶν.

Τούτων οὕτως ἐσχηματισμένων, ῥητέον ἂν εἴη καὶ περὶ τῶν βαρυτόνων συζυγιῶν, ἃς ἕξ οὔσας κατὰ τοὺς παλαιούς εἴ τις τέσσαρας ποιήσει, οὐκ ἂν ἁμάρτοι. Τούτων ἡ πρώτη ἐστὶν ἡ πρὸ τοῦ ω β, ἢ π, ἢ φ, ἢ πτ, ἔχουσα. οἷον, λείβω. λείπω. γράφω. κόπτω. ὧν ὁ μέλλων πρὸ τοῦ ω ψ ἔχει. οἷον, λείψω, λείψω. γράψω. κόψω. ὁ παρακείμενος, πρὸ τοῦ α, φ. οἷον, λέλειφα. λέλειφα. γέγραφα. κέκοφα.

Δευτέρα.

Δευτέρα ἐστὶν ἡ πρὸ τοῦ ω γ, ἢ κ, ἢ χ, ἢ κτ, ἢ ζ, ἢ δύο σσ ἔχουσα. οἷον, λέγω. πλέκω. ἔχω. τίκτω. παίζω. ὀρύσσω. ὧν ὁ μέλλων πρὸ τοῦ ω, ξ ἔχει. οἷον, λέξω. πλέξω. ἕξω. τέξω. παίξω. ὀρύξω. ὁ παρακείμενος πρὸ τοῦ α, τὸ χ ἔχει. οἷον, λέλεχα. πέπλεχα. ἔχα. τέτεχα. πέπαιχα. ὤρυχα. Δεῖ δὲ εἰδέναι ὅτι ὅσα τῶν εἰς ζω ῥημάτων ποιοῦσι τὸν μέλλοντα εἰς ξω, τῆς δευτέρας εἰσὶ συζυγίας. ὅσα δὲ εἰς σω, τῆς τρίτης.

De medio aoristo secundo.

Item medius aoristus secundus a secundo additione mi, vt verberaui verberatus sum, scripsi scriptus sum.

De medio futuro primo.

Medium futurum primum ab actiuo mutatione o magni in o paruum & additione me, vt verberabo verberabo scribam scribam.

De medio futuro secundo.

Medium futurum secundum ab actiuo secundo futuro, mutatione o in u & additione me, vt verberabo verberabo. cantabo cantabo. seminabo seminabo. Item postpaulo futurum a secunda persona passiui præteriti perfecti vt verberatus es. verberabor, & a verberatus est aoristo primo, futurum primum verberabor beris bitur. & a verberatus est aoristo secundo futurū secundū verberabor beris bitur,

De barytonorum coniugationibus.

His sic formatis dicendum sanè esset & de barytonorū ꝯiugatiōibus, quas sex entes apud ãtiquos siquis quatuor faciet non vtiq; erraret. harum prima est ante o mega vita vel pi vel phi vel pt habens, vt sacrifico linquo scribo incido. quorū futurū ãte o mega psi habet vt sacrificabo. relinquam scribam incidam. Pręteritum perfe. ante alpha phi vt sacrificaui, reliqui scripsi incidi.

Secunda.

Secunda est ante ω g vel c vel chi vel ct vel z uel duo ss habens vt dico plico habeo pario ludo fodio. Quorum futurum ante o xi habet vt dicam plicabo habebo pariam ludam fodiam. pręteritum perfectum ante alpha chi habet vt dixi plicui habui peperi ludi fodi. Oportet autem scire ꝙ quæcunq; in zo verborum faciunt futurum in xo secundę sint. coniugationis, quęcunq; autem in so, tertiæ.

διακρινοῦμεν δὲ αὐτὰ οὕτω. Τὰ εἰς ζω ὑπερδισύλλαβα εἰς σω τὸν μέλλοντα ποιοῦσιν. οἷον, δανείζω, δανείσω. συρίζω, συρίσω. βαδίζω, βαδίσω. κουφίζω, κουφίσω. ἐλπίζω, ἐλπίσω. λακτίζω, λακτίσω. ἑτοιμάζω, ἑτοιμάσω. δεσπόζω, δεσπόσω. ἁρμόζω, ἁρμόσω. ἁρπάζω, ἁρπάσω. χωρὶς τοῦ οἰμώζω, οἰμώξω. στηρίζω, στηρίξω. αἰάζω, αἰάξω. στενάζω, στενάξω. ὀλολύζω, ὀλολύξω. ἀλαπάζω, ἀλαπάξω. θρυλλίζω, θρυλλίξω. Τὰ δὲ δισύλλαβα, ποτὲ μὲν εἰς ξω τὸν μέλλοντα ποιοῦσιν. οἷον, παίζω, παίξω. καὶ παίσω ἀττικῶς. κράζω, κράξω. σφάζω, σφάξω. ποτὲ δὲ, εἰς σω. οἷον, κτίζω, κτίσω, φράζω, φράσω. πρίζω, πρίσω. ἵζω, ἵσω. Ἐπὶ τὰ εἰς δύο σσ, ἃ ἀττικῶς διὰ δύο ττ γράφονται, εἰς ξ τὸν μέλλοντα ποιοῦσιν. οἷον, ὀρύσσω, καὶ ὀρύττω, ὀρύξω. νύσσω, καὶ νύττω, νύξω. πλὴν τῶν σεσημειωμένων εἰς ἓν σ τὸν μέλλοντα ποιούντων. ἃ τρίτης ἔσωσαν συζυγίας. οἷον, πλάσσω, καὶ πλάττω, πλάσω. ὅθεν ἔπλασα ἀόριστος πρῶτος. ἐρέσσω, ἐρέσω. ἱμάσσω, ἱμάσω. ἰνάσσω, ἰνάσω. πάσσω, πάσω. λάσσω, λάσω. λαίσσω, λάσω.

Τρίτη.

Τρίτη ἐστὶν ἡ πρὸ τοῦ ω, δ, ἢ θ, ἢ δύο ττ, ἢ ζ, ἢ δύο σσ, ἢ καθαρὸν ἔχουσα. οἷον, ᾄδω. πλήθω. ἀνύττω. φράζω. ἔχω. πλάσσω. ἀκούω. ὧν ὁ μέλλων πρὸ τοῦ ω τὸ σ, ἔχει. οἷον, ᾄσω. πλήσω. ἀνύσω. φράσω. πλάσω. ἀκούσω. ὁ παρακείμενος πρὸ τοῦ α κ ἔχει. οἷον, ᾖκα. πέπληκα. ἤνυκα. πέφρακα. πέπλακα. ἤκουκα. καὶ τὰ περισπώμενα καὶ ἔτι τὰ εἰς μι, εἰς κα τὸν παρακείμενον ποιοῦσι. Σημειώσῃ δὲ ὅτι ἀπὸ τοῦ ἀνύω ἐγένετο ἀνύτω, ἐξ οὗ ἀνύττω ἀττικῶς. καὶ ἀπὸ τοῦ ἀρύω, ἀρύτω, καὶ ἀρύττω. ὅθεν καὶ εἰς σω τὰ τοιαῦτα τὸν μέλλοντα ποιοῦσι.

Τετάρτη.

Τετάρτη ἐστὶν ἡ πρὸ τοῦ ω τὰ τέσσαρα ἀμετάβολα λ μ ν ρ, ἔχουσα. οἷον, ψάλλω. νέμω. κρίνω. σπείρω. ὁ μέλλων περισπώμενος πρὸ τοῦ ω αὐτὰ

discernimus vero ipsa sic. In zo superbisyllaba in so futurum faciunt, vt mutuo mutuabo. fistula cano fistula canam, vado vadam, leuo leuabo, spero sperabo, calcitro calcitrabo, præparo præparabo, dominor dominabor. congruo congruam, rapio rapiam. præter ploro plorabo firmo firmabo. lamentor lamentabor, suspiro rabo. vlulo vlululabo. popul or pupulabor. nugor nugabor. Sed disyllaba aliquando quidē in xo futurū faciūt vt ludo ludā, & ludam attice, clamo clamabo. iugulo iugulabo. Aliquando autē in so, vt ædifico bo. dico dicā. incido securi incidam. sedere facio faciam. Etiā in duo sigma, q̄ attice per duo taf scribuntur, in xi futurum faciunt ut fodio & fodio fodiam. pungo & pūgo pungā, præter notata in vnum sigma futurum facientia, quæ tertiæ sint coniugationis, vt fingo fingam. vnde finxi. aoristus primus remigo bo. flagris cedo cedam. fortisco. abo. spargo gni. video videbo, video videbo.

Tertia.

Tertia ē āte o d vel th vel duo taf vel z vel duo. ss. vel o purum habens. vt canto impleo perficio dico fingo audio, quorum futurum ante o mega sigma habet, vt cantabo implebo perficiam dicam fingam audiam. p̄ţteritū perfe. ante alpha cappa habet, vt cecini ípleui perfeci dixi finxi audiui. & circunflexa, Et Item in mi, in ca p̄ţteritum perfectum faciunt. Nota autem q̄ a perficio factum est perficio deinde perficio attice. & ab haurio haurío & haurío, vnde & in so talia futurum faciunt.

Quarta.

Quarta est ante o quatuor immutabiles lābda mi gni rho habens, vt canto tribuo iudicio semino. quorum futurum circunflexum ante o mega ipsam

ἀμετάβολον φυλάττων, συστέλλει τὴν παραλήγουσαν ἀμετάβολον, ἢ ι τῆς διφθόγγου ἐκβάλλων. οἷον, ψάλλω ψαλῶ. νεμῶ. κρινῶ. σπερῶ. ὁ παρακείμενος πρὸ τοῦ α τὸ η ἔχει. καὶ πρὸ τοῦ κ, τὸ ἀμετάβολον. οἷον, ἔψαλκα. ἔσπαρκα. Σημειώσῃ δὲ τὸ νενέμηκα προσλαμβάνον η. νένεμκα γὰρ ὤφειλεν εἶναι. ἀλλὰ διὰ τὸ κακόφωνον, προσετέθη τὸ η. οὕτω καὶ τέμω, τεμῶ, τετέμηκα. δέμω, δεμῶ, δεδέμηκα. βρέμω, βρεμῶ, βεβρέμηκα. Επισεσημείωται τὰ εἰς νω δισύλλαβα, μὴ φυλάττοντα τὸ ἀμετάβολον. οἷον κρίνω, κρινῶ, κέκρικα. πλύνω, πλυνῶ, πέπλυκα. ἐν δὲ τῷ μιαίνω, μιανῶ, μεμίαγκα, καὶ μολύνω, μολυνῶ, μεμόλυγκα, τρέπεται τὸ ν εἰς γ, ἑπομένου κ.

Περὶ τῶν περισπωμένων.

Τούτων οὕτως εἰρημένων, καὶ περὶ τῶν περισπωμένων λέγωμεν. ὧν τριῶν οὐσῶν, ἡ πρώτη διὰ τοῦ εω προφερομένη ἐν τῇ παραληγούσῃ τοῦ μέλλοντος τὸ η ἢ τὸ ε ἔχει. Οτε μὲν ὁ ἐνεστὼς μακρᾷ παραλήγει, τότε καὶ ὁ μέλλων τῷ η παραλήγει. οἷον, ποιῶ, ποιήσω. αἱρῶ, αἱρήσω. οἰκῶ, οἰκήσω. τηρῶ, τηρήσω. ἀθλῶ, ἀθλήσω. ἐξαιρεῖται, ἀρκῶ, ἀρκέσω. νεικῶ, νεικέσω. αἰδῶ, αἰδέσω. αἰνῶ, αἰνέσω. ὅθεν καὶ ἐπαινῶ, ἐπαινέσω. παρὰ δὲ τοῖς παλαιοῖς αἰνήσω, καὶ ἐπαινήσω. ὅθεν καὶ Ομηρος, Μῆτερ ἐπαινήσαντες ὀδυσῆος θείοιο. Οτε δὲ ὁ ἐνεστὼς βραχεῖ παραλήγει, τότε ὁ μέλλων ποτὲ μὲν, τὸ η ἔχει. οἷον, φιλῶ, φιλήσω. νοῶ, νοήσω. ποτὲ δὲ, τὸ ε. οἷον, τελῶ, τελέσω. καλῶ, καλέσω. ὀλῶ, ὀλέσω. ἔνιοι δὲ ἀμφότερον ἔχουσιν. οἷον, φορῶ, φορήσω, καὶ φορέσω. πονῶ, πονήσω, καὶ πονέσω. φρονῶ, φρονήσω, καὶ φρονέσω. τὴν δὲ παραλήγουσαν τοῦ μέλλοντος φυλάττει, ὁ παρακείμενος, καὶ ὑπερσυντέλικος καὶ ἀόριστος ἐν πάσῃ συζυγίᾳ περισπωμένῃ.

Δευτέρα.

Η δευτέρα διὰ τοῦ αω προφερομένη, ποτὲ μὲν τὸ α, ποτὲ δὲ τὸ η ἐν τῇ παραληγούσῃ τοῦ μέλλοντος ἔχει. οὕτω τὰ εἰς ω καθαρὸν προηγουμένη ε, ἢ ι, διὰ τοῦ ασω

immutabilem retinens corripit penultimam immutabilem vel iota diphthongi abiiciens. vt canam tribuã. iudicabo. seminabo. Ptũm perf. ãte alpha cappa habet, & ante cappa immutabilem. vt cecini seminaui. Nota autem tribui, assumens ita. tribui. enim debebat esse, sed propter dissonantiã additum est ita. sic & incido incidam incidi. ædifico ædificabo ædificaui. fremo fremam fermui. Item notantur in o, dissyllaba non retinentia immutabilem. vt iudico iudicabo iudicaui. lauo lauabo laui. in pulluo autem polluam pollui. & inquino inquinabo inquinaui vertitur gni in gamma sequente cappa.

De circunflexis.

His sic dictis etiam de circunflexis, dicamus quibus tribus entibus, prima per eo prolata in penultima futuri ita, vel e psilon habet. Cum. n. præsens longa penultimat, tunc & futurum ita penultimat, vt facio faciam. inuenio inueniam. habito habitabo. seruo seruabo. certo certabo. excipitur dominor. nabor. vinco vincam, verecundor bor. laudo dabo. vnde & laudo. & dabo. Apud autem antiquos laudabo & laudabo, vnde & Homerus verbum laudantes Vlyssis diuini. Cum vero præsens breui penultimat, tunc futurum aliquando ita habet, vt amo amabo. intelligo intelligam, aliquando aũt e, vt perficio pficiam. voco vocabo. pdo perdã. Aliq aũt vtrũqʒ hẽt, vt gesto gestabo & gestabo. laboro laborabo & laborabo: sapio sapiam & sapiam. Sed penultimam futuri retinet præteritũ perfectum, & plusq̃perfectũ, & aoristus in omni coniugatione circunflexa.

Secunda.

Secunda per ao prolata aliquando alpha, aliquando autem ita, in penultima futuri habet, sic. In o mega purum præcedente e, vel iota per aso,

μέλλοντα ποιοῦσιν. οἷον, ἐῶ, ἐάσω. θεῶ, θεάσω. ἀνιῶ ἀνιάσω. ἐρυθριῶ. ἐρυθριάσω. ἀλλοιῶ δὲ ἀλλοιώσω Ἰωνικόν. Ἔτι τὰ παραληγόμενα τῷ ο. οἷον, ἀκροῶ, ἀκροάσω. ἐξαιρεῖται τὸ βοῶ, βοήσω. γοῶ, γοήσω. ἀλοῶ, ἀλοήσω, καὶ ἀλοάσω. Ἔτι τὰ εἰς ρω ὑπερμονοσύλλαβα, μὴ προηγουμένου συμφώνου. οἷον, περῶ, περάσω. φυρῶ, φυράσω. γηρῶ γηράσω. ξυρῶ δὲ, ξυρήσω. Ἔτι τὰ εἰς λω ὑπερμονοσύλλαβα τῷ ε παραληγόμενα. οἷον, γελῶ, γελάσω. ἐλῶ, ἐλάσω. Ἔτι τὰ εἰς ρω καὶ λω μονοσύλλαβα, μὴ ποιοῦντα παράγωγα εἰς μι. οἷον δρῶ, δράσω. κλῶ, κλάσω. φλῶ, φλάσω. θλῶ, θλάσω. Τὰ δὲ παραληγόμενα τῷ υ, διὰ τοῦ ησω τὸν μέλλοντα ποιοῦσιν. οἷον, ἐγγυῶ, ἐγγυήσω. λυῶ, λυήσω. δυῶ, δυήσω. Ἔτι τὰ εἰς λω μόνα, ἢ μετὰ συμφώνου, κατὰ σύλληψιν εἴτε κατὰ διάστασιν, οἷον, συλῶ, συλήσω. κραιπαλῶ, κραιπαλήσω. χολῶ, χολήσω. μελαγχολῶ, μελαγχολήσω. ἀχολῶ, ἀχολήσω. ὁμιλῶ, ὁμιλήσω. ποδαγρῶ, ποδαγρήσω. ἐξαιρεῖται τὸ χαλῶ, χαλάσω. ἱλῶ, ἱλάσω. Ἔτι τὰ εἰς ρω καὶ λω, παράγωγα εἰς μι ποιοῦντα. οἷον, χρῶ, χρῆμι, χρήσω. πρῶ, πρῆμι, πρήσω. πλῶ, πίμπλημι, πλήσω. τλῶ, τλῆμι, τλήσω. Ἔτι τὰ εἰς ἄλλο σύμφωνον λήγοντα. οἷον, σμῶ, σμήσω. κνῶ. κνήσω. ζῶ, ζήσω. νικῶ, νικήσω. κυβερνῶ, κυβερνήσω. τιμῶ, τιμήσω. ἡβῶ, ἡβήσω. τρυφῶ, τρυφήσω. τρυγῶ, τρυγήσω. διψῶ, διψήσω. σιγῶ, σιγήσω. σιωπῶ, σιωπήσω. σπῶ, σπήσω, τὸ ἀκολουθῶ. σπῶ δὲ σπάσω, τὸ ἀνασπῶ.

Τρίτη.

Τρίτη ἐστὶν ἡ διὰ τοῦ οω προφερομένη, ἐν τῇ παραληγούσῃ τοῦ μέλλοντος τὸ ω μέγα ἢ ὁ μικρὸν ἔχει. Ὅσα μὲν οὖν τῶν ῥημάτων ἔχουσιν προκείμενον ῥηματικὸν, τῷ ω μεγάλῳ παραλήγουσιν ἐν τῷ μέλλοντι. οἷον, χρυσὸς, χρυσῶ, χρυσώσω. ἄργυρος, ἀργυρῶ, ἀργυρώσω. γύψος, γυψῶ, γυψώσω. χεὶρ, χειρῶ χειρώσω. πῦρ, πυρῶ, πυρώσω. στέφανος, στεφανῶ, στεφανώσω. ὀρθὸς, ὀρθῶ, ὀρθώσω. στρεβλὸς, στρεβλῶ, στρεβλώσω. κακὸς, κακῶ, κακώσω.

futurum faciunt, vt dimitto mittam. miror, bor, doleo dolebo, rubesco rubescam. muto autem mutabo, ionicum. Etiam penultimantia o, vt audio. audiam. excipiẽ clamo clamabo. lugeo lugebo. trituro triturabo & rabo. Etiam in ro supra unã syllabã nõ præcedente, consonante, vt transeo transibo. pinso pinsam. senesco senescam. rado autẽ radis. Item in lo supra syllabam e penultimantia, vt rideo ridebo. impello impellã. Item quæ in ro. & lo monosyllaba nõ faciẽtia deriuatiua in mi, vt facio faciam, incido incidam, rũpo rumpam. frango frangam. Sed penultimantia y per iso futurum faciunt, vt promitto promittam. populor labor. populor bor. Etiam in lo sola, vel cum consonante per comprehensionẽ siue per diuisionẽ, vt prædor dabor. crapulor crapulabor. irascor irascar. melancholicus sum melancholicus ero, exerceo exercebo, clamo clamabo. podagras patior, podagras patiar. Excipitur deprimo, deprimam, ligo bo. Item in ro, & lo deriuatiua in mi facientia, vt vaticinor cinor vaticinabor emo emo emam. impleo impleo implebo. tolero tolero tolerabo. Item in aliam consonantem desinentia, vt purgo. bo, scalpo scalpam, viuo viuam, vinco vincam, guberno, bo. honoro, bo pubesco. bescam. delitior tiabor, vindemio bo. sitio tiam. taceo bo, taceo tacebo, sequor sequar. euello euellam. euello aũt euellã, euello.

Tertia.

Tertia est per oo prolata in penultima, futuri o magnum, vel o paruũ habet. Quæcunq; igitur verba habent præexistens verbale o magno, penultimant in futuro, vt aurum, inauro, inaurabo, argentum argento argentabo. gyp sus gypso sabo. man?, mãcipio bo. ignis igne examino, igne nabo. Corona corono nabo. rectus dirigo gam. prauus, torqueo torquebo. malus, vexo vexabo.

ταπεινὸς, ταπεινῶ, ταπεινώσω. Ὅσα δὲ οὐκ ἔχουσι
παραλήγουσι τῷ ο μικρῷ. οἷον, ὀμῶ, ὀμόσω. ἀρῶ, ἀρόσω.
ὀνῶ, ὀνόσω. Τούτων οὕτως εἰρημένων, τέσσαρές εἰσι καὶ
αἱ τῶν εἰς μι, ὧν ἡ πρώτη τὸ η ἔχει ἐν τῇ παραληγούσῃ
τοῦ ἐνεργητικοῦ ἐνεστῶτος, καὶ μέλλοντος, καὶ ἀορίστου. οἷον, τίθημι,
θήσω, ἔθηκα, τὸ δὲ τέθεικα, καὶ ἐτεθείκειν, διὰ ει διφθόγγου
γράφεται ἔθει βοιωτικῷ. Καὶ ἡ δευτέρα δὲ, τὸ η ἔχει. οἷον,
ἵστημι, στήσω, ἔστησα. ἕστακα δὲ ὁ παρακείμενος, καὶ οὐχ
ἕστηκα, εἰς διαφορὰν τοῦ ἕστηκα, ἀπὸ τοῦ ἑστήκω γινομένου. καὶ ἐπ
ὁ ὑπερσυντέλικος ἑστάκειν. Ἡ δὲ τρίτη, τὸ ω μέγα. οἷον,
δίδωμι. δώσω. δέδωκα. ἐδεδώκειν. ἔδωκα. Ἡ δὲ τετάρτη,
τὸ υ ψιλόν. οἷον, ζεύγνυμι. Σημειωτέον δὲ ἐν τούτοις δύο
ἓν μὲν, ὅτι ἐν τῷ μέλλοντι ἡ πρώτη συλλαβὴ τοῦ ἐνεστῶτος
ἀφαιρεῖται. οἷον, τίθημι, θήσω. ἵστημι στήσω. δίδωμι
δώσω. ἕτερον δὲ, ὅτι ἐν τοῖς παθητικοῖς συστέλλεται
παραλήγουσα. οἷον, τίθημι, τίθεμαι. ἵστημι, ἵσταμαι.
δίδωμι, δίδομαι. ζεύγνυμι, ζεύγνυμαι. Ἀλλὰ περὶ μὲν
τούτων, ὡς οἷόν τε ἦν ἡμῖν συντόμως καὶ ὠφελίμως
τοῖς εἰσαγωγικοῖς εἴρηται. ἐν δὲ τῷ περὶ ῥήματος τρίτῳ
βιβλίῳ, διεξοδικώτατα ῥηθήσεται.

Περὶ τῶν ῥημάτων τῶν μέχρι παρατατικοῦ κλινομένων.

Τὰ διὰ τοῦ ανω ῥήματα βαρύτονα, μέχρι τοῦ παρατατικοῦ
κλίνονται. οἷον, λαμβάνω, ἐλάμβανον. μανθάνω, ἐμάνθανον.
λανθάνω, ἐλάνθανον. Ἔτι τὰ διὰ τοῦ αθω, καὶ εθω, καὶ υθω,
οἷον, ἀμυνάθω. ἠμύναθον. φλεγέθω. ἐφλεγέθον. μινύθω,
ἐμίνυθον. Ἔτι τὰ εἰς βω, ἔχοντα πρὸ τοῦ β σύμφωνον
ἢ ε. οἷον, ῥέμβω, ἔρεμβον. σέβω, ἔσεβον. Ἔτι τὰ εἰς σκω.
οἷον, ἀρέσκω, ἤρεσκον. πιπράσκω, ἐπίπρασκον. χωρὶς
τοῦ θνήσκω, θνήξω, καὶ ἀλύσκω, ἀλύξω. τὸ δὲ διδάξω, οὐκ ἀπὸ
τοῦ διδάσκω, ἀλλ' ἀπὸ τοῦ διδάχω. Ἔτι τὰ διὰ τοῦ ειν
ὑπερδισύλλαβα. οἷον, ἐρεείνω, ἠρέεινον. φαείνω,
ἐφάεινον. Ἔτι τὰ διὰ τοῦ ειω παράγωγα ἀπὸ ἐνεστῶτος,
μέλλοντος. οἷον, ἀπὸ τοῦ κίχω, κιχείω, ἐκίχειον. τελ
τελείω, ἐτέλειον. ἀπὸ τοῦ βρώσω, βρωσείω, ἐβρώσειον.

humilis humilío humiliabo. quæcũq; vero non habẽt, penultimant o micron. vt iuro iurabo. aro arabo. vitupero vituperabo. His sic dictis quatuor sunt & eæ, quæ in mi, Quarum prima ita habet, in penultima actiui pręsentis & futuri, & aoristi, vt pono poná posui. Sed posui posueram, per e iota díphthõgũ scribitur more boœctorum. Et secunda aũt ita habet. vt sto stabo steti. steti autem præteritum perfectum, & non steti, ad differentiam extiti, ab existo facti, & amplíus pręteritũ plusquãperfe. steteram. Tertia aũt o magnũ vt do dabo dedi dederam dedi. Quarta vero y psilon, vt coniungo. Nota autem ín his duo, vnum quidem, quia in futuro prima syllaba præsentis aufertur, vt pono ponam. sto stabo. do dabo, Alterum vero, quoniam in passíuis corripitur penultima, vt pono ponor. sto stor. do dor. iungo iungor. Sed de his, vt possibile fuit nobis, breuiter & vtiliter, introducendis dictum est. Sed in de verbo tertío libro, latius dicetur.

De verbis, vsq; ad præteritum imperfectũ, declinatis.

Per ano verba barytona, vsq; ad pręteritum imperfe. declinantur. vt accipio accipiebam. disco discebam. lateo latebam. Item per atho, & etho, & ytho, vt vlciscor vlciscebar. ardeo ardebam. minuo minuebam. Insuper in uo habentia ante vita, cõsonãtẽ, vel e vt circumuerto tebam, colo colebam, Item in sco, vt placeo placebam, vendo vendebam, præter morior moriar. & fugio fugiam. Sed docebo non a doceo, sed a doceo. Item per in o supra duas syllabas, vt interrogo interrogabam, splendeo splendebam. Item per io, deriuatiua a præsenti, vel futuro, vt ab inuenio consequor consequebar. perficio perficiam, bam. a comedam comedo debam,

πολεμήσω, πολημησείω. ὄψω, ὀψείω. Ετι τὰ διὰ τοῦ νω ὑπερδισύλλαβα ποιοῦντα εἰς μι παράγωγα, καὶ ἔτι τὰ ἀπ' αὐτῶν παραγόμενα. οἷον, πηγνύω, πήγνυμι. ὀμνύω, ὄμνυμι ὀλύω, ὄλυμι. Ετι πάντα τὰ τῆς πέμπτης συζυγίας κατὰ παλαιοὺς τὴν πρώτην συλλαβὴν διπλασιαζομένην ἔχοντα. οἷον, μαρμαίρω, ἐμάρμαιρον. μορμύρω, ἐμόρμυρον. Ετι τὰ πρὸ τοῦ ω δύο σύμφωνα ἔχοντα κατ' ἐπιπλοκὴν, ὧν τὸ δάτερον ἀμετάβολον εἴη. οἷον. μέμβλω. ὄφλω. ἔγρω. δάκνω. Ετι τὰ εἰς ω καθαρὸν τῇ υ διφθόγγῳ παραληγόμενα. οἷον, ὀπύω. ἀγύω. Ετι τὰ εἰς δω πρὸ τοῦ δ, ν ἔχοντα. οἷον, κυλίνδω. σπένδω.

Περὶ Αντωνυμίων.

Αντωνυμία ἐστι μέρος λόγου κλιτὸν, ἀντὶ ὀνόματος παραλαμβανόμενον. Ταύτης δὲ ἡ μὲν, πρωτότυπος. ἡ δὲ, κτητική. ἡ δὲ, δεικτική. ἡ δὲ, ἀναφορική. ἡ δὲ, σύνθετος. Παρέπονται δὲ αὐτῇ τέσσαρα. γένος. ἀριθμός. πτῶσις. πρόσωπον.

Περὶ πρωτοτύπων τοῦ πρώτου προσώπου.

Εγώ. ἐμοῦ. ἐμοί. ἐμέ. Νώ. νῷν. Ημεῖς. ἡμῶν. ἡμῖν. ἡμᾶς. Τοῦ δευτέρου προσώπου. Σὺ. σοῦ. σοί. σέ. Σφώ. σφῷν. Υμεῖς. ὑμῶν. ὑμῖν. ὑμᾶς. Τοῦ τρίτου προσώπου. Ος. οὗ. οἷ. ἕ. Σφέ. σφῖν. Σφεῖς. σφῶν. σφίσι. σφᾶς.

Περὶ κτητικῶν.

Κτητικαὶ δὲ ἀπὸ τῶν πρωτοτύπων παραγόμεναι, ὀκτώ. Εμός. σός. ἑός, νωίτερος. σφωίτερος. ἡμέτερος. ὑμέτερος. σφέτερος. αἳ τριγενῶς κλίνονται. Εμὸς, ἐμὴ, ἐμόν. Σὸς, σὴ, σόν. καὶ αἱ μὲν ἀρσενικαὶ, καὶ οὐδέτεραι κατὰ τὴν τετάρτην κλίνονται κλίσιν. αἱ δὲ θηλυκαὶ κατὰ τὴν δευτέραν.

Περὶ δεικτικῶν.

Δεικτικαὶ δὲ δύο, οὗτος, ἐκεῖνος, τριγενῶς καὶ αὗται κλινόμεναι. οὕτως. Οὗτος. τούτου. τούτῳ. τοῦτον. ὦ οὗτος. Τούτω. τούτοιν. ὦ τούτω. Οὗτοι. τούτων. τούτοις. τούτους. ὦ οὗτοι. αὕτη. ταύτης. ταύτῃ. ταύτην. ὦ αὕτη. Ταῦτα. ταύταιν.

bella bo. bello. videbo video. Item per. yo. supra duas syllabas facientia in mi, deriuatiua. & etiam ab ipsis deducta, vt conglutino conglutino. Iuro iuro. perdo perdo. omnia quintę coniugationis secundum veteres. Primam syllabam geminatam habentia, vt luceo lucebam. murmuro murmurabā. Itē ante o mega duas ꝯsonātes habentia per cōnexionē. quarū secunda immutabiles esset, vt curo, debeo. surgo, mordeo. Etiam in o purum. μ. diphthongo penultimantia, vt coeo. uio. Item in do, ante d, n habentia, vt voluo. sacrifico.

De pronominibus.

Pronomē est pars orationis declinabilis pro nomine assumpta, huius autem aliquod primitiuum, aliquod possessiuum, aliqđ demonstratiuū, aliqđ relatiuū, aliqđ compositum. Accidunt autem ipsi quatuor, Genus. Numerus. Casus. persona.

De primitiuis primę personæ.

Ego mei mihi me. nos nostrū. nos nostrū. nobis. nos. Secundæ personæ. tu tui tibi te. vos vestrum. vos vestrum. vobis vos. Tertię personæ ὅς sui sibi se. sui se. σφᾶς sui sibi se.

De possessiuis.

Possessiua autem a primitiuis deriuata, Octo, meus tuus suus noster suus noster vester, quæ trigenerice declinantur. meus mea meum. tuus tua tuum. & masculina quidem & neutra secundū quartam declinantur declinationem, Sed fœminina, secundum secundam.

De Demonstratiuis.

Demōstratiua autem duo, hic ille trigenerice & ipsa declinata sic, hic huius huic hunc o tu. hi horum, o vos. hi horum, his hos, o vos. hæc huius huic hanc, o tu. hę harum,

ὦ ταῦτα. αὗται. τούτων. ταύταις: ταύτας. ὦ αὗται. Τοῦτο. τούτου. τούτῳ. τοῦτο. ὦ τοῦτο. Τούτω. τούτοιν. ὦ τούτω. ταῦτα. τούτων. τούτοις. ταῦτα. ὦ ταῦτα. Ἐκεῖνος, ἐκείνου. Ἐκείνη, ἐκείνης. Ἐκεῖνο, ἐκείνου.

Περὶ ἀναφορικῆς.

Ἀναφορικὴ δὲ μία τριγενῶς λεγομένη, ὧδε. αὐτός. αὐτοῦ. αὐτῷ. αὐτόν. αὐτώ. αὐτοῖν. αὐτοί. αὐτῶν. αὐτοῖς. αὐτούς. αὐτή. αὐτῆς. αὐτῇ. αὐτήν. αὐτά. αὐταῖν. αὐταί. αὐτῶν. αὐταῖς. αὐτάς. αὐτό. αὐτοῦ. αὐτῷ. αὐτό. αὐτώ. αὐτοῖν. αὐτά. αὐτῶν. αὐτοῖς. αὐτά. Ἴδιον γὰρ ταύτης ἡ τριπρόσωπος σημασία. αὐτὸς γὰρ, ἀντὶ ἐγὼ, σὺ, ἐκεῖνος.

Περὶ συνθέτων.

Σύνθετοι δὲ τρεῖς, ὀνομαστικὰς οὐκ ἔχουσαι.

Τοῦ πρώτου προσώπου.

Ἐμαυτοῦ. ἐμαυτῷ. ἐμαυτόν. ἐμαυτῆς. ἐμαυτῇ. ἐμαυτήν. ἐμαυτοῦ. ἐμαυτῷ. ἐμαυτό.

Τοῦ δευτέρου προσώπου.

Σαυτοῦ. σαυτῷ. σαυτόν. Σαυτῆς. σαυτῇ. σαυτήν. Σαυτοῦ. σαυτῷ. σαυτό. Καὶ αἱ μὲν τοῦ πρώτου καὶ δευτέρου προσώπου, μέχρι τούτου μόνον κλίνονται. αἱ δὲ τοῦ τρίτου καὶ πληθυντικῶς, συνθέτως τε ἅμα, καὶ διῃρημένως. ὧδε.

Τοῦ τρίτου.

Ἑαυτοῦ. ἑαυτῷ. ἑαυτόν. ἑαυτῆς. ἑαυτῇ. ἑαυτήν. ἑαυτοῦ, ἑαυτῷ. ἑαυτό. ἑαυτῶν, καὶ σφῶν αὐτῶν. ἑαυτοῖς, καὶ σφίσιν αὐτοῖς. ἑαυτοὺς, καὶ σφᾶς αὐτούς.

Περὶ προθέσεων.

Πρόθεσίς ἐστι μέρος λόγου ἄκλιτον, προτιθέμενον πάντων τῶν τοῦ λόγου μερῶν, καὶ ἐν τῇ συνθέσει, καὶ συντάξει. Τῶν δὴ προθέσεων ὀκτωκαίδεκα οὐσῶν, ἓξ εἰσὶ μονοσύλλαβοι. ἐν. εἰς. ἐξ. σύν. πρός. πρό. δυοκαίδεκα δὲ δισύλλαβοι. ἀνά. κατά. διά. μετά. παρά. ἀντί. ἐπί. περί. ἀμφί. ἀπό. ὑπό. ὑπέρ. Ἀλλὰ περὶ μὲν τῆς τούτων συντάξεως, ἐν τῷ τέλει τῆς ἐπιτομῆς ἐροῦμεν.

o vos.hæ.harum.his.has.o vos.
hoc huius huic hoc o tu.hæc horum o vos.
hæc horum his hæc o vos.ille illius.
illa illius.illud illius.

De relatiuo.

Relatiuum autem vnum trigenerice dictum sic. Ipse ipsius ipsi ipsum.ipsi ipsorum.ipsi ipsorum. ipsis ipsos.ipsa.ipsius ipsi ipsam.ipsę ipsarum.
ipsæ ipsarum.ipsis ipsas ipsum,ipsius ipsi ipsum.
ipsa ipsorum.ipsa ipsorum.ipsis ipsa.
Proprium enim huius trium personarum significatio. ipse enim pro ego,tu ille.

De Compositis.

Composita autem tria nominatiuos non habentia.

Primæ personæ.

Meiipsius mihiipsi,meipsū.meiipsius mihiipsi meipsā meiipsius mihiipsi meipsum.

Secundæ personę.

Tibiipsius tibiipsi teipsum.tuiipsius tibiipsi teipsam. tuiipsius tibiipsi teipsum. Et quidem primæ, & secundę personę,vsq; huc solum flectuntur,Sed tertiæ & pluraliter,coniunctimq; simul & diuisim sic.

Tertiæ.

Suiipsius sibiipsi seipsum.suiipsius sibiipsi seipsam. Suiipsius sibiipsi.seipsum.Suiipsorum,& suiipsorum, sibiipsis & sibiipsis.seipsos & seipsos.

De præpositionibus.

Pręsitio est pars orationis indeclinabilis p̄posita oībus orationis partibus, & in compositione, & constructione.Præpositionibus octo,& decem entibus, Sex sunt,monosyllabæ.in.in.ex cū.ad,ante. Duodecim autem dissyllabę.per.secundū.per. cum.apud. ętra.in, circum.circum.ab sub.super.Sed de harum constructione in fine compendii dicemus.

Περὶ ἐπιῤῥήματος.

Ἐπίῤῥημά ἐστι μέρος λόγου ἄκλιτον, κατὰ ῥήματος λεγόμενον, ἢ ἐπιλεγόμενον. Τούτου δὲ τὰ μὲν, καλοῦνται χρόνου· οἷον, νῦν. τότε. αὖθις. τόφρα. τέως. ἕως. ἡνίκα. ἔπειτα. μετέπειτα. σήμερον. αὔριον. χθὲς, ὃ καὶ ἐχθὲς λέγεται. ἤδη. πάλαι. ἀεί. Τὰ δὲ, τόπου. οἷον, ἄνω. κάτω. ἔξω. ἔσω. ἔνδον. ἐγγύς. πόῤῥω. ἐναντίον. χαμαί. ἔνθα. ὅθεν. ἐπέκεινα. μακράν. Τὰ δὲ, ποιότητος. οἷον, αἱ. καλῶς. ἡδέως. σοφῶς. κοινηδόν. βοτρυδόν. ἀγεληδόν. Τούτων δὲ ἔνια γίνονται ἀπὸ τῆς γενικῆς πληθυντικῆς, καὶ μεσότητι προσαγορεύονται. οἷον, σοφῶς, ἀπὸ τῶν σοφῶν. καλῶς, ἀπὸ τῶν καλῶν. Τὰ δὲ, ποσότητος. οἷον, ἅπαξ. δίς. τρίς. τετράκις. Τὰ δὲ, ἀθροίσεως. οἷον, ἅμα. ὁμοῦ. συλλήβδην. ἀθρόως. Τὰ δὲ, παρακελεύσεως. οἷον, εἶα. ἄγε. φέρε. δεῦτε. Τὰ δὲ, διαιρέσεως. οἷον, ἄνα. χωρίς. δίχη. Τὰ δὲ, ἐξαιρέσεως. οἷον, πλήν. Τὰ δὲ, τάξεως. οἷον, ἑξῆς. ἐφεξῆς. Τὰ δὲ ὁμοιώσεως. οἷον, ὡς. ὥσπερ. καθά. καθάπερ. Τὰ δὲ, ἀποστάσεως. οἷον, ὥστε. Τὰ δὲ, συγκρίσεως. οἷον, μᾶλλον. ἧττον. Τὰ δὲ, ἐξηγηματικά. οἷον, δηλονότι. δηλαδή. ἤγουν. οἷον. Τὰ δὲ, ποσότητος ἀορίστου, καὶ ποιότητος. οἷον, ἀμηγέπως. ὁπωσοῦν. ἀμηγέπη. ὁπωσδήποτε. ὁπωσδηποτοῦν. Τὰ δὲ, ὑφαιρέσεως. οἷον, σπανίως. ἐλάχιστα. μόγις. Τὰ δὲ, ἐκλογῆς. οἷον, μετ. Τὰ δὲ ἀποτρεπτικά, ἡράκλεις. ἄπολλον. Τὰ δὲ, ἐθνικά. οἷον, ἑλληνιστί. ῥωμαϊστί. ἑβραϊστί. συριστί. φρυγιστί. ἀρμενιστί. Τὰ δὲ, ἀνέσεως. οἷον, μόλις. μόγις. Τὰ δὲ, διστάσεως. οἷον, σχεδόν. Τὰ δὲ, ὀργανικά. οἷον, ὀδάξ. λάξ. Τὰ δὲ, ἀποθετικά, καὶ προκαταστατικά. οἷον, εἶεν. Τὰ δὲ, ἐπιτάσεως. οἷον, λίαν. ἄγαν. πάνυ. μάλιστα. σφόδρα. Τὰ δὲ, ἀνέσεως. οἷον, ἠρέμα. ἡσυχῆ. Τὰ δὲ, βεβαιώσεως. οἷον, δηλαδή. δήπουθεν. παντόντως. ἦ. Τὰ δὲ, καταφάσεως. οἷον, ναί. Τὰ δὲ, κατομώσεως. οἷον, νή. μά. Τὰ δὲ, ἀπομώσεως. οἷον. μά. Τὰ δὲ, ἀρνήσεως. οἷον, οὐ. οὐδαμῶς. ἥκιστα. Τὰ δὲ, ἀπαγορεύσεως. οἷον, μή. μηδαμῶς. Τὰ δὲ, εἰκασμοῦ.

De aduerbio.

Aduerbiũ est pars orõnis indeclinabilis iuxta verbũ dicta vel post dicta. Huius aũt aliqua vocantur tẽporis, vt nunc. tunc. rursus. tũc. quãdiu. vsq;. quãdo. quãdo. postea. postea hodie, cras. heri, quod & heri dicitur. Iam. diu. semper. Aliqua autẽ loci, vt supra. infra. extra. intra. intus. propè. longe. contra humi. ibi. vnde. vlterius. lõge. Aliqua aũt qualitatis, vt bñ. bene. iucũde. sapiẽter. canine. racematim. gregatim. Harũ ãt quęcũq; fiunt a genitiuo plurali, & mediocritatis, appellantur, vt sapienter a sapientibus. bene a bonis. Aliqua autem quantitatis, vt semel bis ter quater. Aliqua aũt ęgregatiõis, vt simul unà collectim. efertim. Aliqua autẽ cõgregatiõis. vt eia age age age agite. Aliqua autem diuisionis, vt sine absq; diuisi. Aliqua ãt exceptiõis, vt p̃ter. Aliqua ãt ordĩs, vt deinceps deinceps. Aliqua similitudinis, vt sicut sicut sicut sicut. Aliqua separationis vt itaq;. Aliqua comparationis, vt magis minus. aliqua expositiua, vt videlicet videli. videli. videlicet. vt. Aliq̃ quãtitatis, infinitæ & qualitatis. vt aliquomodo, quomodocunq;, aliqro modo, vtcunq;, vtcunq;. Aliqua sublationis, vt raro minime vix. aliqua electionis, quin immo. aliqua depiecatiua, vt hercule, apollo. Aliqua gẽtilia, vt græce. romane. hebraice. syriace. troiane. armenie. Aliqua remissiõis, vt vix vix. Aliqua aũt dubitatiõis, vt forsan. Aliqua organica, vt mordicus. cum calce. Aliqua dpositiua, & p̃cõstitutiu, vt esto. Aliq̃ itẽtiõis, vt valde nimis valde, maxie vehęmẽter. Aliq̃ remissiõis, vt paula tim sensim. Aliqua ꝯfirmationis, vt videlicet certe sane eqdẽ. Aliqua affirmatiõis, vt næ. Aliqua aũt iurationis, vt per. per. Aliqua abiurationis, vt per. Aliqua negationis, vt non nequaquam minime. Aliqua autem prohibitionis, vt ne neutiq;. Aliqua autem euentus, vt

ἴσως. τάχα. τυχόν. Τὰ δὲ, ἐρωτήσεως. οἷον, πόθεν. ποῦ. πηνίκα. πῶς. Τὰ δὲ δείξεως. οἷον, ἰδού. ἠνί. Τὰ δὲ, κλήσεως. οἷον, ὦ. Τὰ δὲ, διαστάσεως. οἷον, Τὰ δὲ, θέσεως. οἷον, ἀναγνωστέον. πλαστέον. γραπτέον. ἰστέον. Τὰ δὲ, σχετλιασμοῦ. οἷον, ὢ. ἰού. οἴμοι. φεῦ. Τὰ δὲ, θαυμασμοῦ. οἷον, φεῦ. βαβαί. Τὰ δὲ, ἐκπλήξεως. οἷον, ἆ. Τὰ δὲ, θειασμοῦ. οἷον, ἀοῖ. ἀάν. Παρέπεται δὲ αὐτῷ, εἶδος, καὶ σχῆμα. τὸ μὲν γὰρ, πρωτότυπον. οἷον, νῦν. τὸ δὲ, παράγωγον, οἷον, νυνί. καὶ τὸ μὲν, ἁπλοῦν, οἷον, πάλαι. τὸ δὲ σύνθετον. οἷον, πρόπαλαι.

Περὶ συνδέσμων.

Σύνδεσμός ἐστι μέρος λόγου ἄκλιτον συνδέον τὰ ἄλλα μέρη τοῦ λόγου εἰς διάνοιαν μετὰ τάξεως. Τούτων δὲ οἱ μὲν, συμπλεκτικοί. οἷον, μὲν. δὲ. τέ. καί. ἀλλά. ἀτάρ. οἱ δὲ, διαζευκτικοί. οἷον, ἤ. ἤτοι. Οἱ δὲ, συναπτικοί. οἷον, εἰ. εἴπερ. εἰδή. εἰδήπερ. Οἱ δὲ, παρασυναπτικοί. οἷον, ἐπεὶ, ἐπείπερ. ἐπειδή. ἐπειδήπερ. Οἱ δὲ, αἰτιολογικοί. οἷον, ἵνα. ὄφρα. ὅπως. ἕνεκα. οὕνεκα. γάρ. ὅτι. διότι. Οἱ δὲ, ἀπορηματικοί. οἷον, ἄρα. εἶτα. μῶν. μή. Οἱ δὲ, συλλογιστικοί. οἷον, ἄρα. ἀλλά. ἀλλαμήν. οὖν. τοίνυν. τοιγάρτοι. τοιγαροῦν. Οἱ δὲ, παραπληρωματικοί. οἷον, δή. ποῦ. τοι. δῆτα. πέρ. πώ. μήν. αὖ. οὖν. γε. Οἱ δὲ, δυνητικοί. οἷον, ἄν. Οἱ δὲ, διακριτικοὶ, ἤτουν ἐπλεκτικοί. οἷον, γοῦν. γε. Οἱ δὲ, ἐναντιωματικοί. οἷον, ὅμως. καίτοι. καίπερ. ἔμπης. Παρέπεται δὲ αὐτῷ, σχῆμα. ὁ μὲν γὰρ, ἁπλοῦς. οἷον, ἐπεί. ὁ δὲ, σύνθετος. οἷον, ἐπειδή. Τούτων οὕτως ἐγνωσμένων, ἑπόμενον ἂν εἴη καὶ περὶ ἄλλων τινῶν ἀναγκαίων εἰπεῖν. καὶ πρῶτον περὶ τῶν εἰδῶν τῶν παραγώγων.

Περὶ τῶν εἰδῶν τῶν παραγώγων.

Εἴδη τῶν παραγώγων ἑπτά. Πατρωνυμικόν. Κτητικόν. Συγκριτικόν. Υπερθετικόν. Υποκοριστικόν. Παρώνυμον, καὶ ῥηματικόν.

forsitan forte fortuitu. Aliqua interrogationis, vt vnde vbi quādo quomodo. Aliqua demostratiōis, vt en, ecce. Aliqua vocationis, vt o. Aliqua declarationis, vt veluti. Aliqua positionis, vt legendum, nauigandum. scribēdum, sciendū. Aliqua doloris, vt o heu heu heu. Aliqua admirationis, vt papæ papę, Aliqua terroris, vt a, Aliqua diuinitatis, vt euœ euan. Accidit ei species, & figura hęc quidem primitiua velut. nūc. hæc deriuatiua, vt nūc & hæc qdē simplex, velut diu. hoc compositum, vt iandiu.

De coniunctionibus.

Cōiūctio est pars oratiōis indeclinabilis ꝯiungēs, alias partes oratiōis in sententiam cū ordine, huius aūt aliæ quidem copulatiuæ, vt quidem autem & sed at. alię aūt disiunctiuæ, vt quā idest. aliquę aūt ꝯtinuatiuę, vt si. siqdē quidē siquid. Aliæ aūt subcontinuatiuę, vt quoniam quoniā quoniā quoniā. Aliæ autem causales, vt. vt. vt. vt. propter. quoniam. n. quod. quoniam. aliæ autem dubitatiuæ, vt forsan postea an, nunquid. aliæ autem collectiuæ, vt igitur sed verum igitur ergo itaq;. ergo. alie autem completiuæ, veluti. quidē qdē qdē qdē qdē qdē qdē qdē quidē. aliæ āt possibiles, vt vtiq;. alię āt discretiuæ, siue collectiuæ, vt igitur utiq;. alię aduersatiuæ, vt tamen quamuis quanquam tamen. Accidit autem ei figura, hæc quidē simplex, vt postquam. hęc autem composita, vt postquam. His sic cognitis. consequens esset & de aliis quibusdam necessariis dicere, & primum de speciebus deductorum.

De speciebus deriuatiuorum.

Species deriuatiuorū sꝫ ptē. Patronymicū possessiuū. Comparatiuum. Superlatiuum, diminutiuum, denominatiuum, & verbale.

Περὶ πατρωνυμικοῦ.

Πατρωνυμικὸν ὄνομα κυρίως ἐστὶ τὸ ἀπὸ πατρὸς σχηματιζόμενον, υἱὸν πατρὸς σημαῖνον. οἷον, ἀπὸ τοῦ πηλεὺς, πηλέως, πηλείδης, ἀχιλλεύς. καταχρηστικῶς δὲ καὶ ἀπὸ τοῦ πάππου λέγεται. ὁ αἰακὸς, αἰακοῦ, αἰακίδης, ὁ αὐτός. τούτων δὲ τὰ μὲν, ἀρσενικά, τὰ δὲ, θηλυκά. καὶ τῶν μὲν ἀρσενικῶν, τρεῖς καταλήξεις εἰσί. δης κοινή. οἷον, πηλείδης. ων ἰωνική. οἷον, πηλείων. αδιος. οἷον, ὑῤῥάδιος. Ὅτε δὲ ἡ γενικὴ τοῦ ὀνόματος λήγει εἰς ως, ἢ εἰς ους, ἢ εἰς ος, τότε εἰς ιδης κοινῶς σχηματίζεται τὸ πατρωνυμικόν. πηλεὺς, πηλέως, πηλείδης. καὶ κατὰ συναίρεσιν, πηλείδης. δημοσθένης, δημοσθένους, δημοσθενίδης. ἀγαμέμνων, ἀγαμέμνονος, ἀγαμεμνονίδης. Ἔτι εἰ ἡ γενικὴ λήγει εἰς ου τῆς τετάρτης κλίσεως οὖσα, μὴ παραληγομένη τῷ ι, εἰς ιδης σχηματίζεται τὸ πατρωνυμικόν. οἷον, πρίαμος, πριάμου, πριαμίδης. τάνταλος, ταντάλου, ταντταλίδης. εἰ δὲ αὐτῷ παραλήγεται τῷ ι, εἰς αδης σχηματίζεται τὸ πατρωνυμικόν. οἷον, ἥλιος, ἡλίου, ἡλιάδης. Ἔτι τὰ τῆς πρώτης κλίσεως εἰς αδης σχηματίζονται. οἷον, αἰνείας, αἰνείου, αἰνειάδης. ἱππότης, ἱππότου, ἱπποτάδης. Πᾶν δὲ πατρωνυμικὸν παραλήγει ἢ ι. οἷον κρονίδης. ἢ ει διφθόγγῳ, οἷον, πηλείδης κατὰ συναίρεσιν, ἢ α, αἰνειάδης, ἢ οι διφθόγγῳ κατὰ συναίρεσιν, πανθοΐδης πανθοίδης. τῶν δὲ θηλυκῶν τρεῖς καταλήξεις εἰσίν. ας. ις. νη. καὶ αἱ μὲν, εἰς ας καὶ ις. ἀπὸ τῶν ἰδίων ἀρσενικῶν σχηματίζονται, ἀποβολῇ τοῦ δη. οἷον, ἡλιὰς, ἀπὸ ἡλιάδης. πριαμὶς, ἀπὸ πριαμίδης. ἡ δὲ εἰς νη αἰολικὴ οὖσα, ἀπὸ γενικῆς σχηματίζεται. οἷον, ἀδρασίνη, ἀπὸ τοῦ ἀδράστου. ἀκρισιώνη, ἀπὸ τοῦ ἀκρισίωνος.

Περὶ κτητικοῦ.

Κτητικὸν ὄνομα, ἐστὶ τὸ κτῆσίν τινος πράγματος δηλοῦν. καταλήξεις δὲ αὐτοῦ δύο. κος, οἷον μουσικός. οὗ παραλήξεις τρεῖς. ι, οἷον, μουσικός. α, οἷον, κυριακός. η. οἷον, θηλυκός. οὗ παραλήξεις ἕξ. ι, οἷον, λόγιος. ε. οἷον, ἑκτόρειος. οἷον, ἡράκλειος. αι. οἷον, ῥωμαῖος. οι, οἷον, ἀλλοῖος. ω, οἷον, πατρῷος.

Patronymicū nomē ꝓprie est, qđ a patre formatum, filium patris significat, vt a peleus pelei pęlides, Achilles. Abusiue autem & ab auo dicitur, vt æacus æaci æacides, idem. huius aūt, aliqa masculina aliqua autem fœminina. Et quidem masculinorum tres terminatiões sunt, dis cōmunis, vt pelides. on. ionica, vt peleon. adios, vt hyrradius. Cum autem genitiuus nois desinit in os, vel in vs, vel in os, tunc in idis cōiter formatur patronymicum. Peleus pelei peleides & persynære sin pelides. Demosthenes demosthenis demosthenides. Agamemnon agamemnonis agamemnonides. Item si genitiuus desinit in u, quartæ declinationis ens, non penultimans iota, in idis formať patronymicum, vt priamus priami priamides. Tantalus tātali tantelides. Si aūt ipse penultimat iota, in adis formatur patronymicum, vt sol solis heliades. Item primæ declinationis in adis formant, vt æneas ęneæ, ęneades. hippotes hippotæ tades. Omne aūt patronymicū desinit, vel in iota, vt Saturni⁹, vel eiecta diphthōgo, vt pelides psynęresi, vel alpha, vt æneades, vel o iota diphthongo persynæresin, vt pātoides pāthœdes. Sed fœmininorū tres terminatões sunt as. is. ni. & quidā in as, & is, a propriis masculinis, formantur abiectione di, vt Helias ab heliades: priamis a priamides. Sed in ni æolica ens, a genitiuo formatur, vt Adrastina, ab Adrasto. Acrisione, ab Acrisione.

De possessiuo.

Possessiuū nomē est possessionē alicui⁹ rei significās. Terminatiões aūt ei⁹ q̄ cos, vt music⁹. Cui⁹ termiatões, tres iota, vt music⁹a, vt cyprian⁹. y, vt fœminin⁹. Et os. cuius terminatiões sex, iota, vt eloquēs e, vt hectore⁹ ει, vt heraclius ου, vt romanus ο, vt varius ῳ, vt paternus,

Περὶ συγκριτικοῦ.

Verbū actiuū pprie desinens in o mega, & formās passiuum in mæ vt diligo diligor hoc autem sexfariam constructo. Prima species actiuorum postulat ante se nominatiuum personæ agentis, qui natura in omni verbo præintelligitur, & post se accusatiuum personæ patientis, vt præceptor diligit discipulum. Amo. Præteritum imperfectum amabā. Ptūm perfectum amaui. Indefinitum amaui. Futurum amabo. construitur etiam cū datiuo, qn̄ aliqd sufficere significat, vt stat factis, pro contentus est. Diligo. Præteritum perfectum dilexi. Indefinitum dilexi. Futurum diligam. construitur etiam cum infinitiuo cum solet significat. vt solet legere pro solet.

Στέργω. ὁ ἀόριστος, ἔστερξα. ὁ μέλλων, στέρξω ἀντὶ
ἀγαπῶ. αἰτιατικῇ. στέργω δὲ τὸ ἐμμένω καὶ πρόσκειμαι
δοτικῇ. Ποθέω, ῶ. ὁ παρακείμενος, πεπόθηκα.
ὁ ἀόριστος, ἐπόθησα. ὁ μέλλων, ποθήσω. τὸ δὲ ἀγαπῶ
πλέον τοῦ φιλεῖν σημαίνει. καὶ φιλῶ μὲν παρόντα, ποθῶ
δὲ ἀπόντα. τὸ δὲ ἐρῶ συνώνυμον ὄν, ὡς τὰ πολλὰ ἐπὶ
διαβολῆς λαμβάνεται. καὶ διὰ τοῦτο γενικῇ συντάσσεσθαι φησὶν
ὁ ἀπολλώνιος. ὅτε δ᾽ ἐπ᾽ ἀγαθῶν κεῖται, πλέον
τοῦ φιλεῖν σημαίνει. ὅθεν καὶ τὸν ἀγαθὸν βασιλέα φασὶ μὴ
μόνον ὑπ᾽ ἀνθρώπων φιλεῖσθαι, ἀλλὰ καὶ ἐρᾶσθαι.
Μισέω, ῶ. ὁ παρακείμενος, μεμίσηκα. ὁ ἀόριστος, ἐμίσησα.
ὁ μέλλων, μισήσω. Βλάπτω. ὁ ἀόριστος, ἔβλαψα. ὁ μέλ-
λων, βλάψω. Τύπτω. ὁ ἀόριστος, ἔτυψα. ὁ μέλλων, τύψω.
Καταλύω. ὁ παρακείμενος, καταλέλυκα. ὁ ἀόριστος, κατέλυσα.
ὁ μέλλων, καταλύσω, ἀντὶ ἀφανίζω. καταλύω δὲ εἰς
τὸ ξενοδοχεῖον, καὶ καταλύω παρὰ τῷ ξένῳ,
ἀντὶ τοῦ ξενίζομαι. ὅθεν καὶ κατάλυμα ἡ πρόσκαιρος κατοικία.
Ἔχω, ἀνώμαλον. οὗ ὁ μέλλων, ἕξω. ὁ παρακείμενος, ἔσχηκα.
ὁ δ᾽ ἄτερος ἀόριστος ἔσχον, ἀπὸ τοῦ σχέω, ῶ. οὗ ὁ μέλλων,
σχήσω. ἔχω δὲ τὸ κέκτημαι, τὸ κρατῶ, τὸ οἰκῶ, τὸ φορῶ, τὸ
ἐλαύνω, αἰτιατικῇ. ἔχω τὸ δύναμαι, ἀπαρεμφάτῳ,
ἔχω ποιεῖν, ἀντὶ δύναμαι. ἔχω τὸ διάκειμαι,
ἐπιρρήματι καὶ γενικῇ. ὡς ἔχω καὶ οὕτω γνώμης ἔχω.
καὶ καλῶς ἔχω τοῦ σώματος. καὶ καλῶς ἔχω τὸ σῶμα. καὶ
καλῶς ἔχοι μοι ὁ δεῖνα, ἀντὶ ἐπιτήδειός μου ἐστίν. ἔχομαι
δὲ τοῦ ἀντὶ ἅπτομαι, κοινὸν μετὰ γενικῆς. Θαυμάζω.
ὁ παρακείμενος, τεθαύμακα. ὁ ἀόριστος,
ἐθαύμασα. ὁ μέλλων, θαυμάσω, ἀντὶ τοῦ ἐπαινῶ,
θαυμάζω δὲ τοῦ ἀνδρὸς, ἐπὶ κατηγορίας. καὶ ἔτι θαυμάζω
τὸν ἄνδρα σπανίως. Ὑμνῶ. ἐπὶ θεοῦ. ὁ ἀόριστος, ὕμνησα.
ὁ μέλλων, ὑμνήσω. Ἐπαινῶ λόγοις. ὁ ἀόριστος, ἐπῄνεσα.
ὁ μέλλων, ἐπαινέσω. ἐγκωμιάζω γραφῇ. ὁ ἀόριστος, ἐνεκωμίασα.
ὁ μέλλων, ἐγκωμιάσω. Ζηλόω, ῶ. τὸ ἐπαινῶ,
καὶ μιμοῦμαι, καὶ φθονῶ. ὁ ἀόριστος, ἐζήλωσα. ὁ μέλλων

Amo. Indefinitum amaui. Futurum amabo pro amo cum acto. Amo aũt id qđ permaneo, & acqesco cũ datiuo. Desydero. ptum perfectum desyderaui. Indefinitum desyderaui, futurum desyderabo. sed amo plusq̃ diligere significat. & diligo qdē pñtem, desydero vero absentē. Amo aũt vniuocũ ens, vt plurimum in calumnia accipitur, & ꝓpterea cũ genitiuo construitur inquit Apollonius, cũ aũt boni gratia positum est plusq̃ diligere significat. Vnde & bonum regem aiunt non solum ab hominibus diligi uerum etiam amari. Odio habeo. pręteritũ perfectum, odi. Indefinitum odi, Futurum odio habeo. Lædo. Indefinitum læsi. Futurũ lędã. Verbero. Indefinitũ verberaui. futurũ verbera. Dissoluo. ptm̃ perfectum dissolui. Indefinitum dissolui Futurum dissoluam. pro deleo. Diuerto autem ad hospitium, & diuerto apud hospitem pro hospitor. vnde & diuersoriũ tēporaria habitatio. Habeo inæquale, cuius futurũ habeo. pręte. pf. habui Secundũ indefinitum habui ab habeo. cuius futurum habebo. habeo aũt id ꝙ possideo, qđ teneo ꝙ hito· qđ porto, qđ pello accus. habeo qđ possum, cũ infinitiuo. habeo facere ꝗ possum, habeo quod affectus sum. cũ aduerbio & gtō. bene hēo. & sic sententiam habeo, & bene valeo corpore, & bene valeo corpus, & bene habet mihi quidam, ꝓ cōmodus. mihi est. habeo vero te pro tango, commune cum genitiuo Admiror. præteritum perfectum admiratus sum. Indefinitum admiratus sum. futurum. admirabor, pro laudo.

Miror vero de viro, ad accusationem, & amplius miror virum raro. Laudo ad deum. Indefini. laudaui. Futurum. laudabo. Laudo verbis. Indefini. laudaui. Futu. laudabo. Laudo scripto. Indefinitum laudaui. Futurum laudabo. Aemulor, quod laudo & imitor, & inuideo. Indefini. æmulatus sum. Futu-

ζηλώσω. Γινώσκω, ἀνώμαλον. ὁ παρατατικὸς, ἐγίνωσκον. καὶ πλέον οὔ. ἀπὸ δὲ τοῦ γνόω ῶ, καὶ γνῶμι, ὁ παρακείμενος, ἔγνωκα. ὁ δεύτερος ἀόριστος, ἔγνων, ὁ μέλλων, γνώσομαι. καὶ ἔτι ἀναγινώσκω τὸ βιβλίον, καὶ διαγινώσκω, καὶ ἐπιγινώσκω. συγγινώσκω δέ σοι τῆς ἁμαρτίας, καὶ καταγινώσκω σου ἀμαθίαν. καὶ μεταγινώσκω ἐπὶ τοῖς πεπραγμένοις. τὸ δὲ ἀπογινώσκω, ποτὲ μὲν γενικῇ, ποτὲ δὲ αἰτιατικῇ. Ὁράω. ῶ. ὁ παρατατικὸς, ἑώρακον, ὡς ὁ παρακείμενος. ἑώρακα. ἔτι τὸ βλέπω καὶ εἶδον ἀόριστος δεύτερος Ἀπατάω, ῶ. ὁ ἀόριστος, ἠπάτησα, ὁ μέλλων, ἀπατήσω. ἀτιμάζω. ὁ ἀόριστος, ἠτίμασα, ὁ μέλλων, ἀτιμάσω. Βάλλω. ὁ παρατατικὸς, ἔβαλλον, ὁ μέλλων, βαλῶ. ἀόριστος δεύτερος, ἔβαλον, παρακείμενος βέβληκα, ἀπὸ τοῦ βλῶ. οὗ ὁ μέλλων, βλήσω, ὡσαύτως καὶ καταβάλλω, καὶ διαβάλλω. συμβάλλω δὲ καὶ προσβάλλω, δοτικῇ. ὑποβάλλω δέ σοι τόδε. ὁμοίως καὶ τὸ βάπτω, βαπτίζω. κρίνω, καὶ διακρίνω, καὶ ἐκκρίνω, καὶ ἀνακρίνω, καὶ ἐπικρίνω. βασάζω. βασανίζω. ἀγείρω. ἐγχ[illegible] καὶ ἀκοντίζω. λυπῶ. ἀνιῶ. ἀλιάω. ἀλείφω. ἅπτω ἀνάπτω πῦρ. νίπτω τὰς χεῖρας πρὸ τοῦ ἀρίστου. ἀπονίπτω μετὰ τὸ ἄριστον. γλύπτω. δάκνω. δαμάζω. δελεάζω. δικάζω. ἀδικῶ. δοκιμάζω, καὶ ἀποδοκιμάζω καὶ ἄλλα πάμπολλα. περὶ ὧν εἰπεῖν οὐ τοῦ παρόντος σκοποῦ. ἱκανῶς γὰρ ἄλλοις εἴρηται κατὰ στοιχεῖον, καὶ μαξίμῳ τῷ πλανούδῃ ἐν τῷ περὶ μεταβατικῶν καὶ ἀμεταβάτων. Ἰστέον ὅτι τοῖς τοιούτοις ῥήμασι τίθεται δοτικὴ πρὸ τῆς αἰτιατικῆς, χάριν ἢ περιποίησιν δηλοῦσα, οἷον, φιλῶ σοι τὸν υἱόν. τύπτωσι τὸν παῖδα, ἤτοι σοὶ χαριζόμενος. καὶ μετὰ τὴν αἰτιατικὴν τίθεται δοτικὴ ὀργανικῶς, φιλῶ σε ὅλῃ ψυχῇ. βάλλω σε μήλοις. πολλάκις δὲ καὶ γενικὴ κατ᾽ ἔλλειψιν τοῦ ἕνεκα. φιλῶ σε τῆς ἀρετῆς μισῶ σε τῆς κακίας. θαυμάζω σε τοῦ νοῦ.

æmulabor. Cognoſco inæquale. Ptũm in pf. cogno ſcebam, & amplius nõ. Sed a cognoſco & cognoſco. ptũm perfectum, cognoui. Secundum indefi. cognoui. Futurum cognoſcam. & etiam lego libellum. & diſcerno. & cognoſco. ignoſco vero tibi peccatum. & condemno tuam ineruditionem. & pœnitet factorum. deſpero autem aliqñ quidem cum genitiuo, aliqñ vero cũ accuſatiuo. Video. ptũm iperfectũ videbã prçteritum perfectum vidi. Item video, & vidi. Indefinitum ſecundum. Decipio. Indefinitum decepi. Futuro, decipiam. Inhonoro. Indefinitum inhonoraui. Futurum inhonorabo. mitto. ptũm imperfect. mittebã. Futurum mittam. Indefinitum ſecundum miſi. Ptũm perfectũ miſi a percutio, cuius Futurũ percutiã. eodẽ modo & deſtruo, & criminor. cummitto autem & appono cum datiuo. Impono vero tibi hoc ſimiliter & tingo. mergo. Iudico. diiudico, & adiudico, & rescco. & adiudico. porto. exquiro. cõgrego. ſuffoco. iaculor. mœſtifico. dolorifico piſcor. vngo. accedo, & accendo ignem. lauo manus ante prandiũ. abluo vero poſt prandium. ſcalpo mordeo. domo. ineſco. iudico. iuſtum facio iniurior. probo, & reprobo, & alia permulta, de quibus dicere non prçſentis cõſiderationis. ſufficiẽter. n. ab aliis dictũ ẽ p alphabetũ, & a Maximo Planude in libro de tranſitiuis, & intranſitiuis. Sciendum ꝙ his verbis ponitur datiuus ante accũm, grãm, vel acqſitionẽ ſignificans, vt diligo tibi filium. verbero tibi puerũ, videlicet tibi gratificans, & poſt accuſatiuum ponitur datiuus inſtrumẽtaliter. diligo te tota anima. peto te malis, ſæpe autem & genitiuus deficiente gratia, diligo te virtute, odi te prauitate, miror te mente.

Τὰ εἰς δοτικὴν τοῦ δευτέρου εἴδους.

Τὸ δεύτερον εἶδος τῶν ἐνεργητικῶν ἀπαιτεῖ πρὸ ἑαυτοῦ ὀνομαστικὴν προσώπου ἐνεργοῦντος, καὶ μεθ᾽ αὑτὸ δοτικὴν προσώπου πάσχοντος. οἷον, ὁ σοφὸς Ἄλδος τὰ μέγιστα βοηθεῖ τοῖς φιλέλλησιν ἐντυπῶν τὰ βιβλία. Βοηθέω, ῶ. ὁ παρακείμενος, βεβοήθηκα. ὁ ἀόριστος, ἐβοήθησα. ὁ μέλλων, βοηθήσω. Πολεμέω, ῶ. ἀόριστος, ἐπολέμησα. ὁ μέλλων, πολεμήσω. ὅπερ καὶ αἰτιατικῇ συντάσσεται. τὸ δὲ καταπολεμῶ, αἰτιατικῇ. καὶ ἐκπολεμῶ ἕτερον ἑτέρῳ, ἀντὶ πολέμιον ποιῶ. Βασκαίνω. ὁ ἀόριστος, ἐβάσκηνα. ὁ μέλλων, βασκανῶ, ἀντὶ τοῦ φθονῶ. Βασκαίνω δέ σε, ἀντὶ τοῦ διαβάλλω, καὶ αἰτιῶμαι. Φθονέω, ῶ. ὁ ἀόριστος, ἐφθόνησα. ὁ μέλλων, φθονήσω. πιστεύω. πεπίστευκα. πιστεύσω. Ἀπιστέω, ῶ. ἠπίστησα. ἀπιστήσω. Λειτουργέω, ῶ. ἐλειτούργησα. ὁ λειτουργήσω. ὡσαύτως καὶ διακονέω, ῶ, καὶ ὑπουργέω, ῶ, καὶ ὑπηρετέω, ῶ. Ἐνοχλέω, ῶ. καὶ διοχλέω, ῶ. ὁ ἀόριστος, ἠνώχλησα διπλῶς αὐξανόμενος. ὁ μέλλων, ἐνοχλήσω. καὶ ἐνοχλῶ σε. Ἐμπαίζω σοι. ὁ ἀόριστος, ἐνέπαιξα. ὁ μέλλων, ἐμπαίξω. Ἐγκαλέω, ῶ. ὁ μέλλων, ἐγκαλέσω. καὶ ἐγκαλῶ σοι φόνου. Ἐμβλέπω. Ἐπιβουλεύω. Χρηματίζω τὸ ὁμιλῶ. Χρηματίζομαι δὲ τὸ συλλέγω χρήματα, αἰτιατικῇ. Τιμωρῶ, τὸ ἐκδικῶ. τιμωροῦμαι δὲ τὸ κολάζω, αἰτιατικῇ. Ἀμύνω καὶ ἐπαμύνω, τὸ βοηθῶ καὶ ἐκδικῶ. προσκυνῶ, καὶ ἄλλα πλεῖστα. Ἰστέον ὅτι καὶ τούτοις τίθεται δοτικὴ ἐργαλειακῶς, οἷον, βοηθῶ σοι ὅπλοις. καὶ γενικὴ ἐλλειπτικῶς, ὡς εἴρηται, βοηθῶ σοι τῆς ἀρετῆς. πολεμῶ σοι τῆς κακίας. φθονῶ σοι τῆς ἀτυχίας, ἀντὶ ἕνεκα.

Τὰ εἰς γενικὴν τοῦ τρίτου εἴδους.

Τὸ τρίτον εἶδος τῶν ἐνεργητικῶν ἀπαιτεῖ πρὸ ἑαυτοῦ ὀνομαστικὴν προσώπου ἐνεργοῦντος, καὶ μεθ᾽ αὑτὸ γενικὴν αἰτίου προσώπου πάσχοντος. οἷον, ἡ ἐκλαμπροτάτη

Quæ in datiuum secundæ speciei.

Secunda species actiuorum exigit ante se nominatiuum personæ agentis & post se datiuum personæ patientis, vt eruditus Aldus maxime iuuat græcorum studiosos imprimens libros. Iuuo præteritum perfectum iuui. Indefinitum iuui. Futurum iuuabo. Bello. Indefinitum bellaui. Futurum bellabo. quod & cum accusatiuo construitur. Sed debello cum accusatiuo. & committo alterū cū altero, p hostem facio. Fascino. Indefinitum fascinaui. Futurū fascinabo, pro inuideo. Calumnior autem te, pro calumnior, & increpo. Inuideo. Indefinitum inuidi. Futurum inuideoo. Credo. credidi. credam. Diffido. diffisus sum diffidam. Ministro. ministraui ministrabo. similiter & ministro, & ministro. & ministro. turbo. disturbo. Indefinitum turbaui duplex habēs augumētū, futurū turbabo, & turbo te. Illudo tibi. Indefinitū illusi. Futurum illudam. accuso. Futurum accusabo. & accuso te cæde. Inspicio. Insidior. Incumbo id quod conuersor. lucror aūt id quod colligo pecunias cum accusatiuo, crucio, quod punio. punio. pro punio cum accusatiuo. vlciscor, & vlciscor. quod iuuo & punio. obuio. & alia plurima. S ciēdum in his poni datiuum instrumētaliter vt iuuo te armis, & genitiuum defectiue, vt dictum est. Iuuo te ob virtutem. bello te ob malitiam. Inuideo tibi felicitate pro causa.

Quæ in genitiuum tertię speciei.

Tertia species actiuorum exigit ante se nominatiuum personę agentis, & post se genitiuum personæ patientis, vt illustrissimum imperium

τῶν ἐτῶν ἄρχει καὶ τῆς κρήτης. Αρχω. ὁ ἀόρι-
ςΘ, ἦρξα. ὁ μέλλων, ἄρξω, τὸ βασιλεύω καὶ τὸ ἀρχὴν
ποιῶ. καὶ ἄρχομαι τοῦ βιβλίου, μέσον. Βασιλεύω. ὁ ἀόρι-
ςΘ, ἐβασίλευσα. ὁ μέλλων, βασιλεύσω. βασιλεύω δέ σε
παρὰ τῇ θείᾳ γραφῇ, ἀντὶ τοῦ βασιλέα σε ποιῶ.
ὡσαύτως καὶ δεσπόζω σε, καὶ κυριεύω σε, ἀντὶ δεσπότην
καὶ κύριόν σε καθιςῶ. Κυριεύω. ὁ ἀόριςΘ,
ἐκυρίευσα. ὁ μέλλων, κυριεύσω. Ηγεμονεύω. ἡγεμόνευ-
σα. ἡγεμονεύσω. Δυναςεύω. ἐδυνάςευσα. ὁ μέλλων, δυναςεύσω.
Κρατέω ῶ, τὸ κυριεύω. κρατῶ δέ σε, ἀντὶ νικῶ. Κατηγορῶ σου
ἀντὶ κατὰ σοῦ ἀγορεύω. καὶ κατηγορῶ σου φόνον, καὶ ἔπι φόνου.
Αμελέω, ῶ. ἠμέλησα. ἀμελήσω. Φροντίζω, καὶ ἐκφροντίζω σου,
καὶ σε πολλάκις. Ολιγωρέω, ῶ σου, ἀντὶ καταφρονῶ. ὠλιγώρη-
σα. ὁ μέλλων, ὀλιγωρήσω. Τίθεται δὲ καὶ τούτοις δοτικὴ ὀργανι-
κῶς, τυραννεῖ τοῦ δήμου ὅπλοις. καὶ γενικὴ ἐλλειπτικῶς, τυραν-
νεῖ ἐκείνων τῆς ὠμότητος καὶ ἀχαριςίας.

Τὰ μετὰ τὴν αἰτιατικὴν εἰς αἰτιατικήν. τέταρτον εἶδΘ.

Τὸ τέταρτον εἶδΘ τῶν ἐνεργητικῶν ἀπαιτεῖ πρὸ ἑαυτοῦ ὀνο-
μαςικὴν δρῶσαν, καὶ μεθ' αὐτὸ αἰτιατικὴν πάσχουσαν,
μεθ' ἣν ἑτέραν αἰτιατικήν. οἷον, ὁ Κωνςαντῖνος ἐν μέσῳ καὶ
τῆς σικελίας διδάσκει τοὺς ἑαυτοῦ μαθητὰς ποιητικά,
ῥητορικὰ μαθήματα. Διδάσκω σε γραμματικήν,
καὶ διδάσκω σοι λόγους. ὁ παρατατικός, ἐδίδασκον,
καὶ πλέον οὔ. τὰ γὰρ εἰς σκω, μέχρι παρατατικοῦ κλίνον-
ται. ἀπὸ δὲ τοῦ διδάχω, ἀόριςον, ἐδίδαξα, καὶ διδάξω.
Παιδεύω σε παιδείαν. ὁ ἀόριςΘ, ἐπαίδευσα. ὁ μέλλων,
παιδεύσω. Νουθετῶ σε νουθεσίαν. ὁ ἀόριςΘ, ἐνουθέτησα.
ὁ μέλλων, νουθετήσω. Ζημιόω, ῶ σε χρυσίον, καὶ ἔπι χρυσίῳ.
ἐζημίωσα. ζημιώσω. Κλέπτω σε τοῦτ' δῦμα. ὁ παρα-
κείμενΘ, κέκλοφα. ὁ μέλλων, κλέψω. Κρύπτω
τὰ ἐμά. Αποςερῶ σε χρήματα, καὶ ἔπι τῶν χρημάτων.

Venetorum imperat & Cretæ. Impero. Indefinitum imperaui. Futurū imperabo. qđ regno & imperiū facio. & incipio librum, medium Regno. Indefinitum regnaui. Futurum regnabo. Regnifico vero te apud diuinam scripturam, pro regem te facio pari modo, & herifico te, & dominifico te, pro herū & dominum te constituo. dominor. Indefinitum dominatus sum. Futurum dominabor. duco. duxi. ducam possum. potui. potero. dominor. p dominor. uinco autē te, p uinco. Accuso te, pro contra te contionor. & accuso te cęde, & etiá cędis. negligo. neglexi. negligam. cogito & excogito te, & te sæpe. paruifacio te, pro paruifacio. paruifeci. Futurum despiciam. ponit aūt & in his datiuus instrumētaliter. dñat populo armis. & genitiu⁹ defectiue dñatur illis crudelitate, & ingratitudine.

Quę post accusatiuum in accusatiuum Quarta species.

Quarta species Actiuorum postulat ante se nominatiuum agentem, & post se accusatiuum patientem, post quem aliū accusatiuū, vt Constantinus in Messana Siliciæ docet suos discipulos poeticas, & rhetoricas disciplinas. Doceo te grammaticam, & doceo te sermones. ptūm imperfectum docebam. & amplius nō. Nā quę in sco vsq; ad ptūm impf. declinantur, a doceo autem non in vsu, docui, docebo. Erudio te disciplinam. Indefinitum erudiui. Futurum erudiam. Moneo te admonitionis Indefinitum monui. Futurum monebo multo te aureo. & etiam aureo. multaui. multabo. Furor tibi vestem. Prateritum perfectum furatus sum. Futurum furabor. Calo te mea. priuo te pecuniis, & etiam pecuniis.

ἀπεστέρησα. ἀποστερήσω. Ἀφαιρέω, ῶ, καὶ ἀφαιρέομαι οῦ καὶ σε τὰ βιβλία, καὶ ἐπὶ τῶν βιβλίων. καὶ ἀφαιρῶ σου τόδε, καὶ ἀφαιρῶ σοι τόδε. ὁ παρακείμενος, ἀφήρηκα. ὁ μέλλων, ἀφαιρήσω. ἐπενδύω σε τὸ ἱμάτιον, καὶ περιδύω σε. καὶ ἐκδύω, καὶ ἀποδύω. Μυέω ῶ σε τὰ μυστήρια. Εἰσπράττω σε χρήματα. ἀπαιτῶ σε τὸ χρέος, καὶ ἄλλα πάμπολλα.

Πέμπτον εἶδος. τὰ μετὰ τὴν αἰτιατικὴν δοτικήν.

Τὸ πέμπτον εἶδος τῶν ἐνεργητικῶν ἀπαιτεῖ πρὸ ἑαυτῶν αἰτιατικὴν ἐνεργοῦσαν, καὶ μεθ' αὐτὸ αἰτιατικὴν εἰς ἣν, καὶ μεθ' ἣν δοτικήν, ἢ καὶ ἀντιστρόφως. οἷον, Δίδωμί σοι βίβλον. Ἀγγέλλω σοι τόδε. ἤγγειλα. ἀγγελῶ. Μηνύω σοι καινά. ἐμήνυσα. μηνύσω. Δίδωμί σοι χρήματα. δέδωκα. δώσω. Λέγω σοι λόγον. καὶ λέγω σε περὶ λόγους ποιῶ δάξειν. ἐλέξα. λέξω. Ποιῶ σοι ἀγαθὸν κοινῶς, καὶ ποιῶ σε ἀγαθὸν, καὶ ἀττικῶς. πεποίηκα. ἐποίησα. ποιήσω. Δράω ῶ σοι τόδε, καὶ δρῶ σε τόδε ἀττικῶς. δέδρακα. δράσω. Κομίζω σοι χρυσὸν, καὶ κομίζω σε εἰς τὸν ἀγρόν. κομίζομαι δέ σε κοινόν, ἀντὶ τοῦ λαμβάνω. ἐκόμισα. κομίσω. Φέρω σοι τὸν κύνα, καὶ φέρω αὐτὸν εἰς τὸν σὸν οἶκον. ἐνήνοχα. ἤνεγκον. ὁ μέλλων, ἀπὸ τοῦ οἴω. Ἄγω σοι τὸν ἄνθρωπον, καὶ ἄγω σε εἰς τὴν πόλιν. ὁ δεύτερος ἀόριστος ἤγον. καὶ ἀττικῶς ἤγαγον. ὁ μέλλων, ἄξω. Σημείωσαι δὲ τὸ μὲν φέρω, ἐπὶ ἀψύχων. τὸ δὲ ἄγω, ἐπὶ ἐμψύχων. τὸ δὲ κομίζω, ἐπ' ἀμφοτέρων. Ἀφίημι σοι παρακαταθήκην, καὶ ἀφίημί σε ἁπλῶς. καὶ ἀφίημί σε τοῦ χρέους, ἀντὶ τοῦ ἀπολύω, ἀφῆκα. ἀφήσω. Πέμπω σοι γράμματα, καὶ πέμπω σε εἰς τὴν ... ὁ παρακείμενος, πέπομφα. πέμψω μέλλων. Γράφω σοι ἐπιστολήν. καὶ ἀντιστρόφως, γράφω σε τοῖς πολίταις. καὶ γράφομαί σε, ἀντὶ τοῦ αἰτιῶμαι. ὅθεν καὶ τὸ ἐγράψατο τὴν δίκην ... πον ἀσεβείας ἢ παρανόμων. Ἐπιστέλλω σοι γράμματα καὶ πράγματα. καὶ ἐπιστέλλω σε εἰς τὴν κῆπον. ...

priuaui. priuabo. Aufero, & aufero a te libro, & etiam libros. & aufero tibi hoc, & aufero tibi hoc. Præteritum perfectũ abstuli. Futurũ auferam. Item induo te vestem, & circuminduo te, & exuo, & deinduo. Initio te mysteriis. exigo a te pecunias. repeto a te debitum & alia plurima.

Quinta species quæ post accusatiuum datiuum.

Quinta species. actiuorum requirit ante se nominatiuum agentem, & post se accusatiuum, post, quem datiuum vel ex contrario, vt do tibi librũ. nuntio tibi hoc, nuntiaui nuntiabo. significo tibi noua. significaui significabo, do tibi pecũias. dedi. dabo. dico tibi sermonem. & dico te sermonibus studere. dixi. dicam. facio tibi bonum cõmuniter, & facio tibi bonũ attice. feci feci faciam. facio tibi hoc, & facio tibi hoc attice. Feci faciam. porto tibi aureũ. & porto te in agrum. accipio autem te cõmune, pro fero ipsum in tuam domum. portaui portabo. fero tibi canem, & futurum a fero. intuli tuli. feram duco tibi hominem, & duco te in ciuitatem. secundus aoristus duxi, & attice duxi futurum ducam. nota autem fero de inanimatis, Sed. duco de animatis. porto autem de vtroq;. remitto tibi depositum, & remitto te simpliciter. & remitto tibi debitum. pro absoluo. remisi, remittam. mitto tibi literas, & mitto te ad Romam, Prũm perfectum misi, mittam futurum. scribo tibi Epistolam. & ex contrario, scribo te ciuibus, & scribo te; pro accuso, vnde & scripsit hominem impietate vel transgressionibus. mitto tibi literas, & mitto te in hortum. sacrifico de[...]

θυσίαν ἀναίμακτον. τέθυκα. ἔθυσα. θύσω.

Εκτον εἶδος. τὰ μετὰ τὴν αἰτιατικὴν γενικήν.

Τὸ ἕκτον εἶδος καὶ τελευταῖον τῶν ἐνεργητικῶν ἀπαιτεῖ τὴν αἰτιατικὴν
ἑαυτοῦ ὀνομαστικὴν δρῶσαν, καὶ μετ' αὐτὸ ῥήματος
μετ' ἣν γενικήν. ἢ ἐξ αὐτῆς τῆς φύσεως τοῦ ἀξιῶ σε
διαλυομένου εἰς ὄνομα, ἀφ' οὗ ἡ γενικὴ ποιεῖται. οἷον, ἀξιῶ σε τῶν ἀγαθῶν,
τιμῆς, ἀντὶ ἄξιον ἡγοῦμαί σε τιμῆς. γυμνειῶ σε τῶν ἀγαθῶν, προθέσεως
ἀντὶ γυμνόν σε καθίσω. ἢ νοουμένης ἔξωθεν τῆς ἀντὶ
ἐλλειπτικῶς. οἷον, λύω σε τῶν δεσμῶν, δηλονότι τῆς οἰκίας
τῶν δεσμῶν. διώκω σε τῆς οἰκίας, ἀντὶ ἐκ τιμῆς. καὶ
Αξιόω ὦ, σε τιμῆς, ἀντὶ ἀξιόν σε κρίνω τὸ βιβλίον
ἀξιῶ σε, ἀντὶ παρακαλῶ. καὶ ἀξιῶ σε ἐντυπῶσαι τὸ βιβλίον
ἠξίωσα. ἀξιώσω. Γυμνόω ὦ σε τῆς ἀρχῆς, ἀντὶ τοῦ γυμνόν σε
καθίσω. ἐγύμνωσα. γυμνώσω. Ελαττόω σε τοῦ ἑταίρου
ἀντὶ ἐλάττω δείκνυμι. ἠλάττωσα. ἐλαττώσω. Αθωόω ὦ σε
ὦ σε τοῦ φόνου, ἀντὶ τοῦ ἀθῶόν σε ποιῶ. Κενόω ὦ σε
τῶν πραγμάτων, ἀντὶ τοῦ κενόν σε ποιῶ. Πληρόω, ὦ σε
τῶν ἀγαθῶν, ἀντὶ πλήρη σε ποιῶ. Γεμίζω τὴν φιάλην
ὕδατος. Κορέννυμί σε τροφῆς. ἐν τούτοις καὶ τοῖς ὁμοίοις γί-
νεται τοῦ ῥήματος διάλυσις εἰς ὄνομα καὶ ῥῆμα, ὡς εἴρηται
ἐν δὲ τοῖς ἑπομένοις, ἔνδει προθέσεως. Παύω σε
τῶν κακῶν. καὶ παύω σε παίζειν, καὶ ἐπὶ τοῦ παίζειν.
ὁ ἀόριστος, ἔπαυσα. ὁ μέλλων, παύσω. Διώκω σε
ἀντὶ τοῦ ζητῶ. καὶ διώκω σε τῆς οἰκίας, ἀντὶ ἐλαύνω. καὶ
διώκω σε κλοπῆς, ἀντὶ κατηγορῶ. ὅπερ καὶ διωκάθω λέγεται.
Ελαύνω σε τῆς πόλεως, καὶ ἀπελαύνω σε τοῦ βωμοῦ.
Εκκλείω σε τοῦ οἰκήματος. Ελαφρύνω σε τοῦ βάρους. Κουφί-
ζω σε τοῦ χρέους. Απαλλάττω σε τῶν δεινῶν, ἀντὶ τοῦ ἀπολύω.
ἀπαλλάττομαι δὲ ἀπὸ σοῦ, ἀντὶ τοῦ ἄπειμι. ὅθεν τὸ ὦ,
ἀπαλλάχθητον ἀπ' ἐμοῦ, ἀντὶ τοῦ ἄπιτε. Ελευθερῶ σε
τῆς δουλείας τῶν ἀσεβῶν. Μακρυνῶ σε τῆς οὐδοῦ. Αρπάζω σε
τοῦ πυρός. Εγείρω σε καὶ ἐξεγείρω σε τοῦ ὕπνου.

ſacrificium exangue, ſacrificaui. ſacrificaui. ſacrificabo.

Sexta ſpecies. quæ poſt actũm genitiuũ.

Sexta ſpecies, & vltima actiuorum petit ante ſe nominatiuum agentem, & poſt ſe accuſatiuum. poſt quem genitiuum, vel ex ipſa natura verbi reſoluti in nomen, a quo genitiuus fit, vt dignor te honore pro dignũ puto te honore, Denudo te bonis, pro nudum te ſtatuo, vel intellecta extra præpoſitione defectiue, vt ſoluo te vinculis videlicet a vinculis, expello te domo, pro e domo. Dignor te honore, pro dignum te iudico honore, & dignor te pro rogo. & rogo te imprimere libellũ. rogaui. rogabo. nudo te principatu pro nudũ te conſtituo. nudaui. nudabo. minuo te ſocio, pro minorem oſtendo, minui. minuam. expertem facio te cędis, pro innocentem te facio. vacuo te pecuniis, pro vacuum te facio. impleo te bonis, pro plenum te facio. Impleo phialam aqua. Saturo te cibo. In his & ſimilibus fit verbi diſſolutio in nomen, & verbum, vt dictum eſt, In ſequentibus autem deficit præpoſitio. Sedo te malis, & quieſco te ludere. & etiam ludere. Indefinitum ſedaui. Futurum ſedabo. Perſequor te, pro quæro. & expello te domo, pro expello. & accuſo te furto, pro accuſo. quod & expello dicitur. pello te ab vrbe, & expello te ab altari. excludo te a domicilio. leuo te onere. leuo te debito. abſoluo te grauibus. pro abſoluo. abeo vero a te, pro diſcedo. vnde o amice diſcedite a me, pro abite. libero te ſeruitute impiorum. produco tibi viam. eripio te ab igni, excito te & excito te a ſomno.

o

Καθαίρω σε τοῦ ῥύπου. Κρεμῶ σε τοῦ ποδός. Καὶ τὰ συμ-
βολαίων δὲ σημαντικὰ, δηλαδὴ τὸ πωλῶ τὸν ἵππο[ν]
δέκα χρυσίων, καὶ ἀποδίδομαι βοῶν σίτου, καὶ πιπρά[σκω]
τὴν οἰκίαν ἑκατὸν ταλάντων, καὶ πρίαμαι μ[...]
τριάκοντα στατήρων, καὶ ὠνοῦμαι καὶ ἀγοράζω, ἢ καθ' ὁμ[...]
τητα τῶν προτέρων ὅτι τὸ τίμημα ἐπὶ γενικῆς καὶ ἐπὶ
δοτικῆς, ἔντισιν, ἢ κατ' ἔλλειψιν τῆς διὰ προθέσεως ἀπλικ[...]
ὥστισιν ἔδοξεν. ὅπερ οὐκ ἀρέσκει. Καὶ τὰ μὲν ἀρκτικ[...]
εἴδη τῆς συντάξεως, ταῦτα. εἰς ἃ καὶ τὰ δοκοῦντ[α]
μὲν, μὴ ὄντα δὲ ἀνάγονται. τὸ γὰρ ἀκούω σου τοὺς λόγους
ἀποδέχομαί σου τὸν τρόπον, ταυτόν ἐστι τῷ πρώτ[ῳ]
τῷ εἰς αἰτιατικὴν μεταβαίνοντι. τὸ γὰρ ῥῆμα εἰς αἰτιατ[ι-]
κὴν μεταβαίνει. ἡ δὲ γενικὴ, ἢ ἀπὸ αἰτιατικῆς ποιητ[ι-]
ἢ ἀπὸ προθέσεως ἐπίτισιν, ἢ ἐλλειπτικῶς. Ἔτι τὸ ἀ[πὸ]
αἰτιατικῆς εἰς γενικὴν ταυτόν ἐστι κατ' ἔλλειψιν τοῦ ἕνεκ[α]
ἄγαμαί σε τοῦ φρονήματος. ἐπαινῶ σε τοῦ [...]
θαυμάζω σε τῆς σοφίας. ταῦτα δὲ καὶ ἀντιστρέ[φεται]
τίθενται. ἄγαμαί σου τὸ φρόνημα. ἐπαινῶ σου τὸν [...]
θαυμάζω σου τὴν σοφίαν. Ἔτι τὸ ἀπὸ αἰτιατικῆς εἰς δοτικ[ὴν]
ταυτόν ἐστι τῷ πρώτῳ, ἢ ὀργανικῶς. οἷον, ἀμείβομαί [σε]
δώροις δεξιοῦμαί σε τραπέζῃ. ἢ διαλυτικ[ῶς]
ἐξισῶ σε τῷ Ἡρακλεῖ. ὁμοιῶ σε τῷ Ἀχιλλεῖ, ἀντὶ τοῦ ὅμοι[όν]
σε ἐκείνοις κρίνω. Ἔτι τὸ εἰς αἰτιατικὴν [...]
μεταβαῖνον, μεθ' ἣν τίθεμεν γενικὴν μετὰ προθέσεως [...]
ἀκούω τοὺς ποιητὰς παρὰ τοῦ Κωνσταντίνου. τοῦτο [...]
αἰτιατικῇ ἄλλως. μερίζω τὴν αἶραν ἀπὸ τοῦ σίτου. [...]
τὸν κλέπτην ἀπὸ τοῦ ἀσύλου. Τὸ δὲ ἀπὸ δοτικῆς εἰς γεν[ικὴν]
ταυτόν ἐστι τῷ δευτέρῳ τῷ εἰς δοτικὴν μεταβαίνοντι. [...]
ἀμφισβητῶ σοι τῆς ἀρχῆς, καὶ περὶ τῆς [...]
συγγινώσκω σοι τῆς ἀνοίας ἐλλειπτικῶς. [...]
μοι χρημάτων διαλυτικῶς, ἀντὶ ἔνδειά μοι ἐστὶ χρημάτων. [...]
κοινωνῶ σοι τῆς δόξης, ἀντὶ τοῦ κοινωνός σοι γίνομαι [τῆς]
δόξης. μετέχω σοι τοῦ πάθους, ἀντὶ μέτοχός σοι γίνομαι [τοῦ]
πάθους. καὶ ἔτι μετέχω σοι τὸ πάθος. [...]

Purgo te sorde suspendo te pede. & commerciorum significantia, videlicet vendo equum decem aureis. & vendo bouem tritico & vendo domum centum talentis. & emo maurum triginta libris. & emo. & emo, vel per similitudinem priorum, quoniam pretiũ in genitiuo, & in dtõ in qbusdã, vel p defectũ p, præpositionis attice, vt qbusdã visum est, quod non placet. Et principales species constructionis hæ, in quas & quæ videntur quidẽ, sed nõ sunt, referuntur. nã audio tuos sermones suscipio tuum modum. eadem est, quod prima in accusatiuum transiens. nam verbum in accusatiuum transit. genitiuus autem, vel ab accusatiuo fit, vel a præpositione in quibusdã. vel defectiue. Item ab accusatiuo in genitiuum idem est qđ perfectũ causa. admiror te ob prudentiam. laudo te ob mentem. admiror te sapientia. hæc autem & conuersiue ponuntur. admiror tuam prudentiam. laudo tuã mẽtẽ, miror tuã sapientiã. Item quod ab accusatiuo in datiuũ Idem est primç. vel instrumentaliter, vt retribuo te muneribus. accipio te mensa. vel resolutorie. exæquo te Herculi, assimulo te Achilli, pro similem te illis iudico. Etiam in accusatiuum solum transiens, post quem ponimus gtm̃ cum prępositione, vt audio poetas a Constantino. hoc autem & cum accusatiuo aliter. secerno lolium a tritico. traho furem ab asylo. Quæ vero a datiuo in genitiuum, eadem est secundæ in datiuum transeunti. vt dubito de tuo principatu, & de principatu. Ignosco tibi ob dementiam defectiue. Sed opus est mihi pecuniis resolutorie p idigẽtia mihi ẽ pecunia tum. particeps sum tecum glorię. pro particeps tibi fio gloriæ. participo tecũ passionis, pro particeps tibi fio passionis. & etiam participo tuam passionem. vnde &

τὸ τοῦ κωμικοῦ, οὐ γὰρ μετεῖχες τὰς ἴσας πληγὰς ἐμοί. τούτων οὕτως εἰρημένων, ἑχόμενον ἂν εἴη τὸν αὐτὸν τρόπον καὶ περὶ τῶν παθητικῶν διαλαβεῖν.

Περὶ τῶν παθητικῶν. πρῶτον εἶδος.

Ρῆμα παθητικὸν κυρίως ἐστὶν ὅπερ λῆγον εἰς μαι ἀπὸ ἐνεργητικοῦ σχηματιζόμενον, πάθος σημαίνει. φιλοῦμαι, ὅτι φιλῶ. νικῶμαι, ὅτι νικῶ. πλεῖστα δὲ τῶν παθητικῶν κοινῶς λαμβάνονται ἐνέργειαν καὶ πάθος σημαίνοντα ἔθει ἀττικῷ. καὶ μάλιστα οἱ καλούμενοι μέσοι χρόνοι αὐτῶν, εἰ καὶ πλέον εἰς τὸ ἐνεργητικὸν ῥέπουσι. Τοῦ δὲ παθητικοῦ ἐξαιρέτως συντασσομένου ὥσπερ καὶ τὰ ἐνεργητικά, τὸ πρῶτον εἶδος αὐτῶν ἀπαιτεῖ πρὸ ἑαυτοῦ ὀνομαστικὴν προσώπου πάσχοντος, καὶ μεθ᾽ αὑτὸ γενικὴν προσώπου ἐνεργοῦντος μετὰ τῆς προσηκούσης προθέσεως, τῆς ὑπό, ἢ παρά, ἢ πρός. οἷον, ὁ μαθητὴς φιλεῖται ὑπὸ τοῦ διδασκάλου. Ἰστέον δὲ ὅτι ὥσπερ ἐν τοῖς ἐνεργητικοῖς προεπιθεῖται ὀνομαστικὴ δρῶσα, οὕτως ἐν τοῖς παθητικοῖς πάσχουσα. καὶ ὥσπερ ἐν τοῖς ἐνεργητικοῖς ἡ πλαγία πάσχει, οὕτως ἐν τοῖς παθητικοῖς δρᾷ μετὰ προθέσεως. καὶ συμβαίνει ἀντεστραμμένως τοῖς ἄκροις. ὁ διδάσκαλος φιλεῖ τὸν μαθητήν. ὁ μαθητὴς φιλεῖται ὑπὸ τοῦ διδασκάλου, καὶ διδάσκεται πρὸς αὐτοῦ, καὶ ὠφελεῖται παρ᾽ αὐτοῦ.

Ἀγαπάομαι, ῶμαι. ἠγάπημαι. ἀγαπήσομαι.
Φιλέομαι, οῦμαι. πεφίλημαι. φιλήσομαι.
Στέργομαι. ἐστερξάμην. στέρξομαι.
Ποθέομαι, οῦμαι. πεπόθημαι. ποθήσομαι.
Μισέομαι, οῦμαι. μεμίσημαι. μισήσομαι.
Βλάπτομαι. βέβλαμμαι. βλάψομαι.
Τύπτομαι. τέτυμμαι. τύψομαι.
Καταλύομαι. καταλέλυμαι. καταλύσομαι.
Ἔχομαι. ἔσχημαι. ἕξομαι.
Θαυμάζομαι. τεθαύμασμαι. θαυμάσομαι.

illud comici, nõ.n. participabas pares plagas mecum. His sic dictis consequens esset eodem modo & de passiuis tractare.

De passiuis. prima species.

Verbum passiuũ proprie est, quod desinẽs in mr, ab actiuo formatum, passionem significat. amor, quia amo. uincor, quia vinco. plurima autem passiua communiter accipiuntur actionem & passionem significantia, more attico, & maxime quæ vocantur media tempora eorum, & si pleraq; in actiuũ vergunt. passiuo autem se excusariam constructo, vt & actiua. prima species ipsorum exigit ante se nominatiuum personæ patientis, & post se genitiuum personæ agentis cum interueniente præpositione, a vel ab vel ab, vt discipulus amatur a magistro. Notandum ꝙ sicut in actiuis præintelligitũ nominatiuus agens, sic in passiuis patiens. & quemadmodum in actiuis obliquus patitur, & sic in passiuis agit cum præpositione, & contingit conuerti extremis. magister amat. discipulum. discipulus amatur a magistro. & docetur ab eo, & iuuatur ab ipso.

Amor	amatus	sum	amabor.
Diligor	dilectus	sum	diligar.
Amor	amatus	sum	amabor.
Desyderor	desyderat'	sum	desyderabor.
Odio habeor.	odio habit'	sum	odio habebor.
Offendor	offensus	sum	offendar.
Verberor	verberatus	sum	verberabor.
Dissoluor	dissolutus	sum	dissoluar.
Habeor.	habitus	sum	habebor.
Admirationi sum.	Admirationi	fui	adnurationi ero.

Ὑμνέομαι, οῦμαι. ὕμνημαι. ὑμνήσομαι.
Ἐπαινέομαι, οῦμαι. ἐπῄνεμαι. ἐπαινέσομαι.
Ἐγκωμιάζομαι. ἐνεγκωμιασάμην. ἐγκωμιάσομαι.
Ζηλόομαι, οῦμαι. ἐζήλωμαι. ζηλώσομαι.
Γινώσκομαι, ἔγνωσμαι. γνώσομαι.
Ὁρῶμαι. ἑώραμαι. ὡράθην.
Ἀπατάομαι, ῶμαι. ἠπάτημαι. ἀπατήσομαι.
Ἀτιμάζομαι. ἠτίμασμαι. ἀτιμάσομαι.

Βάλλομαι βέβλημαι. βλήσομαι. ὁμοίως καὶ τὸ βαπτίζομαι, κρίνομαι. βασάζομαι. βασανίζομαι. λυποῦμαι. ἀνιῶμαι. καὶ τἄλλα ὡσαύτως κατὰ τῶν παθητικῶν τύπον. Δεῖ δὲ εἰδέναι ὅτι ἐν τοῖς παθητικοῖς τίθεται δοτικὴ τὸ αὐτὸ σημαίνουσα ὅπερ ἡ γενικὴ μετὰ προθέσεως. οἷον, φιλοῦμαί σοι, ἀντὶ ὑπὸ σοῦ. ἔτι ὀργανικῶς, βάλλομαι μήλοις. καὶ γενικὴ ἐλλειπτικῶς, ὥσπερ ἐν τοῖς ἐνεργητικοῖς, φιλοῦμαι ὑπὸ σοῦ τῆς ἀρετῆς, ἢ διὰ τὴν ἀρετήν. μισοῦμαι τῆς κακίας, ἀντὶ ἕνεκα. Ἔτι ἴδιον τῶν παθητικῶν διὰ συνεκδοχικῶς λαμβάνειν αἰτιατικὴν, ὅτε τὸν πάσχοντα τόπον δηλοῦσιν. οἷον, πλήττομαι τὸν πόδα. τέρπομαι τὴν φρένα.

Δεύτερον εἶδος.

Τὸ δεύτερον εἶδος τῶν παθητικῶν ἀπαιτεῖ πρὸ ἑαυτοῦ ὀνομαστικὴν προσώπου πάσχοντος, καὶ μετ᾽ αὐτὸ γενικὴν προσώπου ἐνεργοῦντος μετὰ τῆς προσηκούσης προθέσεως. Βοηθέομαι, οῦμαι. βεβοήθημαι. βοηθήσομαι.
Πολεμέομαι, οῦμαι. πεπολέμημαι. πολεμήσομαι.
Βασκαίνομαι. βασκαινοῦμαι.
Φθονέομαι, οῦμαι. ἐφθόνημαι. φθονήσομαι.
Πιστεύομαι. πεπίστευμαι. πιστεύσομαι.
Ἀπιστέομαι. οῦμαι. ἠπίστημαι. ἀπιστήσομαι.
Λειτουργέομαι, οῦμαι. Ὑπηρετέομαι. οῦμαι.
Ἐνοχλοῦμαι. ἠνώχλημαι. ἐνοχλήσομαι.

Ἐμπαίζομαι. ἐγκαλοῦμαι. ἐπιβουλεύομαι. προσκρούομαι, καὶ τἄλλα. Ὁμοίως καὶ τούτοις ἕπεται, τὰ τοῦ πρώτου. βοηθοῦ/

Laudor.
Laudor. laudatus sum laudabor.
Laudor. laudatus sum laudabor.
Aemulationi sum. laudatus sum laudabor.
Cognoscor. æmulationi fui ęmmulationi ero
Videor. cognitus sum cognoscar
Decipior. visus sum visus sum
Inhonoror. deceptus sum decipiar.
Iacior. inhonoratus sum inhonorabor
Iudicor. iactus sum iaciar, sic & mergor baiulor. torq̄or tristificor. mœstificor. & alia similiter s̄m passiuorū formam. Oportet aūt scire, in passiuis poni datiuum idem significantem, quod gtūs cum præpositione. vt amor tibi, pro a te. Itē instrumentaliter, petor malis, & genitiuū defectiue. sicut in actiuis, Amor a te virtute, vel ob virtutem. odio habeor prauitate, pro causa. Itē propriū passiuorū conceptiue assumere accusatiuum, cū patiētē locum significant, vt vulneror pedem. delector mentem.

Secunda species.

Secunda species passiuorū postulat ante se nominatiuum personæ patientis, & post se genitiuum personæ agentis cum conueniente præpositione. Iuuor. iutus sum. iuuabor.
Bellor.
Fascinor. bellatus sum bellabor.
Inuideor. fascinatus sum fascinabor.
Credor. inuisus sum inuidebor.
Non credor. creditus sum credar.
Ministror. nō creditus sum non credar.
Perturbor. ministratus sum ministrabor.
Illudor. perturbatus sum perturbabor.
incusor. insidiis afficior. offendor, & alia. Similiter & hæc sequuntur quæ sunt primæ. adiu-

μαί σοι, ἀντὶ ὑπὸ σοῦ. πολεμοῦμαι. ὅπλοις. πταίομαι τῆς καλοκαγαθίας. ἀπιστοῦμαι τῆς κακίας. φθονοῦμαι τῆς ἀτυχίας.

Τρίτον εἶδος.

Τὸ τρίτον εἶδος τῶν παθητικῶν ἀπαιτεῖ πρὸ ἑαυτοῦ τὴν συνήθη ὀνομαστικὴν πάσχουσαν, καὶ μεθ' αὑτὸ γενικὴν μετὰ προθέσεως. οἷον, ἡ σικελία ἄρχεται ὑπὸ τοῦ βασιλέως τῆς ἀραγονίας.

Ἄρχομαι. ἠρξάμην. ἄρξομαι. Βασιλεύομαι. βεβασίλευμαι. βασιλεύσομαι. Κυριεύομαι. κεκυρίευμαι. κυριεύσομαι. Ἡγεμονεύομαι. ἡγεμόνευμαι. ἡγεμονεύσομαι. Δυναστεύομαι. δεδυνάστευμαι. δυναστεύσομαι.

Κρατοῦμαι. κεκράτημαι. κρατήσομαι.

Κατηγοροῦμαι. κατηγόρημαι. κατηγορήσομαι

Ἀμελοῦμαι. ἠμέλημαι. ἀμελήσομαι.

Φροντίζομαι. πεφρόντισμαι. φροντίσομαι.

Ὀλιγωροῦμαι. ὠλιγώρημαι. ὀλιγωρήσομαι.

Τίθεται καὶ τούτοις τὰ αὐτά. βασιλεύομαί σοι, ἀντὶ ὑπὸ σοῦ. τυραννοῦμαι ὑπὸ σοῦ ὅπλοις. καὶ ἐλλειπτικῶς, ὀλιγωροῦμαι τῆς ἀχαριστίας. ἀμελοῦμαι τῆς φειδωλίας.

Τέταρτον εἶδος.

Τὸ τέταρτον εἶδος τῶν παθητικῶν ἀπαιτεῖ πρὸ ἑαυτοῦ ὀνομαστικὴν πάσχουσαν, καὶ μεθ' αὑτὸ γενικὴν ἐνεργοῦσαν. εἶτα μεθ' ἣν τὴν οὖσαν αἰτιατικὴν ἐν τοῖς ἐνεργητικοῖς. οἷον, οἱ μαθηταὶ διδάσκονται ὑπὸ Κωνσταντίνου γραμματικήν. Διδάσκομαι παρὰ σοῦ λόγους. δεδίδαγμαι. ἐδιδάχθην. διδάξομαι. ἐδιδαξάμην. καὶ διδάσκομαί σοι. ἐν ποιητικοῖς, ἀντὶ ὑπὸ σοῦ. καὶ τὸ τοῦ κωμικοῦ, Ἐδιδαξάμην μέν τοι σε νῦν δι' ὦ μέλε, ἀντὶ εἰς διδάσκαλον ἔπεμψα. διδαχθήσομαι. Παιδεύομαι ὑπὸ σοῦ παιδείαν. πεπαίδευμαι. παιδεύσομαι. Νουθετοῦμαι πρὸς σοῦ νουθεσίαν σεμνῶς ζῆν. Ζημιοῦμαι παρὰ σοῦ χρυσίον, ἢ χρυσίῳ, Κλέπτομαι παρὰ σοῦ τὰ χρήματα.

uor tibi, pro a te. bellor armis. credor bonus. non credor malus. Inuideor felicitate.

Tertia species.

Tertia species passiuorum postulat ante se consuetum ntūm patientem, & post se genitiuum cū praepositione, vt Sicilia dominatur a rege Aragoniae. Dominor dñatus sum. dñabor. Regno. regnatus sum regnabor. Regno regnatus sum. regnabor. Imperor. imperatus sum. imperabor. in potestate sum. in potestate fui. in potestate ero.

Dominor.	dominatus	sum	dominabor
Accusor.	accusatus	sum	accusabor.
Negligor.	neglectus	sum	negligar.
Cogitor.	cogitatus	sum	cogitabor.
Paruipēdor.	paruipensus	sum	paruipendar.

Ponuntur & his eadem. regnor tibi, pro a te. Tyrannissor a te armis. & defectiue. paruipendor ingratitudine. negligor parsimonia.

Quarta species.

Quarta species passiuorum postulat ante se nominatiuum patientē, & post se genitiuum agentem. post quem existentem accusatiuum in actiuis. vt discipuli docentur a Constantino grammaticam. Doceor a te orationes. doctus sum. doctus sum, docebor. doctus sum. & doceor tibi rhetoricen, pro a te. & illud Comici. misi ad praeceptorem certe te per Iouem o miser pro ad magistrum misi docēdū. instruor a te eruditionem. Instructus sum. instruar. Admoneor a te admonitiōs honeste viuendi. damno afficior a te aureo, & aureo, priuor a te pecuniis.

ἀποστεροῦμαι παρὰ σοῦ τὰς βίβλους, ἢ τῶν βίβλων. ἀπεστέρημαι. ἀποστερήσομαι. Ἀφαιροῦμαι ὑπὸ σοῦ τὴν ἐσθῆτα, ἢ τῆς ἐσθῆτος. ἀφῄρημαι. ἀφαιρήσομαι. ἀφῄρημαι παιδικὰς καὶ λόγων, οὓς κτήσασθαι ἠδυνάμην καὶ ἠμέλησα. ἀπεστέρημαι δὲ τῶν ἐμῶν ἄκων. Ἐνδύομαι ὑπὸ σοῦ χιτῶνα, καὶ περιδύομαι, καὶ ἐκδύομαι. Μυοῦμαι ὑπὸ σοῦ τὰ ἱερὰ γράμματα. Εἰσπράττομαι παρὰ σοῦ χρήματα. Ἀπαιτοῦμαι παρὰ σοῦ τὸ χρέος.

Πέμπτον εἶδος.

Τὸ πέμπτον εἶδος τῶν παθητικῶν ἀπαιτεῖ πρὸ ἑαυτοῦ ὀνομαστικὴν πάσχουσαν, καὶ μεθ᾽ αὑτὸ τὴν συνήθη γενικήν, καὶ τὴν οὖσαν δοτικὴν ἐν τοῖς ἐνεργητικοῖς. οἷον, τὸ βιβλίον ἐσάλπισται παρὰ σοῦ. Ἀγγέλλομαι, ἤγγελμαι. ἀγγελοῦμαι. Μηνύομαι. μεμήνυμαι. ἐμηνύθην. μηνύσομαι. Δίδομαι. δέδομαι. ἐδόθην. δόσομαι. Λέγομαι. ἐλέχθην. τῇ λέξομαι. Ποιοῦμαι. πεποίημαι. καὶ πεποίηται τῇ διάνοιᾳ λόγος, ἀντὶ ὑπ᾽ ἐκείνου συνετέθη. ποιήσομαι. Δρῶμαι. δέδραμαι. ἀνύσομαι. Κομίζομαι. κεκόμισμαι. κομίσομαι. Φέρομαι. ἐνήνεγμαι. οἴσομαι. Ἄγομαι. ἦγμαι. ἤχθην. ἄξομαι. Ἀφίεμαι. ἀφεῖμαι. ἀφέθην. ἀφήσομαι. Πέμπομαι. ἐπέμφθην. πέμψομαι. Γράφομαι. γέγραμμαι. γράψομαι. Ἐπιστέλλομαι. ἐπέσταλμαι. ἐπιστελοῦμαι. Θύομαι. τέθυμαι. θύσομαι.

Ἕκτον εἶδος.

Τὸ ἕκτον εἶδος ἀπαιτεῖ πρὸ ἑαυτοῦ ὀνομαστικὴν πάσχουσαν καὶ μεθ᾽ αὑτὸ τὴν συνήθη γενικήν. μεθ᾽ ἣν τὴν οὖσαν αἰτιατικὴν ἐν τοῖς ἐνεργητικοῖς. ὁ δεῖνα ἀξιοῦται παρὰ τοῦ βασιλέως τιμῆς. Ἀξιοῦμαι τιμῆς, ἀντὶ ἄξιος κρίνομαι τιμῆς. ἠξίωμαι. ἠξιώθην. ἀξιώσομαι. Γυμνοῦμαι τῆς ἀρχῆς. γεγύμνωμαι. γυμνώσομαι.

priuor a te libris, vel libris
priuatus sum. priuabor. priuor a te veste
vel veste.priuatus sum priuabor.priuatus sum doctrina
& sermonibus,quos possidere potuissem,& neglexi.pri
uatus sum aũt meis inuitus. Induor a te tunicam, &
circuminduor. & exuor. Initior a te sacris
literis. Exigor a te pecunias.
postulor a te debitum.

Quinta species.

Quinta species passiuorum postulat ante se nomina
tiuum patientem,& post se consuetum genitiuum, &
qui erat in actiuis datiuum, vt libellus missus
est mihi a te. Nuntior. nuntiatus sum. nuntiabor.
nuntior. nuntiatus sum, nuntiatus sum. nuntiabor.
tribuor.datus sum.datus sum.dabor.dicor.dictus sum.
dicar. fio. factus sum. faciam. & facta est
ab illo oratio,pro ab illo composita est. fiam. fio. fi
am. portor. portatus sum. portabor. feror. latus.
sum ferar. ducor. ductus sum. ductus sum. ducar.
desyderor desyderatus sum.cupitꝰ sum,cupiar mittor.
missus . sum. mittar. scribor. scriptus sum. scribar.
mittor. missus sum. mittar. sacrificor.
sacrificatus sum. sacrificabor.

Sexta species.

Sexta species postulat ante se nominatiuũ patiẽtem,
& post se consuetum genitiuum, post quẽ existentem
accusatiuum in actiuis.Quidam dignus existimatur a
rege honore. dignum putor honore. pro dignus
iudicor honore.dignus putatus sum.putatus sum.puta
bor. nudor principatu. nudatus sum. nudabor

Ελαττοῦμαι τοῦ ἑταίρου. ἠλάττωμαι. ἐλαττώσομαι. Ἀθωοῦμαι
τοῦ ἐγκλήματος. Κενοῦμαι τῶν χρημάτων. Πληροῦμαι τῶν
ἀγαθῶν. Γεμίζεται ἡ φιάλη ὕδατος. Κορέννυμαι τροφῆς. ἀντὶ τοῦ
σιδικλυπικῶς, ὡς εἴρηται. Παύομαι τῶν κακῶν. Διώκομαι τῆς
οἰκίας. Ἐλαύνομαι τῆς πόλεως. Ἐκκλείομαι τῆς οἰκίας.
Ἐλαφρύνομαι τοῦ βάρους. κουφίζομαι τοῦ χρέους. Ἀπαλλάτ-
τομαι τῆς δουλείας. καὶ ἀπαλλάττομαι ἀπὸ σοῦ, ἀντὶ ἀπέχομαι.
Ἐλευθεροῦμαι τῶν δεινῶν. Μακρύνομαι τῆς ὁδοῦ. Ἀρπάζο-
μαι τοῦ πυρός. Κρεμῶμαι τοῦ ποδός. καθαίρομαι τοῦ ῥύπου
καὶ περὶ μὲν τῶν παθητικῶν, ταῦτα. Εἰσὶ δὲ καί τινα ῥήματα
ἃ ἐν μὲν τοῖς ἐνεργητικοῖς, τριπροσώπως κλίνονται. ἐν δὲ τοῖς
παθητικοῖς, κατὰ τὸ τρίτον μόνον. οἷον, σπείρω τὴν γῆν
ἡ γῆ σπείρεται ὑπὸ τῶν γεωργῶν. ἀροτριῶ τὸν ἀγρὸν
ὁ ἀγρὸς ἀροτριᾶται ὑπὸ τῶν συνήθων. θερίζω τὸ λήϊον. τὸ λήϊον
θερίζεται ὑπὸ τῶν θεριστῶν. σκάπτω τὰς ἀμπέλους
αἱ ἄμπελοι σκάπτονται ὑπὸ τῶν σκαφέων. ῥάπτω τὸ ἱμάτιον
τὸ ἱμάτιον ῥάπτεται ὑπὸ τῶν ῥαπτῶν. πλέω τὴν θάλατταν.
ἡ θάλαττα πλεῖται ὑπὸ τῶν ναυτῶν. οἰκοῦμεν πό-
λιν. ἡ πόλις οἰκεῖται ὑφ᾽ ἡμῶν. οἰκίζομεν τόπον. ὁ τόπος
οἰκίζεται ὑφ᾽ ἡμῶν. Ἔτι εἰσὶν ἔνια ῥήματα, ἃ
τρίτον μόνον πρόσωπον λέγεται ἐπὶ θεοῦ νοούμενον, νίφει.
χειμάζει. βρέχει. ὕει. βροντᾷ. καὶ βροντῶσιν αἱ νεφέλαι
ὁ κωμικός φησιν. ἀστράπτει. λάμπει. κεραυνοῖ.

Περὶ οὐδετέρων ῥημάτων. ὑπαρκτικά.

Οὐδέτερον ῥῆμά ἐστι κυρίως τὸ λῆγον εἰς ω, καὶ μὴ
σχηματίζον παθητικὸν εἰς μαι. οἷον, ζῶ. πλουτῶ. ὑγιαίνω.
πάσχω. ἐρυθριῶ. τούτου δὲ τὰ μὲν, ὑπαρκτικὰ
καλοῦνται, ὅσα καὶ πρὸ ἑαυτῶν καὶ μεθ᾽ αὑτὰ ὀνομαστικὴν
ἀπαιτοῦσιν. οἷον, ἐγώ εἰμι ἀμαθής. σὺ εἶ σοφός. ἐκεῖνος
ὑπάρχει δίκαιος. καὶ ἔτι ἀττικῶς μετὰ γενικῆς. ἐκεῖνος
ὑπάρχει τῶν δικαίων. τῶν ἀγαθῶν. εἰμί. εἶ. ἐστί. ὁ παρατατικὸς
ἦν. ἤμην. ἦσο. ἦτο. ἔσομαι. ἔσῃ. ἔσεται, καὶ ἔσται. πε-

minuor socio. diminutus sum. diminuar. absoluor accusatione. vacuor pecunia. impleor bonis. impletur phiala aqua. satior cibo. in o mnibus resolutorie, vt dictum est. sedor malis. expellor domo. expellor ab vrbe. excludor domo. leuor onere. leuor debito. libe- ror seruitute, & liberor a te, pro discedo. liberor malis. producor. via. eri pior ab igni. suspendor pede. purgor sorde. & de passiuis hæc. sunt autem & quædam verba quæ in actiuis in tribus personis flectuntur, in passiuis autem in tertia solum, vt semino terram. terra seminatur ab agricolis. Aro agrum. ager aratur a solitis. meto segetes. segetes metuntur a messoribus. fodio vites. vites fodiuntur a fossoribus. suo vestem. vestis suitur a sartoribus. nauigo mare. mare nauigatur a nautis. habitamus vrbem vrbs habitatur a nobis. habitare facio locum. locus ad habitandū datur a nobis. Itē sunt quædā verba, quorū tertia solū persona inuenitur in deo intellecta. ningit. tempestat. irrorat. pluit. tonat. & tonant nebulæ. Comicus inquit. fulgurat. fulget. fulminat.

De neutris verbis. Substantiua.

Neutrum verbū est proprie desinēs in o mega, & nō formans passiuum in mę, vt viuo. ditesco. sanus sum. patior. erubesco. huius autem quædam substantiua vocantur, quæ & ante se, & post se nominatiuum postulant, vt ego sum indoctus, tu es doctus. ille est iustus. atq; etiam attice cum genitiuo, ille. est ex iustis, ex bonis. Sum. es. est. Eram eras erat. fueram. fueras. fuerat. ero. eris. erit. & erit. superstes sum,

ἀντὶ τοῦ ἔτι ζῶ. ἔνεστι δέ μοι, καὶ ἔξεστί μοι τόδε, καὶ σύνεστι, δέ μοι καὶ πρόσεστι, καὶ πάρεστί μοι ὁ δεῖνα. μέτεστι δέ μοι πλούτου, ἀντὶ μετουσία μοι ἐστὶ πλούτου ἀπροσώπως. Ὑπάρχω. ὁ ἀόριστος. ὑπῆρξα. ὁ μέλλων, ὑπάρξω. ἀντὶ τοῦ ἀφ᾽ οὗ καὶ ὑπηργμένων λέγεται παθητικῶς. Τυγχάνω, ἀντὶ τοῦ εἰμί. καὶ τυγχάνω τοῦδε, ἀντὶ τοῦ ἐπιτυγχάνω. ἔτι καθέστηκα, ἀντὶ τοῦ εἰμὶ καὶ διατελῶ ὁμοίως. τὸ δὲ κυρῶ, καὶ πέλω, καὶ τελέθω, ποιητικά. τὰ δὲ τοιαῦτα ὑπαρκτικὰ καὶ μετοχὰς προσλαμβάνει ἀττικῶς. εἰ μὲν ἔτυχες παρὼν, γράψον. εἰ δὲ ἀπὼν τυγχάνεις, ἐπάνηκε.

Αὐτοουδέτερα.

Τὰ δὲ, αὐτοουδέτερα καλοῦνται, ἃ πρὸ ἑαυτῶν ὀνομαστικὴν ἀττικῶς αὐτοουδετερότητος ἀπαιτοῦσι. ζῶ. καὶ ζῶ ζωὴν ἀττικῶς. ἔτι ἔζηκα. ζήσω. τὸ δὲ ζήσεις με μεταβατικὸν, τῆς θείας ἐστὶ γραφῆς. Πλουτῶ ἐγὼ, ἀντὶ πλούσιός εἰμι. πλουτίζω δὲ ἕτερον, ἀντὶ τοῦ πλούσιον ποιῶ, μεταβατικόν. Ὑγιαίνω ἐγὼ καὶ ὑγιαίνω τῷ σώματι, καὶ σῶμα συνεκδοχικῶς, ὑγιάζω δὲ ἕτερον, μεταβατικόν. Σωφρονῶ ἐγὼ, ἀντὶ σώφρων εἰμί. σωφρονίζω δὲ ἕτερον. Ἁγνεύω, ἀντὶ ἁγνός εἰμι. ἁγνίζω δὲ ἕτερον. Παρθενεύω. Ἀληθεύω. Εὐτυχῶ. Εὐδαιμονῶ. Εὐημερῶ. Εὐσεβῶ. Ἀσεβῶ εἰς θεόν.

Οὐδέτερα μεταβατικά.

Τὰ δὲ, καλοῦνται οὐδέτερα μεταβατικὰ, ὅσα πρὸ ἑαυτῶν μὲν ὀνομαστικὴν ἀπαιτοῦσι, καὶ μεθ᾽ αὐτὰ αἰτιατικὴν μετὰ προθέσεως. ἀναβαίνω εἰς τὸ ὄρος. καταβαίνω εἰς τὸ πεδίον. ἐμβαίνω εἰς τὴν ναῦν. καὶ ἔτι ἐπιβαίνω. Βαδίζω. ἧκον εἰς τὴν πόλιν. ἦλθον εἰς τὴν ἀγοράν. καὶ βαδίζω εἰς τὸ φροντιστήριον. λέγεται δὲ καὶ βαδιοῦμαι καὶ ... ἀμην ἀποθετικά. Χωρῶ πρὸς ἔργον. Περιπατῶ εἰς τὴν ... Φοιτῶ τῷ διδασκάλῳ, καὶ φοιτῶ εἰς τὸ διδασκαλεῖον. εἰς ...

pro adhuc viuo. ineſt vero mihi, & licet mihi hoc. & ſimul eſt, & adeſt, & adeſt mihi qdã. pticipat ãt mecũ diuitiarum. pro participatio mihi eſt diuitiarum, impersonaliter. Sum. Indefinitum fui. Futurum, ero a quo & exiſtentium inuenitur paſsiue. Sum pro ſum. & aſſequor hoc, pro aſſequor. Etiam extiti, pro ſum. & perficio ſimiliter. Sed ſum, & ſum. & ſum, poetica. Sed talia ſubſtantiua, & participia aſſumunt attice. Si fueris præſens, ſcribe. Sin vero abſens fueris, redi.

Per ſe neutra.

Per ſe neutra autẽ vocantur, quæ ante ſe nominatiuũ per ſe neutralitatis poſtulát, viuo. & viuo vitam, attice, vixi. viuam, ſed viuificabis me tranſitiuum, diuinę eſt ſcripturæ. diteſco ego, pro diues ſum. dito vero alium, pro diuitem facio, tranſitiuum. ſanus ſum ego. & ſanus ſum corpore. & corpus conceptiue. Sano vero alium, tranſitiuum. prudens ſum ego, pro prudens ſum. prudẽtifico vero aliũ. purus ſum, ꝓ purus ſum purifico vero aliũ. virgo ſum. verus ſum. fœlix ſum. fœlix ſum. fœlix ſum. pius ſum. impius ſum in deum.

Neutra tranſitiua.

Quædã vero vocantur neutra tranſitiua, quę ante ſe nominatiuum poſtulant, & poſt ſe accuſatiuum cum præpoſitione. Aſcendo in montem, deſcendo in cápũ. conſcendo in nauim, & etiam conſcendo nauem. veni in vrbem. veni in forum. vado in ſtudium. Inueniuntur autẽ & proficiſcor, & proficiſcerer deponẽtia. accedo ad opus. deábulo in hortũ. eo præceptori. & eo in præceptorium. curro, quod

ἁπλῶς τρέχω. καὶ θέω πρὸς τὸν διδάσκαλον. ὁμοίως καὶ τὸ τρέ-
χω. καὶ τρέχω ἐπὶ τὸ βραβεῖον. καὶ τρέχω τὸν περὶ ψυχῆς. ὁ δρά-
εἰς τὴν πόλιν. ἀπαντῶ πρὸς τὸ δικαστήριον. αὐτομολῶ πρὸς τοὺς
πολεμίους. Θαμίζω περὶ τὴν ἀγοράν. εἶμι πρὸς τόδε, ἀντὶ τοῦ ἀπέρ-
χομαι.

Οὐδέτερα περιποιητικά.

Τὰ δὲ, καλοῦνται οὐδέτερα περιποιητικὰ, ὅσα πρὸ ἑαυτῶν ὀνομαστικὴν ἀπαιτοῦσι, καὶ μετ᾽ αὐτὰ δοτικὴν περιποίησιν σημαίνουσαν. Δουλεύω σοι. δεδούλευκα. δουλεύσω. εἴκω καὶ ὑπείκω. τὸ ὑποχωρῶ. Ἀρέσκω σοι. καὶ ἀπαρέσκω σοι. καὶ ἀρέσκομαι ἄρηται. Ἀρήγω, τὸ βοηθῶ. ἐπικουρῶ. ἀκολουθῶ. ἀχαριστῶ κοινόν. ἔχω σοι χάριν. οἶδά σοι χάριν. ὁμολογῶ σοι χάριν, ἑλληνικόν. ὁμιλῶ. πειθαρχῶ. ὁμοφρονῶ. ὑπαντῶ. ξυναντῶ. ἐντυγχάνω.

Οὐδέτερα κτητικά.

Τὰ δὲ, καλοῦνται οὐδέτερα κτητικὰ, ὅσα πρὸ ἑαυτῶν ὀνομαστικὴν ἀπαιτοῦσι, καὶ μεθ᾽ αὐτὰ γενικήν. Χρήζω βιβλίου, ἀντὶ χρείαν ἔχω. καὶ χρήζω κερδᾶναι, ἀντὶ θέλω. Ἀμοιρῶ τροφῆς. Εὐπορῶ φίλων. Ἀπορῶ ἱματίου, ἀντὶ τοῦ στεροῦμαι. καὶ ἀπορῶ τόδε τὸ πρόβλημα, ἀντὶ τοῦ ἀπορίαν προτίθεμαι. Σπανίζω χρημάτων. Τυγχάνω τοῦ σκοποῦ, καὶ ἐπιτυγχάνω. Ἀποτυγχάνω τῆς ἐλπίδος. Ἁμαρτάνω τῆς ὁδοῦ, ἀντὶ τοῦ ἀποτυγχάνω. καὶ ἁμαρτάνω ἁμαρτίαν. Ἀπολαύω τῶν ἀγαθῶν, καὶ παραπολαύω, καὶ ἐπαπολαύω. ἅπερ σπανίως καὶ μετὰ αἰτιατικῆς. ἀπολαύσω. ἀπέλαυσα καὶ ἀπήλαυον ἀττικῶς.

Οὐδετεροπαθητικά.

Τὰ δὲ, καλοῦνται οὐδετεροπαθητικὰ, εἴτε ἰδιοπαθητικὰ, καὶ αὐτοπαθῆ, ὅσα πρὸ ἑαυτῶν ὀνομαστικὴν ἀπαιτοῦσι,

simpliciter curro. & curro ad pceptorē, similiter & curro & curro ad præmiū. & adeo periculū capitis. vio in ciuitatem. occuro in iudicium. transfugio ad hostes. frequento forum, eo ad hoc, pro discedo.

Neutra acquisitiua.

Quædam aūt vocantur neutra acquisitiua, quæ añ se nominatiuū postulant, & post se datiuū acquisitionem significantem. Seruio tibi. seruiui. seruiam. cedo, & decedo, pro decedo. placeo tibi, & displiceo tibi. & placeo inuenitur. Iuuo, pro iuuo. auxilior. sequor. gratificor commune. habeo tibi gratiam. habeo tibi gratiam. ago tibi gratiam, græcum. conuersor. pareo. consentio. occurro. occurro. occurro.

Neutra possessiua.

Quædam aūt vocantur neutra possessiua, quę ante se ntūm postulant, & post se genitiuum. Indigeo libris, pro indigentiam habeo. & volo lucrari, pro volo. expers sum cibi. abundo amicis. Indigeo vestibus pro priuor. & dubito hanc quæstionem, pro in dubitationem propono. careo pecuniis. assequor propositum, & assequor. Frustror spe. aberro via, pro aberro. & pecco peccatum. fruor bonis. & prętersruor. & superfruor, quę raro & cum accusatiuo. Fruar, fruebar & fruebar attice.

Neutro passiua.

Quędã aūt vocantur neutropassiua, siue sui passiua, & per se passa, quæ ante se nominatiuum postulant.

καὶ σημαίνουσιν αὐτοπάθειαν, καὶ μεθ' αὐτὰ διαφέρει πτώσεις. Πάσχω ὑπὸ τῶν ἐχθρῶν. Αλγῶ, τὸ λυποῦμαι· καὶ ἀλγῶ τοῖς κακοῖς τῶν φίλων, ἢ ἐπὶ τοῖς κακοῖς. καὶ ἀλγῶ τὴν κεφαλὴν, συνεκδοχικῶς. Αλγέω τὰν κεφαλὰν καὶ τὴν δ' αὖ μέλεα. Χαίρω, τὸ εὐφραίνομαι. καὶ χαίρω τῇ ἀτυχίᾳ τοῦ φίλου, ἢ ἐπὶ τῇ ἀτυχίᾳ, ἢ διὰ τὴν ἀτυχίαν. καὶ χαίρω τῇ ἀναγνώσει, ἀντὶ τοῦ πρόσκειμαι. Χαίρω ἐρεῖς οὐχὶ χαίρομαι, ὥσπερ Δάτις ὁ πέρσης οἰόμενος ἀττικίζειν. ἀφ' οὗ δατισμὸς ἁμάρτημα, διότι πρῶτος εἶπε χαίρομαι. Νοσῶ, καὶ νοσῶ νόσον. ἀῤῥωστῶ ἀῤῥωστίαν, ἀσθενῶ ἀσθένειαν συνεκδοχικῶς. λημῶ. λήμαις. πεινῶ. διψῶ. μεθύω. μεθύσκω δὲ ἕτερον. λιμώττω. βουλιμιῶ. ὀφθαλμιῶ. ἀλύω, τὸ ἀδημονῶ. ἐρυθριῶ. ὠχριῶ. γηρῶ καὶ γηράσκω. θνήσκω. κλαίω. καὶ κλαίω τὸν ἀποθανόντα. ὡσαύτως καὶ τὸ θρηνῶ, καὶ δακρύω συνεκδοχικῶς. φρίττω. τρέμω. τοὺς φάγω. καὶ φάγω φόνου, ἀντὶ κατηγοροῦμαι. τὸ δὲ φάγω ἔτι λῃστὰς, καὶ τρέμω τὸν θάνατον, καὶ δέδοικα τοὺς ἐχθροὺς, ἔξωθεν διὰ τοὺς λῃστὰς, καὶ ἐχθροὺς, νοουμένης δηλαδὴ τῆς διὰ προθέσεως, συνεκδοχικῶς. οὕτω γὰρ δεῖ λέγειν τῷ δεινῷ Απολλωνίῳ. Ιστέον ὅτι ἐν τοῖς τοιούτοις καὶ διάφορος σύνταξις εὑρίσκεται, καὶ παθητικαὶ φωναὶ, ἀδιάφορως οἱ τῆς θείας γραφῆς, καὶ τῶν ποιητῶν, ἔξεστι τὸ κοινὸν ἔθος μεταβάλλειν.

Περὶ μέσων ῥημάτων.

Κοινὸν ῥῆμα εἴτε μέσον ἐστὶ τὸ λῆγον εἰς μαι, καὶ ποτὲ μὲν ἐνέργειαν, ποτὲ δὲ πάθος σημαῖνον. συντάξεις τὸ μὲν ἐνέργειαν σημαῖνον, ἐνεργητικῶς παθητικῶς κατὰ τὰ εἴδη τῶν ἐνεργητικῶν. τὸ δὲ πάθος, οἷον, βιάζομαι τὸν φίλον, καὶ βιάζομαι ὑπὸ τοῦ φίλου. ἄγομαι τὸν τὸν ἄνθρωπον, καὶ ἄγομαι ὑπὸ τοῦ ἀνθρώπου. κομίζομαι τὸν ἄνδρα, καὶ κομίζομαι ὑπ' αὐτοῦ. Δεῖ δὲ εἰδέναι ὅτι καταχρηστικῶς ὀλίγα εἰσί. τὰ δὲ πλεῖστα τῶν παθητικῶν κοινῶς λαμβάνονται

& significant sui passionem, & post se varios casus. Patior ab inimicis. doleo pro tristor. & doleo malis amicorum. vel super malis. & doleo caput conceptiue. doleo caput, tibi vero non est curæ. Lætor pro lætor. & gaudeo felicitate amici. vel sup felicitate, vel ob felicitatē, & gaudeo lectiōe, pro incūbo. Gaudeo dices, non gaudeo, sicut Datis Persa existimans atticissare. a quo datismus error. qm̄ primus dixit gaudeo ægroto, & ægroto, tudine. ægroto, tudine, dbilitor, tate conceptiue lippio lippitudinibus. esurio. sitio. inebrior. inebrio alium. famesco. esurio. lippio. mœreo. quod mœreo. erubeo. palleo. senesco. & senesco morior fleo. & fleo mortuum. eodem modo & lugeo, & lachrymo conceptiue. horreo. tremo. fugio. & reus sum cædis, pro accusor. fugio autem latrones, & timeo mortem & timeo inimicos, siue propter latrones, & inimicos, intellecta extrinsecus, per, præpositione conceptiue. Sic enim videtur dicere, docto Apollonio. Notandū in huiusmodi etiam variam constructionem inueniri, & passiuas voces licentia diuinæ scripturæ. & poetarum, quibus licet communem consuetudinem immutare.

De mediis verbis.

Commune verbum siue mediū est desinens in me, & interdū qdē actum, interdū vero passionē significat, & actum quidem significans actiue construes secundū species actiuorum. & passionem vero, passiue. vt violo amicum, & violor ab amico. ago. hominem, & agor ab homine. porto virum. & portor ab eo. Oportet aūt scire pura cōmunia pauca esse, Sed plurima passiua cōmuniter accipi more

ἀττικοῦ. καὶ μάλιστα οἱ καλούμενοι μέσοι χρόνοι αὐτῶν. οἷον τύπτομαι, ἀντὶ δαίρω, καὶ δαίρομαι. ἐτυψάμην, ἀντὶ ἔτυψα καὶ ἐτύφθην. τύψομαι, ἀντὶ τύψω, καὶ τυφθήσομαι. καὶ τἄλλα ὡσαύτως, ὥσπερ ἂν ἡ χρῆσις ἀπαιτῇ. Αἰτοῦμαι. αἰτήσομαι. ᾐτησάμην. Μισθοῦμαι. μισθώσομαι. ἐμισθωσάμην. Ἐπιστρέφομαι. ἐπεστρεψάμην. ἐπιστρέψομαι. Πλάττομαι. ἐπλασάμην. πλάσομαι. Ἐπαινοῦμαι. ἐπῃνεσάμην. ἐπαινέσομαι. Ποιοῦμαι. ἐποιησάμην ποιήσομαι. Φιλοῦμαι. ἐφιλησάμην. φιλήσομαι. Γεννῶμαι. ἐγεννησάμην. γεννήσομαι. καὶ τἄλλα πάμπολλα ὄντα. ἃ συντάξεις καθὰ ἡ ἔννοια τοῦ λόγου ἀπαιτῇ. Ἰστέον καὶ τοῦτο, ὅτι τῶν καλουμένων μέσων χρόνων οἱ μὲν, ἐνεργητικῶς γράφονται. οἷον ὁ τέτυπα καὶ ὁ ἐτετύπειν. διὸ καὶ τοῖς ἐνεργητικοῖς τετάχαται. οἱ δὲ, παθητικῶς καὶ παθητικοῖς τεταγμένοι. οἷον ὁ ἐτυψάμην. ὁ ἐτυπόμην. ὁ τύψομαι, καὶ ὁ τυποῦμαι. περὶ ὧν διάφοροι αἱ δόξαι τῶν ἡμετέρων γραμματικῶν. οἱ μὲν γάρ φασι τὰ μέσα ῥήματα ἀεὶ ἐνέργειαν καὶ πάθος σημαίνειν. οἱ δὲ, εἰ καὶ μέσα λέγονται, ἀλλ' ὅμως τινὰ μὲν, καὶ ἐνέργειαν, τινὰ δὲ πάθος, ὡς ὁ τέτυπα, ὁ ἐτετύπειν ἐνέργειαν. ὁ δὲ τέτηκα, καὶ ἐτετήκειν, πάθος. καὶ τὸ μὲν ἐποιησάμην, ἐνέργειαν. τὸ δὲ ἐλουσάμην, πάθος. ἄλλη δὲ ταύτης ἐγένοντο τῆς δόξης, ὅτι οἱ δύο μέσοι χρόνοι οἱ ἐνεργητικῶς γραφόμενοι πλεῖον ῥέπουσιν εἰς τὸ παθητικὸν, ὡς τέτηκα, ἐτετήκειν. μέμηνα. ἐμεμήνειν. οἱ δὲ γραφόμενοι παθητικῶς τέσσαρες, πλεῖον ῥέπουσιν εἰς τὸ ἐνεργητικὸν, ἐποιησάμην, ποιήσομαι. ἐπῃνεσάμην, ἐπαινέσομαι. [illegible] δὲ καὶ παθητικῶς λαμβανόμενοι. διὰ δὲ μᾶλλον περιεργείας ἐν τούτοις ἡ τέχνης.

Περὶ ἀποθετικῶν ἐνεργητικῶν.

Ἀποθετικὸν ῥῆμα κυρίως ἐστὶ τὸ παθητικῶς μὲν γραφόμενον, ἐνέργειαν δὲ σημαῖνον, ὡς τὰ πολλά. σπανίως δὲ καὶ πάθος. καὶ τὸ μὲν σημαῖνον ἐνέργειαν, αὐτενέργητον

attico & quæ appellantur media tempora ipsorũ, vt verbero pro verbero, & verberor verberaui ꝓ verberaui, & verberat⁹ sũ. verberabo, ꝓ verberabo, & berabor, & alia similiter, vt vsus postulauerit. peto. petam, petii. mercede conduco. mercede conducã. conduxi. curo curaui. curabo. fingo. finxi. fingam. laudo. laudaui. laudabo. facio. feci. faciam. amo. amaui. amabo. gigno. gegnui. gignam & alia permulta existentia quę construes, vt sensus orõnis postulauerit, sciẽdũ etiã & hoc, ꝙ ex iis, quæ vocantur media tempora, aliqua actiue scribunt, vt verberaui & verberauerã, ideo & in actiuis ordinata sunt, aliqua vero passiue, & in passiuis ordinata, vt verberaui verberaui verberabo & verberabo. de quibus variæ opiniones nostrorum grammaticorum. alii enim dicunt media verba semper actum & passionem significare, alii vero & si media dicuntur, attamen aliqua qdem actum, aliqua vero passionem. vt verberaui & verberabam, actũ. sed liquefactus fui, & fuerã, passionẽ, & feceram actionem. sed lotus sum passionem. alii autem hac fuerunt opinione, quod duo media tẽpora quæ actiue scribuntur, plerunq; vergunt in passiuum, vt liquefactus sum, fuerã. insaniui, isaniuerã. sed quę scribuntur passiue quatuor plerunq; vergunt in Actiuum. feci. faciam. laudaui. laudabo. inueniuntur autem passiue accepta. opus est autem magis diligẽtia in his quam arte.

De deponentibus actiuis.

Deponens verbum proprie est, quod passiue scribitur, actum autem significat vt pleraq;, raro vero & passionem, & actum significans per se actiuum

acamantocharmas, acamantocharmæ. excipitur tolmas tolmantis. Etiam in. mas. persica, vt salamas, salamæ. spitamas. spitamæ. Etiam in nas. vt pinas, pinæ præterquam canas, canantis, Etiam in, pas, soligenera, vt papas, papæ. lampas, lampæ. Excipitur. cypas. cypantis. omnis vero omnis, adiectiuũ existens. Etiam in ras, non habentia primam, & secundam syllabã, ab eadẽ cõsonante, vel æqueleméta i incipientẽ vt simmoras, simmoræ. cydras, cydrę. Etiam in sas, bisyllaba, non penultimata e, vt chrysas, chrysæ. cyrsas, cyrsæ. Etiam in tas, vt archytas archytæ. europas, europæ. Præterquam teleutas, teleutantis. Etiam in phas, bisyllaba, & in chas, vt delphas, delphæ. aphas, aphæ. excipitur cyphas, antis. callichas, callichæ. lachas lachæ. Excipitur Calchas, Calchantis. Etiam in as, a circunflexis verbis composita, vt patricida. cidæ. a cædo, idest verbero. etiam in as, a fœmininis cõposita, vt hęc pharetra. hic Eupharetras, huius eupharetræ, hæc violentia. hic euribias, huius biæ. hoc forum. hic pythagoras, huius ræ, & pythagoræ. hic dolor. hic Pausanias, huius niæ. & hæc quidem de parisyllabis, sed de plurisyllabis deinceps dicamus.

De in is in entos facientia genitiuum.

In as purum nomina, bisyllaba, grauisona, non a dorica lingua existentia per nt, flectuntur, vt hic aiax, huius aiacis. hic Thoas, huius thoãtis, hic bias huius biantis. excipitur lapis, huius lapidis, & cõmixtione duorum, aa, lapidis. & lapis lapidis, lapidi. lapidem. Etiam in as solisyllaba acutisona, in tis faciunt genitiuum, vt hic Pras, huius prantis. hic zas,

τοῦ ζαντός. ὁ φθάς, τοῦ φθάντος. καὶ τὰ πολυσύλλαβα ὁμοίως. οἷον, ὁ ἀνδριάς, τοῦ ἀνδριάντος. ὁ ἱμάς, τοῦ ἱμάντος. Ἔτι τὰ εἰς βας ἔχοντα ἐν τῇ παραληγούσῃ δίχρονον συνεσταλμένον. οἷον, ὁ βίβας, τοῦ βίβαντος. ὁ λυκάβας, τοῦ λυκάβαντος. ὁ ἀλύβας, τοῦ ἀλύβαντος. οὗ ἡ παραλήγουσα καὶ μακρά. ἐξαιρεῖται ὁ βαρνάβας, τοῦ βαρνάβα, ὁ λάβας, τοῦ λάβα, ὁ κάβας τοῦ κάβα, ὁ ἄβας, τοῦ ἄβα ἐθνικόν. ὁ ἄβας δὲ τοῦ ἄβαντος, κύριον. ὁμοίως καὶ ἰόβας, ἰόβα, καὶ ἐήβας, ἐήβα. Ἔτι τὰ εἰς βας πρὸ τοῦ β ἔχοντα ρ, περιττοσυλλάβως κλίνονται. οἷον, ὁ φόρβας, τοῦ φόρβαντος. ὁ κύρβας, τοῦ κύρβαντος. Ἔτι τὰ εἰς γας δισύλλαβα κύρια, καὶ προσηγορικὰ ἢ ἐθνικά. οἷον, ὁ γίγας τοῦ γίγαντος. ὁ βρίγας τοῦ βρίγαντος. Ἔτι τὰ εἰς δας δισύλλαβα διφθόγγῳ παραληγόμενα. οἷον, ὁ φείδας, τοῦ φείδαντος. ὁ οἴδας τοῦ οἴδαντος. Ἔτι καὶ τὰ ὑπερδισύλλαβα ἀπὸ βαρυτόνων ῥημάτων γινόμενα. οἷον, χαρίζομαι, χαρίδας, τοῦ χαρίδαντος. μήδομαι, μήδας, μήδαντος. τὸ ὑπερκυδάντας ἀχαιούς. ἢ ὀνομάζεσιν ἀπὸ τοῦ ὑπερκυδαίνω ὑπερκυδάνας, καὶ συγκοπῇ ὑπερκύδας ὑπερκύδαντος, ἢ μετοχὴ τοῦ πρώτου ἀορίστου ἐστίν, ἀπὸ τοῦ ὑπερκυδαίνω, ὑπερκυδανῶ, ὑπερκύδηνα, ἡ μετοχή, ὁ ὑπερκυδάνας, τοῦ ὑπερκυδάναντος. καὶ κατὰ συγκοπήν, ὑπερκύδας, ὑπερκύδαντος. ἡ αἰτιατική, τοὺς ὑπερκύδαντας. Ἔτι τὰ εἰς ζας ἔχοντα υ πρὸ τοῦ ζ. οἷον, ὁ βύζας, τοῦ βύζαντος. ὁ πύζας, τοῦ πύζαντος. Ἔτι τὰ εἰς λας δισύλλαβα μονογενῆ, παραληγόμενα φύσει μακρᾷ. οἷον, ὁ φύλας, τοῦ φύλαντος. ὁ χήλας, τοῦ χήλαντος. Ὁμοίως καὶ τὰ ἔχοντα σύμφωνον μετὰ τοῦ λ. οἷον, ὁ ἄτλας, τοῦ ἄτλαντος. Ἔτι τὰ δύο λλ ἔχοντα. οἷον, ὁ πάλλας, τοῦ πάλλαντος. ὁ βάλλας, βάλλαντος. ὁ μέλας δὲ τοῦ μέλανος καὶ ὁ τάλας τοῦ τάλανος, τριγενῆ. Ἔτι τὰ εἰς μας δισύλλαβα καὶ ὑπερδισύλλαβα ἔχοντα πρὸ τοῦ μ ἢ φωνῆεν βραχύ

huius zantis, hic phthas huius phthātis, & plurisyllaba similiter, vt hæc statua. huius statuæ. hæc scutica, huius scuticæ . Etiam in bas habentia in penultima bitemporeā correptā, vt hic bibas, huius bibātis, hic annus, huius anni. hic alybas, huius alybæ, cuius penultima, & longa. Excipitur hic barnabas, huius barnabæ. hic labas, h⁹ labæ. hic cabas h⁹ cabæ. hic abas, huius abæ gentile. hic abas, vero h⁹ abantis, proprium. Similiter & Iobas, iobe, & Rhebas, bæ. Etiā in bas, ante b habentia r, plurisyllabice flectuntur, vt hic phorbas, huius phorbantis. hic cirbas, huius cirbantis. Etiam in gas bisyllaba propria, & appellatiua vel gentilia, vt hic gigas, huius gigantis. hic brigas, huius brigantis. Etiam in das bisyllaba diphthongo penultimātia. vt hic Phidas, huius Phidātis. hic œdas, huius œdantis. Etiam & superbisylla a grauisonis verbis facta, vt gratificor. charidas, charidantis. ideo, Midas, midantis. Sed supergloriosos græcos, vel nomen est, a superglorior, supergloriosus, & concisione, supergloriosus, supergloriosis s. vel participium primi indefiniti est, a superglorior, supergloriabor supergloriatus sum, participiū hic supergloriās, huius supergloriatis & per concisionem supergloriens, supergloriantis. actūs, super gloriantes. Etiam in Zas habentia y ante z, vt hic byzas, huius byzantis. hic pyzas, huius pizātis, Etiam in las bisyllaba, soligenera penultimantia natura longa, vt hic phylas, huius phylantis. hic chelas, huius chelantis. Similiter & habentia consonantem cum l. vt hic Atras, huius atrantis. Etiam duo ll. habentia, vt hic Pallas, huius Pallantis. hic ballas, huius balllantis. hic niger vero, huius nigri. & miser, miseri trigenetice, etiam quæ in mas bisyllaba, & superbisyllaba habentia ante, m, vocalem breuē

περιττοσυλλάβως κλίνονται. οἷον, ὁ ἀδάμας, τοῦ ἀδάμαντος. ὁ ἀθάμας, τοῦ ἀθάμαντος. ὁ πολυδάμας, τοῦ πολυδάμαντος. μεθ᾽ ὧν καὶ ὁ θαύμας, τοῦ θαύμαντος. Ἔτι τὰ εἰς ρας δισύλλαβα ἔχοντα τὴν πρώτην καὶ δατέραν συλλαβὴν ἀπὸ τοῦ αὐτοῦ συμφώνου ἢ ἀντιστοίχου ἀρχομένην. οἷον, ὁ βάβρας, τοῦ βάβραντος. ὁ πρόφρας, τοῦ πρόφραντος. ὁ τάθρας, τοῦ τάθραντος. ὁμοίως καὶ τὰ συνεμπίπτοντα μετοχῇ. οἷον, ὁ πέρας, τοῦ πέραντος. ὁ ἄρας, τοῦ ἄραντος. ὁμοίως καὶ τὰ ἔχοντα α πρὸ τοῦ ρ. οἷον, ὁ τάρας, τοῦ τάραντος. ὁ κάρας, τοῦ κάραντος. Ἔτι τὰ εἰς σας ὑπερδισύλλαβα τῷ ε παραληγόμενα. οἷον, ὁ ἀπέσας, τοῦ ἀπέσαντος. Ἔτι τὰ εἰς φας ὑπερδισύλλαβα. οἷον, ὁ κορύφας, τοῦ κορύφαντος. ὁ ἐλέφας, τοῦ ἐλέφαντος. ὁ ὀνόφας δὲ, τοῦ ὀνόφα. Τὰ εἰς ας συνθετα, τὴν τῶν ἁπλῶν φυλάττουσι κλίσιν. οἷον, λυκοθόας, λυκοθόαντος, ὅτι θόας θόαντος. σύμπας, σύμπαντος, ὅτι πᾶς παντός. Ἀλλὰ περὶ μὲν τῶν εἰς ας, ἅλις. νῦν δὲ περὶ τῶν εἰς ης τὸν αὐτὸν λέγωμεν τρόπον.

Περὶ τῶν εἰς ης πάντων, καὶ πρῶτον περὶ τῶν ἰσοσυλλάβων. Κατάληξις δατέρα.

Τὰ εἰς ης βαρύτονα σπονδειακὰ, εἰς ου ποιοῦσι τὴν γενικήν. οἷον, ὁ χρύσης, τοῦ χρύσου. ὁ ξέρξης, τοῦ ξέρξου. ἐξαιρεῖται ὁ μάσθλης, τοῦ μάσθλητος. ὁ μόργης, τοῦ μόργητος. ὁ ναίκης, τοῦ ναίκητος. ὁ κούρης τοῦ κούρητος. ὁ πίγρης, τοῦ πίγρητος. ὁ τίγρης, τοῦ τίγρητος, ποταμὸς, ὃς καὶ τίγρις τίγριδος, καὶ τίγριος ἰωνικῶς λέγεται. φάγρης, φάγρητος. μάγνης, μάγνητος. γύγνης γύγνητος. μάσης, μάσητος. μένδης, μένδητος. γλοίης, γλοίητος. Ἔτι τὰ εἰς ης περισπώμενα, εἰς ου ποιοῦσι

imparisyllabice declinantur, vt hic Adamas, huius adamantis. hic Athamas, huius athamantis. hic polydamas, huius polydamantis, cũ quibus, & hic thaumas, huius thaumantis, etiam quæ in ras bisyllaba habentia primam, & secundam syllabam, ab eadem consonante, vel eiusdem ordinis incipientem. vt hic babras, huius babrãtis, hic prophras, huius prophrãtis. hic teuthras, huius teuthrantis. similiter & coinciden-tia participio. vt hic Piras, huius pirãtis. hic aras, huius arantis. Similiter & habentia a, ante r, vt hic Taras, huius tarantis, hic caras, huius carantis. Etiam quæ in sas superbisyllaba, e, penultimantia. vt hic Apesas, huius apesantis. Etiam quæ in phas, superbi-syllaba. vt hic Coriphas. huius coriphãtis. hic elephas, huius elephãtis. hic onophas vero, huius onophę. quæ in as composita, simplicium seruant declinationem, vt lycothoas, lycothoantis. quoniam thoas, thoantis. Vniuersus vniuersi, quoniam omnis, omnis. Sed de iis, quę in as, satis, nunc autem de iis, quæ in is eodem dicamus modo.

De iis, quæ in is omnibus, & pri-mum de parisyllabicis. Declinatio secunda.

Quę in is grauisona spondaica, in u faciunt genitiuum, vt hic chryses, huius chrysæ. hic Xerxes, huius xerxis. excipitur hic verbero, h⁹ verberonis. hic morges, huius getis. hic nçes. hu⁹, nçetis. hic cures, h⁹ curetis. hic pigres, huius pigretis. hic tigris, huius tigris. fluuius, qui & tigris, tigridis, & tigridis ionice dicitur. phagres, phagretis. magnes, magnetis. ignes, ignetis. masses. massetis. mendes, mendetis. glœes, glœetis. Etiam quæ in is circunflexa. in u, faciunt

τῶν γενικὴν. οἷον, ὁ θαλῆς τοῦ θαλοῦ. καὶ ὁ θαλῆς, τοῦ θάλητος. ὁ ἑρμῆς, τοῦ ἑρμοῦ. ὁ σωτῆς, τοῦ σωτοῦ. ὁ μωτῆς. τοῦ μωτοῦ. καὶ ὁ μωϋσῆς, τοῦ μωϋσοῦ. καὶ ὁ μωσῆς, τοῦ μωσέως ἀττικῶς. καὶ ὁ μωϋσῆς, τοῦ μωϋσέως παρὰ τῇ θείᾳ γραφῇ. Επὶ τὰ εἰς ης βαρύτονα ἀπὸ τῶν εἰς η θηλυκῶν συντεθειμένα. οἷον, ἡ λέχη, ὁ λέχης, τοῦ λέχου. ἡ ἀράχνη, ὁ ἀράχνης, τοῦ ἀράχνου. ἡ χαίτη, ὁ κυανοχαίτης, τοῦ κυανοχαίτου. Επὶ τὰ εἰς δης πατρωνυμικά. οἷον, ὁ ἀτρείδης, τοῦ ἀτρείδου. ὁ πηλείδης, τοῦ πηλείδου. Καὶ τὰ εἰς δης κύρια τύπον πατρωνυμικοῦ ἔχοντα, οἷον, ὁ θουκυδίδης, τοῦ θουκυδίδου. ὁ μιλτιάδης, τοῦ μιλτιάδου. ὁ πυλάδης, τοῦ πυλάδου. Επὶ τὰ εἰς ης βαρύτονα ἁπλᾶ, εἴτε παρασύνθετα, ἀπὸ τῶν εἰς ος γινόμενα. οἷον, ἄραξος, ὁ ἀράξης, τοῦ ἀράξου. λάπιθος, ὁ λαπίθης, τοῦ λαπίθου. οἰδίπους, οἰδίποδος, ὁ οἰδιπόδης, τοῦ οἰδιπόδου. Επὶ τὰ εἰς της μὴ συντεθειμένα ἀπὸ τοῦ κρατῶ. οἷον, ὁ δότης, τοῦ δότου. ὁ χάρτης, τοῦ χάρτου. ὁ θύτης, τοῦ θύτου. καὶ τὰ εἰς θης ὁμοίως, οἷον, ὁ σκύθης, τοῦ σκύθου. Επὶ τὰ διὰ τοῦ αννης, καὶ ινης, καὶ ονης, καὶ υνης, καὶ ωνης, καὶ ολης. οἷον, ὁ ἰορδάνης, τοῦ ἰορδάνου. ὁ αἰσχίνης, τοῦ αἰσχίνου. ὁ μηρυόνης, τοῦ μηρυόνου. ὁ γηρυόνης, τοῦ γηρυόνου, καὶ γηρυὼν, γηρυόνος, καὶ γηρυονεὺς, γηρυονέως κοινῶς. πολλάκις δὲ καὶ παρὰ ποιηταῖς, καὶ παρ' Ησιόδῳ ἐν θεογονίᾳ, Χρυσάορ δ' ἔτεκε τρικέφαλον γηρυονῆα. ὁ κεραύνης, τοῦ κεραύνου. ὁ τελώνης, τοῦ τελώνου. ὁ ὀζόλης, τοῦ ὀζόλου. Επὶ τὰ εἰς ης βαρύτονα ὑπερδισύλλαβα, πρὸ τοῦ ης δύο τὰ αὐτὰ ἀμετάβολα ἔχοντα. οἷον, ὁ Ιωάννης, τοῦ Ιωάννου. ὁ καβάλλης, τοῦ καβάλλου. ἐξαιρεῖται ὁ πόλλης, τοῦ πόλλητος. δισύλλαβον γάρ. καὶ ὁ ἀέλλης, τοῦ ἀέλλου. ὀξύτονον γάρ. Επὶ τὰ εἰς ης μονογενῆ ἀπὸ ῥημάτων συντεθειμένα. οἷον, πωλῶ, ὁ βιβλιοπώλης, τοῦ βιβλιοπώλου. μετρῶ, ὁ γεωμέτρης, τοῦ γεωμέτρου. τρίβω, ὁ παιδοτρίβης,

genitiuum, vt hic thales, huius thalæ, & hic thales, huius thalêtis, hic mercurius, h⁹ curii. hic sosis, h⁹ sosę. hic moses, huius mosæ. hic moyses, huius moysæ. & hic moseus huius mosei attice, & hic moyseus, huius moysei apud diuinam scripturam. Etiam quæ in is grauisona, ab iis, quæ in i, fœminina composita, vt hæc confabulatio. hic lesches, schæ. hæc aranes, hic aranhnes, chnæ. comæ. hic nigrocomus, huius nigricomi. etiam quæ in dis patronymica, vt hic Atrides, huius atridæ. hic pelides, h⁹ pelidę & quæ in dis, propria formam patronymici habentia, vt hic Thucydides huius thucydidis. hic Miltiades, huius miltiadę. hic pylades, huius pyladæ. Etiam in is grauisona. simplicia, siue decomposita, ab in os facta, vt Araxus. hic araxes, huius araxæ. lapithus. hic lapitha, h⁹ lapithę. œdip⁹, œdipodis, hic œdipodes huius edipodæ. Etiam in tis non composita a teneo, vt hic dator, h⁹ datoris. hęc charta huius chatæ. hic sacerdos, huius tis & in this similiter, vt hic scytha huius sythæ. Etiam per anis, & inis, & onis, & ynis, & onis, & olis, vt hic Iordanes, huius iordanis, hic æschines, h⁹ æschinę. hic meryões. h⁹ ryõę. hic geryones, huius geryonę, & geryo, ryonis, & geryoneus, geryonei communiter. sæpe vero & apud poetas, & apud Hesiodum in Theogonia Chrysaor aũt peperit tricipitem Geryoneum. hic cerynes, huius nę. hic latro huius latronis. hic ozola, huius ozolæ. Etiã in is grauisona superbisyllaba, ante is, duas easdem immutabiles habẽtia, vt Ioannes huius ioannis. hic caballes, huius caballæ. excipitur hic Polles huius, polletis bisyllabum. n. & hæc aelles, huius aellæ. acutisonum enim. Etiam in is soligenera a verbis composita, vt vendo. hic bibliopola, huius bibliopolę. metior, hic terrimensor, huius terrimẽsoris. tero, hic pueritritor, huius

παιδοτρίβου. τύπτω, ὁ πατροτύπτης, τοῦ πατροτύπτου. βαίνω, ὁ χοινοβάτης, τοῦ χοινοβάτου. Τὰ εἰς ης μονοσύλλαβα περισπώμενα, ἀποβολῇ τοῦ σ ποιοῦσι τὴν γενικήν. οἷον, ὁ δρῆς, τοῦ δρῆ. ὁ τρῆς, τοῦ τρῆ. Καὶ ταῦτα μὲν περὶ τῶν εἰς ης ἰσοσυλλάβων. περὶ δὲ τῶν περιττοσυλλάβων νῦν λεκτέον.

Περὶ τῶν εἰς ης περιττοσυλλάβων.

Τὰ εἰς ης βαρύτονα ἰαμβικὰ, ἀπὸ ἐνεστῶτος, γινόμενα, οὐ τὸ σύμφωνον φυλάττουσιν. εἰς τος ποιοῦσι τὴν γενικήν. οἷον, λείβω, ὁ λέβης, τοῦ λέβητος. λήχω, ὁ λάχης, τοῦ λάχητος. πένω, ὁ πένης, τοῦ πένητος. πλανῶ, ὁ πλάνης, τοῦ πλάνητος, καὶ ὁ πλανήτης, τοῦ πλανήτου. κρατῶ, ὁ κράτης, τοῦ κράτητος. ὁ δάρης δὲ, δάρητος, καὶ δάρου. ὁ κόμης, τοῦ κόμητος, καὶ κόμου. ὁ γύης, τοῦ γύητος, καὶ γύου. ὁ μύκης, τοῦ μύκητος, καὶ μύκου. ὁ πύδης, τοῦ πύδητος, καὶ πύδου. ὁ χάρης, τοῦ χάρητος, καὶ χάρου. ὁ πύλης, τοῦ πύλητος, καὶ πύλου. ὁ μύνης, τοῦ μύνητος, καὶ μύνου. ὁ μέγης, τοῦ μέγητος, καὶ μέγου. Ἔτι τὰ εἰς ης μονοσύλλαβα ὀξύτονα, εἰς τος ποιοῦσι τὴν γενικήν. οἷον, ὁ κρὴς τοῦ κρητός. ὁ γνὴς, τοῦ γνητός. ὁ θὴς, τοῦ θητός. Ἔτι τὰ εἰς εἰς πολυσύλλαβα κοινά. οἷον, ἀργὴς, ἀργῆτος. ἀβλὴς, ἀβλῆτος. ἀδμὴς, ἀδμῆτος. ἡμιθνὴς, ἡμιθνῆτος. ταῦτα δὲ συνθέτα ὄντα, φυλάττουσι τὴν τοῦ παρακειμένου συλλαβήν. Ἔτι καί τινα εἰς ης, ἔχοντα πρὸ τοῦ ης ἀμετάβολον, καὶ πρὸ τοῦ ἀμεταβόλου φωνῆεν. οἷον, ἐπάλης, ἐπάλητος. ὑπέρης, ὑπέρητος, ἀκέλης, ἀκέλητος. κεφάλης, κεφάλητος. Ἔτι τὰ εἰς ης περισπώμενα ἀπὸ τῶν εἰς εις. οἷον, δαφνῆς, δαφνῆντος, ἀπὸ τοῦ δαφνήεις. τιμῆς, τιμῆντος, ἀπὸ τοῦ τιμήεις. Ἔτι σεσημείωνται ταῦτα τῶν εἰς ης, εἰς εντος ποιοῦντα τὴν γενικήν. οἷον, ὁ κλήμης, τοῦ κλήμεντος. ὁ μάνης, τοῦ μάνεντος. ὁ οὐάλης, τοῦ οὐάλεντος. ὁ κρίσκης, τοῦ κρίσκεντος. ὑπόλοιπα δὲ ἡμῖν τὰ εἰς ης συνηρημένα τῆς πρώτης τῶν περισπωμένων κλίσεως.

oris. verbero, hic patripulsor, huius patripulsoris. eo hic funambulus, huius funambuli. In is solisyllaba circunflexa, abiectione s. faciunt genitiuū, vt hic dres, huius dræ. hic tres, h⁹ træ, & hæc quidē de in is parisyllabis, sed de plurisyllabis nunc dicendum.

De in is plurisyllabis.

In is grauisona Iambica, a pręsenti facta, cuius consonantem seruant, in tos faciunt genitiuum, vt sacrifico, hic lebes, lebetis. fortior, hic laches, huius lachetis. pauper sum. hic paup. huius pauperis. decipio hic deceptor, huius toris, & hic erro, huius erronis. teneo, hic tētor, huius tentoris. hic dares aūt, daretis, & daræ, hic comes, h⁹ metis. & comę. hic gyes, h⁹ gyetis, & gyæ. hic fungus, huius fungi, & fungi. hic pydes. huius pydetis, & pydæ. hic chares, huius charetis, & charæ. hic pyles, huius piletis, & pylæ. hic mynes, hui⁹ mynetis, & mynæ. hic meges h⁹ megetis, & megæ. Etiam in is solisyllaba acutisona in tos faciunt genitiuum, vt hic cretensis huius tensis. hic gnes, huius gnetis. hic seruus, huius serui. Etiam in is multisyllaba communia, vt Arges, argetis, iniectus, iniecti. indomitus, miti. homithes, homithetis. hæc vero composita entia seruant præteriti syllabam. Etiam quędam in is habentia ante is immutabilem, & ante immutabilem vocalem, vt Epiales epialetis. hyperes, hyperetis. aceles, aceletis. cephales, cephaletis. Etiam in is circunflexa ab in is, vt lauraceus, rei. a laurosus. honoratus, rati. ab honorato. Etiam notata sunt hæc in is, in entos facientia genitiuum, vt clemens, clementis. hic manens, huius manentis. hic valens, huius valentis. hic crescēs, huius crescentis. sed reliqua sunt nobis, quæ in is contracta primę circunflexorum declinationis.

Περὶ τῶν εἰς ης εἰς ους κατὰ κρᾶσιν ποιούντων τὴν γενικήν.

Τὰ εἰς ης περισπώμενα, ἀπὸ τοῦ κλέος συντεθειμένα, εἰς ους ποιοῦσι τὴν γενικὴν κατὰ κρᾶσιν. οἷον, ὁ ἡρακλῆς τοῦ ἡρακλέος, οὖς. Ἔτι τὰ εἰς ης κύρια ἀπὸ ῥημάτων συντεθειμένα, εἰς ους ποιοῦσι καὶ γενικὴν κατὰ κρᾶσιν. οἷον, δάκω, ὁ πολυδάκης, τοῦ πολυδάκεος, ους. μήδω, ὁ διομήδης, τοῦ διομήδεος, ους. φαίνω, ὁ ἀριστοφάνεις, τοῦ ἀριστοφάνεος, ους. Ἔτι τὰ εἰς ης ἀπὸ τῶν εἰς ος οὐδετέρων συντεθειμένα. οἷον, σθένος, δημοσθένης, δημοσθένεος, ους. γένος, διογένης, διογένεος, ους. τέλος, ἀριστοτέλης, ἀριστοτέλεος, ους. ἦθος, κακοήθης, κακοήθεος, ους. μῆκος. ἐπιμήκης, ἐπιμήκεος, ἐπιμήκους. ἐξαιρεῖται ὁ ἀμέλης, τοῦ ἀμέλητος, καὶ ὁ ἀμένης, τοῦ ἀμένητος. Ἔτι τὰ εἰς ης ἐπίθετα, κοινὰ, ὀξύτονα, καὶ βαρύτονα, οὐδέτερον εἰς ες ἔχοντα. οἷον, ὁ καὶ ἡ ἀληθὴς, ἀληθέος, ους. ὁ καὶ ἡ ἀμενὴς, ἀμενέος, οῦς. ὁ καὶ ἡ καλοήθης, καλοήθεος, ους. Ἔτι τὰ εἰς ρης δισύλλαβα. οἷον, ὁ πλήρης, ους. ὁ ἄρης δὲ ἄρου, καὶ ἄρης, ἄρητος, καὶ ἄρης, ἄρεος, ους καὶ ἄρας, ἄρεος κοινῶς, καὶ ἄρηος ἰωνικῶς, καὶ ἄρεως ἀττικῶς, καὶ ἄρευος αἰολικῶς. Ἔτι τὰ διὰ τοῦ ωρης, καὶ ηρης, καὶ ωδης. οἷον, διώρης, τριήρης, λιμώδης. Ἔτι τὰ εἰς ηνης ὀξύτονα. οἷον, σαφηνὴς, γαληνής. Καὶ τὰ εἰς ης, ἀπὸ τῶν εἰς υς γινόμενα. οἷον, βαρὺς, ἀβαρής. ὠκύς, ποδώκης. Δεῖ δὲ εἰδέναι καὶ τοῦτο, ὅτι τὰ εἰς ης σύνθετα ἀπὸ τῶν εἰς ος οὐδετέρων, εἰ μὲν ὦσι κύρια, βαρύνονται. οἷον, δημοσθένης. διογένης. ἀριστοτέλης. εἰ δὲ ὦσιν ἐπίθετα, ὀξύνονται. οἷον, ἀμμενής. δυσμενής. ἀγενής. ἀκλεής. δυσκλεής. διετής. τριετής. τετραετής. πενταετής. τὰ δὲ παρὰ τὸ ἔτος. οἱ ἀθηναῖοι βαρύνουσι, διέτης, καὶ τριέτης, καὶ τετραέτης λέγοντες. Ἔτι τὰ ἀπὸ εἰς ος τρισυλλάβου ἐπιθέτου σύνθετα, καὶ τὰ ἀπὸ δισυλλάβου ἔχοντος ἐν τῇ παραληγούσῃ ο, ἢ η, μεθ' ὃ σύμφωνον ἕπεται, βαρύνονται.

De in is in us per commixtionem facientibus genitiuum.

In is circunflexa a gloria composita in us faciunt genitiuum p cōmixtionem, vt hic Hercules huius Herculis lis. etiam in is propria a verbis composita in us faciunt genitiuum per commixtionem. dulcifico hic pollux, huius pollucis. cis. consulo, hic Diomedes, huius dis dis. monstro, hic Aristophanes, huius Aristophanis. nis. Etiam in is ab in os neutris composita, vt robur, Demosthenes, Demosthenis. nis. genus. Diogenes diogenis. nis. finis, Aristoteles aristotel s lis mos. viticsus, viticsi. si. magnitudo. longus, lungi. gi. excipitur hic Ameles, huius ameletis. & hic amenes huius netis. Etiam in is adiectiua communia acutisona, & grauisona neutrum in es habentia, vt hic & hæc verax veracis. cis. beneuolus, beneuoli. li. benemoratus. benemorati. ti. etiam in ras bisyllaba, vt plenus. hic mars vero martis. & mars martis & mars. tis. tis, & mars martis communiter, & martis ionice, & martis attice & martis æolice. Etiam per ens & iris, & odis, vt dicres. trirenis. pestilentialis. Etiam in is acutisona, vt saphenes. Galenes. Et in is ab in ys facta, vt grauis Abaris. velox velocipes. oportet autem scire & hoc, q͂ in is composita ab in os neutris, si sint propria grauantur, vt Demosthenes Diogenes. Aristoteles, sed si sint adiectiua acuuntur, vt benignus, inimicus, nobilis. gloriosus. infanis biennis. triennis quadriennis. quinquegennis. Sed ab anno Athenienses grauant. biennis & triennis & quadrēnis dicētes. Etiam ab in os trisyllabo adiectiua composita, & a bisyllabo habente in penultima, post quod consonans sequitur, grauantur, vt

μέγεθος, παμμεγέθης. κῆτος, μεγακήτης. ἦθος, κακοήθης. μῆκος, ἐπιμήκης. Τούτων δὲ οὕτως εἰρημένων, ἑξῆς περὶ τῶν εἰς ις λέγωμεν.

Κανών.

Ο λάχης. τοῦ λάχητος. τῷ λάχητι. τὸν λάχητα. ὦ λάχης. Τὼ λάχητε. τοῖν λαχήτοιν. ὦ λάχητε. Οἱ λάχητες. τῶν λαχήτων. τοῖς λάχησι. τοὺς λάχητας. ὦ λάχητες.

Περὶ τῶν εἰς ις.

Καὶ πρῶτον περὶ τῶν εἰς ος ποιούντων τὴν γενικήν. κατὰ λῆξιν τρίτη. Τὰ εἰς ις μονοσύλλαβα, μακρὸν ἔχοντα τὸ ι, προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικήν. οἷον, κὶς, κιός. λὶς, λιός. οὗ τὸ λι καὶ βραχὺ ἄρηται. τίς δὲ τινός. τὸ γάρ τι, βραχύ. Ετι τὰ εἰς ις προσηγορικὰ βραχυκατάληκτα, μὴ ὄντα παρώνυμα, διὰ καθαροῦ τοῦ ος. ποιοῦσι τὴν γενικήν. οἷον, ὄφις, ὄφιος. μάντις, μάντιος. ἔχις, ἔχιος. Ετι ὥς φησιν Ωρος, καὶ Αρκάδιος οἱ γραμματικοὶ, διὰ καθαροῦ τοῦ ος ποιοῦσι τὴν γενικὴν ταῦτα τὰ κύρια. οἷον, ζῆνις, ζήνιος. ἶφις, ἴφιος. σέντις, σέντιος. πόλις. πόλιος. ἀνάχαρσις, ἀναχάρσιος. σύβαρις, συβάριος. τράλλις, τράλλιος. τάξις, τάξιος. ἄγις, ἄγιος καὶ ἄγιδος. θάμυρις, θαμύριος, καὶ θαμύριδος. ἀγησίπολις, ἀγησιπόλιος, καὶ ἀγησιπόλιδος. γάοζις, γαόζιος. βουσίρις, βουσίριος, καὶ βουσίριδος.

Περὶ τῶν εἰς δος ποιούντων τὴν γενικήν.

Τὰ δὲ εἰς ις κύρια ἀρσενικὰ, εἴτε εἰς ρις, εἴτε εἰς νις, εἴτε εἰς ἄλλο τι σύμφωνον λήγοντα, εἰς δος κοινῶς ποιοῦσι τὴν γενικήν. οἷον, πάρις, πάριδος. ἄδωνις, ἀδώνιδος. θέογνις, θεόγνιδος. Ετι τὰ μακροπαράληκτα παρώνυμα· οἷον, γωνίς, γωνίδος. λάτρις, λάτριδος. ἄϊνις, ἄϊνιδος. Ετι τὰ παρὰ τὸ πόλις σύνθετα ἀρσενικὰ μόνα ἢ καὶ οἷον, ὁ σώπολις, τοῦ σωπόλιδος. ὁ ἀγησίπολις,

magnitudo permagnus . cetus magnum cete . mos uitiosus . magnitudo,longus , his uero sic dictis deinceps de in is dicamus .

Regula.

Hic laches,huius lachetis,huic cheti . hunc chetem, o laches,hi lachetes . horum lachetum , o lachetes, hi lachetes . horum lachetum his lachetibus, hos lachetas , o lachetes.

De in is .

Et primum de in os facientibus gtũm . Terminatio tertia . In is solisyllaba longum habentia i. additione os faciunt genitiuum, ut uermis , uermis, leo leonis , cuius illud lí & breue inuentum est. Quidã autem cuiusdã.Illud.n. ti breue . Etiã in is appellatiua breui penultimantia, non existentia denominatiua, per purum os faciunt genitiuum,ut serpens serpentis,uates uatis . uipera uiperæ , etiam ut ait Orus, & Arcadius grammatici per purum os faciunt genitiuum hæc propria , ut zenis zenis . Iphis iphis . Sendis sendis . Polis polis , anacarsis anacarsis . sybaris, sybaris , trallis , trallis , taxis, taxis, agis agis , & agidis, Thamyris, thamyris , & ridis . Agesipolis agesipolis , & lidis , gaosis gaosis , busiris busiris , busiris , & busiridis.

De in dos facientibus genitiuum.

In is propria masculina siue in ris , siue in nis , siue in aliam quandam cõsonantẽ desinentia in dos cõiter faciunt genitiuum,ut paris paridis . Adonis adonidis. Theognis theognidis.Etiam in longam penultimantia denominatiua,ut fœminiuir. niuiri . ancilla . læ . uxor uxoris. Etiã a ciuitate cõposita masculina sola uel cõia, ut hic sopolis , huius sopolidis, hic Agesipolis , huius

ἀγχιπόλιδος. ὁ καὶ ἡ φυγόπολις, φυγοπόλιδος. ὁ καὶ ἡ ἄπολις, ἀπόλιδος. φθοῖς, φθοΐδος. φθοΐδες, καὶ φθοῖς. φθοΐδας, καὶ φθοῖς. ὅθεν καὶ τὸ τοῦ Ἀριστοφάνους Τοὺς φθοῖς ἁρπάζοντα. οὕτω καὶ ὄϊς, ὄϊδος. Ἔτι τὰ εἰς ις σύνθετα παρὰ τὸ μάντις κοινῶς. οἷον, κοσκινομάντις, κοσκινομάντιδος. πρόμαντις, προμάντιδος. Ἔτι τὰ ἔχοντα πρὸ τοῦ ις ἓν σύμφωνον. οἷον, κρᾶθις, κράθιδος. τὰ δὲ ἔχοντα δύο ἀμετάβολα, εἰς θος ποιοῦσι τὴν γενικήν. οἷον, ὁ καὶ ἡ ὄρνις, ὄρνιθος. μέρμις. μέρμιθος. Δεῖ δὲ εἰδέναι ὅτι πάντα τὰ εἰς ις βαρύτονα, φύσει βραχὺ δὲ ι ἔχουσιν ἐν πάσαις ταῖς πτώσεσι. τὸ ὄρνις δὲ καὶ τὸ ἀκνῆμις, πλάσεις ἀλλ' ἄττα, οἱ ἀττικοὶ ἐκτείνουσι. Ἔτι αἱ ἄλλαι φυλάττουσι τὸ σύμφωνον τῆς γενικῆς. ἂν δὲ αὕτη καθαρὰ ᾖ, κοινῶς ὁμοίως καὶ αὗται. Ὁ πάρις. τοῦ πάριδος κοινῶς καὶ πάριος ἰωνικῶς. τὰ γὰρ εἰς δος ποιοῦντα τὴν γενικὴν κοινῶς, καὶ εἰς ος ποιοῦσιν Ἰωνικῶς. ὅθεν καὶ ὁ ποιητὴς ἐν τῷ γ τῆς ἰλιάδος, Ἂψ ὁρόων, πάριος δὲ θοῶς ἐκ κλῆρος ὄρουσε. τῷ πάριδι, καὶ πάριτι, καὶ πάρι παρὰ ποιηταῖς τὸν πάριδα, καὶ πάριν. Ἰστέον δὲ ὅτι ἔνιοι φασιν ὡς τὰ εἰς ις κύρια ποιοῦντα τὴν γενικὴν εἰς δος καὶ ος, ποιοῦσι δύο αἰτιατικάς. εἰς δα τῆς εἰς δος γενικῆς. οἷον, πάριδος, πάριδα. εἰς ιν τῆς εἰς ος. οἷον, πάριος, πάριν. Τὰ δὲ προσηγορικὰ διὰ καθαροῦ τοῦ ος μόνον ποιοῦντα τὴν γενικήν, εἰς ιν ποιοῦσι τὴν αἰτιατικήν. οἷον, ὁ ὄφις, τοῦ ὄφιος, τὸν ὄφιν. ὁ μάντις, τοῦ μάντιος, τὸν μάντιν. Ἡ κλητική, ὦ πάρι κοινῶς. τὰ γὰρ εἰς ις ἀποβολῇ τοῦ σ ποιοῦσι τὴν κλητικήν. καὶ ὦ πάρις ἀττικῶς. τὰ δὲ λοιπὰ σχηματίσεις τῷ σχηματισμῷ τοῦ αἴαντος.

Κανών.

Ὁ πάρις, τοῦ πάριδος. τῷ πάριδι. τὸν πάριδα, καὶ τὸν πάριν. ὦ πάρι, καὶ ὦ πάρις. Τὼ πάριδε. τοῖν παρίδοιν. ὦ πάριδε. Οἱ πάριδες. τῶν παρίδων. τοῖς πάρισι. τοὺς πάριδας. ὦ πάριδες.

agesipolis. hic & hæc ciuitifuga.gæ.hic & hæc exurbs, exurbis, placenta, placentæ, placentæ, & placentæ, placentas, & placentas, unde & illud Aristophanis. Placentas arripientem, sic & ouis, ouis, Etiam in is composita a vates communiter, vt cribriuates cribriuatis, præuates præuatis. Etiam habentia ante is vnā consonantē, vt crathis crathidis, sed habētia duas īmutabiles,in thos,faciunt genitiuum, vt hic, & hæc auis, auis, funis, funis. Oportet vero scire omnia in is grauisona natura, breue i habere in omnibus casibus. Sed auis, bene armatus & alia quædam atticos producere. Etiam alii casus seruant consonantem genitiui. Si vero hic purus sit, similiter & hi. Hic Paris, huius dis, communiter, & paridis ionice. Nam in dos,facientia genitiuum communiter. & in os faciunt ionice. vnde & poeta in tertio Iliadis, rursus videns Paridis vero velociter fors exiliuit, huic paridi & paridi & paridi apud poetas.hūc paridē & parin. Sciendū est ꝙ quidam dicunt, ꝙ in his propria facientia genitiuum in dos, & os, faciunt duos accusatiuos in da. genitiui in dos, vt paridis parida,in in,eius qui in os,vt paridis parin. sed appellatiua per purum os solum facientia genitiuum, in in faciunt accusatiuum, vt hic serpens huius serpentis. hunc serpētē. hic vates. huius vatis. hunc vatē. vocatiuus? o pari communiter. nam in is abiectione s faciunt vocatiuum. & o paris attice. sed reliqua formabis formatione aiacis.

Regula.

Hic paris.hꝰ paridis.huic paridi.hunc paridem, & parin. o pari, & o paris. hi parides. horum paridum. o parides. hi parides. horum paridum. his paridibus. hos parides, o parides.

Περὶ τῶν εἰς εις. κατάληξις τετάρτη.

Τὰ εἰς εις μονοσύλλαβα ἀρσενικὰ, διὰ τοῦ ενος ποιοῦσι τὴν γενικήν. οἷον, εἷς ἑνός. κτεὶς, κτενός. δεὶς, δενός. ἀφ' οὗ οὐδεὶς, οὐδενὸς, καὶ μηδεὶς, μηδενός. σεσημείωται ἡ Κλεὶς, τῆς κλειδός. θηλυκὸν γάρ. τὰ δὲ πολυσύλλαβα μονογενῆ, καὶ τριγενῆ, εἰς εντος ποιοῦσι τὴν γενικήν. μονογενῆ μὲν, οἷον, σιμόεις, σιμόεντος. σελήεις, σελήεντος. τριγενῆ δὲ, οἷον, χαρίεις, χαρίεντος. τιμήεις, τιμήεντος. φωνήεις, φωνήεντος. ὁμοίως καὶ αἱ εἰς εις μετοχαί. οἷον, τυφθεὶς, τυφθέντος. Τοῦ χαρίεντος. τῷ χαρίεντι. τὸν χαρίεντα. ὦ χαρίει κοινῶς, ἀπὸ τῆς ὀνομαστικῆς ἐκβολῇ τοῦ σ, καὶ ὦ χαρίεις ἀττικῶς, καὶ ὦ χαρίεν, ἀπὸ τῆς γενικῆς ἐκβολῇ τοῦ τος, ὥσπερ ἀπὸ τοῦ αἴαντος, αἶαν. ὅθεν καὶ τὸ οὐδέτερον, τὸ χαρίεν.

Κανών.

Ὁ χαρίεις. τοῦ χαρίεντος. τῷ χαρίεντι. τὸν χαρίεντα. ὦ χαρίει, καὶ ὦ χαρίεις, καὶ ὦ χαρίεν. Τὼ χαρίεντε. τοῖν χαριέντοιν. ὦ χαρίεντε. Οἱ χαρίεντες. τῶν χαριέντων. τοῖς χαρίεισι. καὶ χαρίεσι. τοὺς χαρίεντας. ὦ χαρίεντες.

Περὶ τῶν εἰς υς ὀνομάτων. κατάληξις πέμπτη.

Τὰ εἰς υς μονοσύλλαβα, περισπώμενα ὄντα, διὰ καθαροῦ τοῦ ος ποιοῦσι τὴν γενικὴν, φυλάττοντα τὸ υ ἐν ταῖς πλαγίαις. οἷον, μῦς, μυός. σῦς, συός. δρῦς, δρυός. Ἔτι τὰ πολυσύλλαβα περισπώμενα. οἷον, ὁ ἰχθῦς, τοῦ ἰχθύος. Τούτων δὲ τὸ υ ἐν τῇ ὀνομαστικῇ μόνον ἐστὶ μακρόν. ἐν δὲ ταῖς πλαγίαις, βραχύ. Ἔτι τὰ εἰς υς βαρύτονα, μονογενῆ μὲν ὄντα, διὰ τοῦ υος ποιοῦσι τὴν γενικὴν, φυλάττοντα τὸ υ. οἷον, τίφυς, τίφυος. βότρυς, βότρυος. νέκυς, νέκυος. ὁ ῥαδάμανθυς, τοῦ ῥαδαμάνθυος. ἐξαιρεῖται ὁ πῆχυς, τοῦ πήχεως. ὁ πέλεκυς, τοῦ πελέκεως.

De in is. Terminatio quarta.

In is ſoliſyllaba maſculina per enos faciunt genitiuum, ut unus unius. pecten tinis. ullus ullius. a quo nullus lius & nullus lius. notandum eſt clauis clauis. fœmininum enim. ſed multiſyllaba ſoligenera. & trigenera in entos faciunt genitiuum. ſoligenera quidem ut Simois Simoentis. ſeleis, ſeleentis. trigenera uero, ut gratioſus, tioſi. honoratus honorati. uocalis uocalis ſimiliter & in is participia. ut uerberatus rati. huius gratioſi. huic gratioſo. hunc gratioſum, o gratioſe communiter, a nominatiuo abiectione s. & o gratioſe attice, & o gratioſa, a genitiuo, abiectione, tos. ut ab aiace aiax, unde & neutrum hoc gratioſum.

Regula.

Hic gratioſus, huius gratioſi, huic tioſo, hūc gratioſum, o ſe, & o gratioſe, & o gratioſe, hi gratioſi, horū gratioſorū, o gratioſi, hi gratioſi, horū gratioſorū, his ſis, & gratioſis, hos gratioſos, o gratioſi.

De in ys nominibus. Terminatio, quinta.

In ys ſoliſyllaba circunflexa entia, per purum os faciunt genitiuum, ſeruantia, i in obliquis, ut mus muris. ſus, ſuis, quercus quercus. Etiam pluriſyllaba circunflexa ut hic piſcis, huius piſcis, ſed horum illud y in nominatiuo ſolum eſt longum, in obliquis uero breue. Etiam in ys grauiſona ſoligenera quidem entia per yos faciunt genitiuum ſeruantia il.ud y, ut tiphys tiphys. racemus racemi, mortuus mortui. Rhadamanthus Rhadamanti. excipitur cubitus cubiti. ſecuris ſecuris.

ὁ πρέσβυς, τοῦ πρέσβεως. ἐν ταύταις γὰρ ὥς φησιν ὁ πολυμαθὴς Ἡρωδιανὸς μεταβληθέντος τοῦ ο μικροῦ εἰς ω μέγα ἔθει ἀττικῷ, μετεβλήθη καὶ τὸ υ εἰς ε. τριγενῆ δὲ ὄντα ὀξύτονα. τρέπουσι τὸ υ εἰς ε ἐν ταῖς πλαγίαις. οἷον, ὁ ἡδὺς, τοῦ ἡδέος. ὁ ταχὺς, τοῦ ταχέος. ὁ βραδὺς, τοῦ βραδέος. ὁ ὠκὺς, τοῦ ὠκέος. ὁ ὀξὺς, τοῦ ὀξέος. πάντα δὲ τὰ τοιαῦτα πανταχοῦ τὸ υ βραχὺ ἔχουσι. Τὰ εἰς υς σύνθετα συντεθειμένα μὲν ἀπὸ τῶν εἰς υς ἁπλῶν, τὴν κλίσιν αὐτῶν φυλάττουσιν. οἷον, κάλλιχθυς, καλλίχθυος, ὅτι ἰχθὺς, ἰχθύος. τρίβραχυς, τριβράχεος, ὅτι βραχὺς, βραχέος. συντεθειμένα δὲ ἀπὸ ἄλλων, εἰς δος ποιοῦσι τὴν γενικήν. οἷον, ὁ καὶ ἡ ἔπηλυς, ἐπήλυδος. ὁ καὶ ἡ νέηλυς, νεήλυδος. Τὰ εἰς υς ὑποκοριστικὰ περισπώμενα, πολυσύλλαβα, κατ' ἀποβολῇ τοῦ σ ποιοῦσι τὴν γενικήν. οἷον, ὁ καμῦς, τοῦ καμῦ. ὁ Διονῦς, τοῦ Διονῦ. ὁ Κλαυσῦς, τοῦ Κλαυσῦ. Ἐπειδὴ δὲ τὰ εἰς υς ἐπίθετα καὶ μονογενῆ, ὀλιγοπαθῆ ὄντα, συναίρεσιν καὶ κρᾶσιν ἐπιδέχονται, λεκτέον ἂν εἴη περὶ αὐτῶν ἐπιμελῶς. καὶ πρῶτον περὶ τῶν ὀξυτόνων ἐπιθέτων. Ὁ ἡδὺς, τοῦ ἡδέος. Ἡ δοτική· τῷ ἡδέϊ, καὶ συναιρέσει ἡδεῖ. τὸ γὰρ ε καὶ ι εἰς ει δίφθογγον συναιρεῖται. Καὶ ἡ αἰτιατική· τὸν ἡδέα, ἀπὸ τῆς δοτικῆς, τροπῇ τοῦ ι εἰς α. καὶ κράσει, ἡδῦν, ἀπὸ τῆς ὀνομαστικῆς, τροπῇ τοῦ σ εἰς ν. Ἡ κλητική· ὦ ἡδὺ κοινῶς, ἀπὸ τῆς ὀνομαστικῆς, ἐκβολῇ τοῦ σ. Ἡ ὀνομαστικὴ δυϊκὴ καὶ κλητική· τὼ ἡδέε. ὦ ἡδέε· ἀσυναίρετοι. εἴρηται μέντοι ὥς φησι Θεοδόσιος παρὰ Ἴωνι τῷ κωμικῷ τραχῆ, ἀπὸ τοῦ τραχέε, καὶ κράσει τραχῆ. Ἡ γενικὴ δυϊκή· τοῖν ἡδέοιν, ἀσυναίρετος. ὅτε γὰρ ἡ γενικὴ ἑνικὴ συναιρεῖται, τότε καὶ ἡ γενικὴ δυϊκὴ, καὶ πληθυντικὴ τότε συναιρεῖται. ὅτε δὲ ἐκείνη ἀσυναίρετος εἴη, καὶ αὗται ἀσυναίρετοι τυγχάνουσιν. Ἡ ὀνομαστικὴ πληθυντικὴ καὶ ἡ κλητική· οἱ ἡδέες, ὦ ἡδέες. καὶ κράσει ἡδεῖς. τὰ γὰρ δύο εε ἐν ταύταις, εἰς ει δίφθογγον κιρνῶνται. Ἡ γενική· τῶν ἡδέων. Ἡ δοτική· τοῖς ἡδέσιν, ἀσυναίρετοι. Ἡ αἰτιατική· τοὺς ἡδέας. καὶ

legatus legati. In ys enim vt ait multiſcius Herodianus permutato o paruo in o magnũ, more attico, pmutatũ eſt & y in e, ſed trigenera etiam acutiſona vertunt y in e, in obliquis, vt ſuauis. ſuauis. velox velocis. tardus tardi. citus citi. acutus acuti. ſed omnia huiuſmodi vbiq; i, breue habent. In ys compoſita ſi compoſita ſint ab in ys ſimplicibus, declinatum ſuum ſeruant. vt pulchripiſcis piſcis. quia piſcis piſcis. tribreuis tribreuis. quia breuis breuis. ſed ſi compoſita ſint ab aliis, in dos faciunt genitiuum. vt hic & hæc aduena næ. hic & hæc nuper veniens nuper venientis. In ys diminutiua circumflexa pluriſyllba abiectione s faciunt gtm̃, vt hic camilus. huius camili. hic bacchulus, huius bacchuli. hic clauſulus, hꝰ clauſuli, quia vero in ys adiectiua, & ſoligenera paucipaſſa entia contractionẽ, & commixtionẽ ſuſcipiunt, dicẽdũ ſit de ipſis accurate. & primum de acutiſonis adiectiuis ſuauis ſuauis. Datiuus? ſuaui & contractione ſuaui. nam e & i in ei diphthongum contrahitur. & accuſatiuus, ſuauem a datiuo mutatione i in a. & cõmixtione. ſuauẽ, a nominatiuo mutatione s in n. Vocatiuus? o ſuauis cõmuniter. a ntõ abiectione s. nominatiuus dualis & vocatiuus? hi ſuaues o ſuaues incontracti. Inuenitur tamen, vt ait Theodoſius apud Ionem comicum aſperos ab aſperos, & commixtione aſperos. gtũs dualis? horũ ſuauiũ icõtractus. Cũ. n. gtũs ſingularis contrahitur. tunc & gtũs dualis. & pluralis contrahitur. ſed quando ille incontractus ſit, tunc & hi incontracti ſunt. Nominatiuus pluralis & vocatiuus? hi ſuaues o ſuaues & commixtione ſuaues. Nam duo ee in his. in ei diphthongum cõmiſcentur. Gtũs? horum ſuauium. Datiuus? his ſuauibus incontracti. Accuſatiuus? hos ſuaues. &

κράσει, ἡ δεῖς. τὸ γὰρ ε καὶ α ἐν ταύτῃ, εἰς α εἰς δίφθογγον κιρνᾶται. Καὶ οὕτω μὲν σχηματίσεις τὰ εἰς υς τριγενῆ. τὰ δὲ μονογενῆ, ὧδε. Ο βότρυς. τοῦ βότρυος. τῷ βότρυϊ. τὸν βότρυν μόνως. πᾶσα γὰρ γενικὴ καθαρὰ διχρόνῳ παραληγομένη, εἰς ν μόνον σχηματίζει τὴν αἰτιατικήν. οἷον, βότρυος. βότρυν. ὄφιος, ὄφιν. ἀρῆσις δὲ σπανίως παρὰ ποιηταῖς βότρυα, καὶ δρῦα, καὶ νηδύα. ὦ βότρυς καὶ ὦ βότρυ. Τὼ βότρυε, τοῖν βοτρύοιν, ὦ βότρυε, ἀσυναίρετα. Οἱ βότρυες, ὦ βότρυες. καὶ κράσει, βότρυς. τὸ γὰρ υ καὶ ε ἐν τούτοις, εἰς υ μακρὸν κιρνᾶται. τῶν βοτρύων. τοῖς βότρυσι. τοὺς βότρυας. καὶ κράσει, βότρυς.

Περὶ τῶν εἰς ους ὀνομάτων, κατάληξις ἕκτη.

Τὰ εἰς ους συνῃρημένα ἰσοσύλλαβα ὄντα, τὴν τῶν ἐντελῶν φυλάττουσι κλίσιν. οἷον, χρυσοῦς, χρυσοῦ, ὅτι χρύσεος, χρυσέου. ἀργυροῦς, ἀργυροῦ, ὅτι ἀργύρεος, ἀργυρέου, νοῦς, νοῦ, ὅτι νόος, νοῦ, καὶ ὁ νοῦς, τοῦ νόος. Ετι τὰ εἰς πλους ἰσοσύλλαβα ὄντα, εἰς ου ποιοῦσι τὴν γενικήν. οἷον, ἁπλοῦς, ἁπλοῦ. διπλοῦς, διπλοῦ. τριπλοῦς, τριπλοῦ. Ετι τὰ εἰς δους. οἷον, ἀδελφιδοῦς, ἀδελφιδοῦ. θυγατριδοῦς, θυγατριδοῦ. Τὰ δὲ εἰς ους ἁπλᾶ περιττοσύλλαβα ὄντα, εἰς ος ποιοῦσι τὴν γενικήν. οἷον, βοῦς, βοός. νοῦς, νοός. χροῦς, χροός. χνοῦς, χνοός. ἐξαιρεῖται ὁ πούς, τοῦ ποδός, καὶ ὁ ὀδούς, τοῦ ὀδόντος. Ετι τὰ παρὰ τὸ πούς, σύνθετα, τὴν τοῦ ἁπλοῦ φυλάττοντα κλίσιν, εἰς δος ποιοῦσι τὴν γενικήν. οἷον, δίπους, δίποδος. τρίπους. τρίποδος, καὶ τρίπου ἀττικῶς. ἑπτάπους, ἑπτάποδος, καὶ ἑπταπόδης, ἑπταπόδου. ὅθεν καὶ Ησίοδος ἐν ἔργοις, Αξονα δ' ἑπταπόδην τάμνειν, ὕπερον δὲ τρίπηχυν. οἰδίπους, οἰδίποδος, καὶ οἰδίπου ἀττικῶς. καὶ οἰδιπόδης, οἰδιπόδου πολλάκις παρὰ ποιηταῖς. ὅθεν καὶ Ησίοδος ἐν ἡμέραις, Ως σε μαρναμένους

commixtione suaues. Nam e & a in hoc, in ei diphthongum cômiscentur. & sic quidem formabis in ys trigenera, sed soligenera sic. racemus racemi. racemo racemum tantum. Omnis.n.genitiuus purus. bitempore penultimans in n solum format accusatiuum.u racemi racemum, serpentis serpentem. Inuenies autem raro apud poetas racemũ & quercũ, & uentrem.oraceme & o raceme.hi racemi.horũ cemorũ, o racemi incontracta. hi racemi o racemi, & commixtione recemi.nam y & e in his in y longum commiscentur. horum racemorum.his mis. hos mos, & commixtione racemos.

De in us nominibus. Terminatio. vi.

In us contracta, parisyllaba entia perfectorum seruant declinatum, ut aureus, quoniam aureus aurei, argenteus argentei, quia argenteus argentei. mens mentis, quia mens tis, & hæc mens huius mentis. Etiam in plus parisyllaba entia in u faciunt genitiuum, ut simplex simplicis. duplex duplicis. triplex cis, Etiam In dus, ut fratris filius, fratris filii. nepos nepotis. sed in us simplicia plurisyllaba entia in os faciunt genitiuum, ut bos bouis. niẽs tis. cus cutis. lanugo lanuginis. excipitur hic pes, huius pedis, & hic dens huius dentis. Etiam a pus composita simplicis seruantia declinatum in dos faciunt genitiuum, ut bipes bipedis. tripes tripedis. & tripedis attice. septipes septipedis, & septipes septipedis, unde & Hesiodus in operibus. Axemq; septipedem incidito, pistillum uero tricubitale. œdipus œdipodis, & œdipi attice, & œdipodes œdipodæ sæpe apud poetas, unde & Hesiodus in diebus, perdidit pugnantes

μήλων ἕνεκ᾽ οἰδιπόδαο, ἀντὶ οἰδιπόδου. καὶ Καλλίμαχος ἐν δευτέρῳ ὕμνῳ Ἀπόλλωνος, Ἐκ μέν σε σπάρτης ἕκτον γένος οἰδιπόδαο, ἀντὶ οἰδιπόδου. Ἐπὶ τὰ εἰς ους περισπώμενα ἀπὸ τῶν εἰς εις. οἷον, πλακόεις, πλακοῦς, πλακοῦντος. σιμόεις, σιμοῦς, σιμοῦντος. ὁ δὲ πάντων δημιουργὸς, ὁ Ἰησοῦς, τοῦ Ἰησοῦ, τῷ Ἰησοῦ, τὸν Ἰησοῦν παρὰ τῇ ἱερᾷ γραφῇ. Πάντα δὲ τὰ εἰς ους ἁπλᾶ μὲν, περισπῶνται. οἷον, νοῦς. βοῦς. πλὴν τοῦ ποὺς, καὶ ὀδούς. ταῦτα γὰρ ἀλλάξαντα τὴν κλίσιν, ἤλλαξαν καὶ τὸν τόνον. σύνθετα δὲ, βαρύνονται. οἷον, ἄπλους. ἄχρους. ἄνους. σύνους. κακόνους. καὶ ἐπειδὴ δὲ ταῦτα διαιροῦνται εἰς ὁλοπαθῆ, καὶ ὀλιγοπαθῆ, λεκτέον ἂν εἴη καὶ περὶ αὐτῶν. καὶ πρῶτον περὶ τῶν ὀλιγοπαθῶν.

Περὶ τῶν εἰς ους ὀλιγοπαθῶν.

Ὁ βοῦς. τοῦ βοὸς, καὶ βοῦ παρὰ ποιηταῖς. τῷ βοΐ. τὸν βόα, ἀπὸ τῆς δοτικῆς. καὶ βοῦν, ἀπὸ τῆς ὀνομαστικῆς, ἀχρηστοτέρα δὲ ἡ δευτέρα τῆς πρώτης. ἡ κλητικὴ, ὦ βοῦ, ἀπὸ τῆς ὀνομαστικῆς, ἀποβολῇ τοῦ σ. τὰ γὰρ εἰς σ λήγοντα μετὰ διφθόγγου, ἀποβολῇ τοῦ σ ποιοῦσι τὴν κλητικήν. ὁ βοῦς, ὦ βοῦ. ὁ πλακοῦς, ὦ πλακοῦ. ὁ πηλᾶς, ὦ πηλᾶ. Τὼ βόε. τοῖν βοοῖν. ὦ βόε ἀσυναίρετα. Οἱ βόες. καὶ κράσει, βοῦς. ὅπερ σπανίως εὕρηται. τῶν βοῶν τοῖς βουσί. τοὺς βόας, καὶ βοῦς κατὰ κρᾶσιν ὁμοφώνως τῇ ὀνομαστικῇ πληθυντικῇ. ὅτε γὰρ αὕτη εἰς ες λήγει συνῃρημένη οὖσα, ὁμόφωνον τὴν αἰτιατικὴν καὶ κλητικὴν ἔχει. οἷον, οἱ βόες, καὶ βοῦς. τοὺς βόας, καὶ βοῦς. ὦ βόες, καὶ βοῦς. οἱ ἰχθύες, καὶ ἰχθῦς. τοὺς ἰχθύας, καὶ ἰχθῦς. ὦ ἰχθύες, καὶ ἰχθῦς. Τούτων δὴ οὕτως ἐχόντων χωριστέον ἐστὶ καὶ τὰ εἰς ους συνῃρημένα πολυπαθῆ. Τὰ εἰς οος εἴτε μονογενῆ, εἴτε τριγενῆ συνῃρημένα, ἁπλῶς τε καὶ συνῃρημένως κλίνονται. οὕτως. Ὁ νόος, καὶ νοῦς. τοῦ νόου, καὶ νοῦ. τῷ νόῳ, καὶ νῷ. τὸν νόον, καὶ νοῦν.

ouium causa. œdipodæ pro œdipodæ. & Callimachus in secunda laude Apollinis. Te quidem ex Sparta sextum genus ædipodę pro ædipodæ. Etiam in us circunflexa ab in is, vt planus placenta placentæ. Simois, simus simuntis. sed oium conditor, hic Iesus huius Iesu, huic Iesu. hunc Iesum apud sacram scripturam. Sed omnia in us simplicia quidem circunflectuntur vt mens. bos. præter pes & dens, hæc enim mutantia inflexionē, mutauere, & sonū. composita uero grauant, vt bona nauigatio. bonicorpor bonimens. prudens. malimens, quia hęc diuiduntur in omnipassa, & paucipassa, dicendum fuerit & de iis & primum de paucipassis.

De in us paucipassis.

Hic bos huius bouis & bouis apud poetas, huic boui, hunc bouem a datiuo, & bouem a nominatiuo. Vsitatior autem secunda q̃ prima. Vocatiuus? o bos a nominatiuo abiectione s, nam in s desinentia cū diphthongo abiectione s faciunt ntūm. hic bos o bos. hæc placenta o placenta. hic peleus o leus. hi boues, horū boum, o boues. Incontracta. hi boues & commixtione boues, quod raro inuentū est, horū boum. his bobus, hos boues & boues per mixtionē cōsonanter ntō plurali. Quando .n. hic in es desinit contractus ens, conueccem accusatiuum & vocatiuum habet, vt hi boues & boues, hos boues & boues o boues & ues. hi pisces & pisces. hos pisces, & pisces o pisces, & pisces. his sic habentibus formandum est & quæ in us contracta multipassa. quæ in os siue soligenera, siue trigenera cōtracta simpliciterq; & cōtracte flectuntur sic. hęc mens, & mens. huius mentis & tis. huic menti, & ti hanc mentē & tem

ὦ νόε, ὦ νοῦ. Τὸ νόω, καὶ νῶ. τοῖν νόοιν, καὶ νοῖν. ὦ νόω, καὶ νῶ. Οἱ νόοι, καὶ νοῖ. τῶν νόων, καὶ νῶν. τοῖς νόοις, καὶ νοῖς. τοὺς νόους, καὶ νοῦς. ὦ νόοι, ὦ νοῖ. Καὶ ὁ νοῦς, τοῦ νοός. τῷ νοΐ. καὶ ὁ χροῦς, τοῦ χροός. τῷ χροΐ. τὸ δὲ Σοφοκλέους ἐν αἴαντι, Ξυρεῖ γὰρ ἐν χρῷ τοῦτο. ὥστε μὴ χαίρειν τινὰ, ἢ ἀπὸ τοῦ ὁ χροῦς, τοῦ χροῦ, τῷ χρῷ, ἢ ἀπὸ τοῦ χρὼς, χρὼ, χρῷ ἀττικῶς, ἢ καὶ ἀπὸ τοῦ ὁ χρὼς, τοῦ χρωτὸς, τῷ χρωτὶ, καὶ χρῷ.

Περὶ τῶν εἰς ως. κατάληξις ἑβδόμη.

Τὰ εἰς ως μονοσύλλαβα περισπώμενα, ἀποβολῇ τοῦ σ ποιοῦσι τὴν γενικήν. οἷον, ὁ σῶς, τοῦ σῶ. ὁ κρῶς, τοῦ κρῶ. ὁ κῶς, τοῦ κῶ. ὁ γνῶς, τοῦ γνῶ. Ἔτι τὰ εἰς ως πάντα ἀττικά. οἷον, ὁ μενέλεως, τοῦ μενέλεω. ὁ λεώς. τοῦ λεώ. ὁ κάλως. τοῦ κάλω. καὶ ὁ κάλος, τοῦ κάλου κοινῶς. καὶ ὁ κάλως, τοῦ κάλωος. Τὰ εἰς ως ὀξύτονα μονοσύλλαβα, περιττοσυλλάβως εἰς ος ποιοῦσι τὴν γενικήν. οἷον, ὁ τρὼς, τοῦ τρωός. ὁ δμὼς, τοῦ δμωός. ἐξαιρεῖται ὁ ζὼς, τοῦ ζῶ. Ἔτι τὰ εἰς ως μονοσύλλαβα ἔχοντα σύμφωνον τῆς τρίτης συζυγίας τῶν βαρυτόνων, ἤγουν δ θ τ. οἷον, δμὼς, δμωός. θὼς, θωός. τρὼς, τρωός. Τὰ δὲ μὴ ἔχοντα, εἰς τος ποιοῦσι τὴν γενικήν. οἷον, ὁ χρὼς, τοῦ χρωτός. ὁ φὼς, τοῦ φωτὸς, ὁ ἀνήρ. τὸ φῶς δὲ, τοῦ φωτός. Ἔτι τὰ εἰς ως ὀξύτονα πολυσύλλαβα. οἷον, ὁ ἀπλὼς, τοῦ ἀπλῶτος. ὁ ἀγνὼς, τοῦ ἀγνῶτος. ὁ ἱδρὼς, τοῦ ἱδρῶτος. Τὰ εἰς ως βαρύτονα, εἰ μὲν βραχεῖαν παραλήγουσιν, εἰς τος ποιοῦσι τὴν γενικήν. οἷον, γέλως, γέλωτος, καὶ γέλω ἀττικῶς ἔρως, ἔρωτος, καὶ ἔρω ἀττικῶς. καὶ ὁ ἔρος, τοῦ ἔρου αἰολικῶς, πολλάκις παρὰ ποιηταῖς. ὅθεν καὶ Ἡσίοδος ἐν θεογονίᾳ, Τῇ δ' ἔρος ὡμάρτησε, καὶ ἵμερος ἕσπετο καλός. εἰ δὲ μακρὰν, διὰ καθαροῦ τοῦ ος ποιοῦσι τὴν γενικήν. οἷον, ἥρως, ἥρωος. μίνως, μίνωος. πλὴν τοῦ ἅλως, ἅλωτος. ἅλως γὰρ …

o metis o mens. hæ mentes. & tes harum mentiũ. tiũ. o mentes o tes, hæ mentes tes, harum mentium & tium. his mentibus & bus, has mentes, & tes. o mẽtes & tes, & hęc mens, hᵒ mẽtis, huic ti. & hęc cutis hᵒ tis, huic cuti. Illud uero Sophoclis in aiace. redit enim in cute hoc, ut nõ gaudẽt qdã, uel ab eo qđ ẽ hæc cutis huius cutis, huic cuti. uel a cutis cutis cuti attice, uel & ab hæc cutis, huius cutis, huic cuti & cuti.

De in os. Terminatio ſeptima.

In os ſoliſyllaba circunflexa abiectione s, faciũt genitiuum, ut hic ſoſpes. huius ſoſpitis. hic crous huius croi. hic cous huius coi. hic notus huius noti. Etiam in os omnia attica, ut hic Menelaus huius Menelai. hic populus hᵒ puli. hic funis hᵒ nis & hic nis huius funis communiter, & hic funis huius funis. In os acutiſona ſoliſyllaba pluriſyllabice in os faciunt genitiuum, ut hic tros huius trois. hic ſeruus huius ſerui. excipitur hic uiuens, huius uiuentis. etiam in os ſoliſyllaba habentia conſonantem tertiæ coniugationis grauiſonorum ideſt d. th. t. ut ſeruus ſerui panthera ræ. tros trois. at non habentia in tos faciunt genitiuum, ut hoc corpus. huius corporis. hic uir huius uiri pro uir. hoc lumen uero huius luminis. Etiam in os acutiſona multiſyllaba, ut indecidens indecidentis. ignotus ignoti. ſudor ſudoris. In os grauiſona ſiquidem breui penultimant, in tos faciunt genitiuum, ut riſus riſus, & riſus attice. Amor amoris & amoris attice, & Amor amoris æolice ſæpe apud poetas. unde & Heſiodus in Theogonia, hác amor ſecuta ẽ, & Cupido ſecutus eſt pulcher, ſic longa per purum os faciunt genitiuum, ut heros herois, Minos. nois, pręter ſeruus, ſerui. ſeruus enim erat,

Οἱ ἀθηναῖοι δὲ, ἥρω καὶ μίνω λέγουσιν, ἰσοσυλλάβου ἐπὶ τῶν τοιούτων ποιοῦντες κλίσιν. Τὰ εἰς ως σύνθετα, κοινῶς μὲν τὴν τῶν ἁπλῶν φυλάττουσι κλίσιν. οἷον, λυσίδρως, λυσίδρωτος. χρυσέρως, χρυσέρωτος. ἀττικῶς δὲ, εἰς ω ποιοῦσι τὴν γενικήν. οἷον, ὁ φιλόγελως, τοῦ φιλογέλω. ὁ δύσερως, τοῦ δύσερω. Ο ἱδρώς. τοῦ ἱδρῶτος, τῷ ἱδρῶτι. καὶ κατὰ ἀποκοπὴν, ἱδρῷ πολλάκις παρὰ ποιηταῖς, καὶ παρὰ τῷ ποιητῇ ἐν τῷ ρ τῆς ἰλιάδος, Καμάτῳ δὲ καὶ ἱδρῷ νωλεμὲς, αἰέν. ἀντὶ ἱδρῶτι. τὸν ἱδρῶτα, καὶ κατὰ ἀποκοπὴν, ἱδρῶ, ὡς παρὰ τῷ αὐτῷ πολλάκις. καὶ ἐν τῷ κ τῆς ἰλιάδος, Αἱ τοὶ δ' ἱδρῶ πολλὸν ἀπενίζοντο θαλάσσῃ. ἀντὶ ἱδρῶτα. ὦ ἱδρώς. τὼ ἱδρῶτε. τοῖν ἱδρώτοιν. ὦ ἱδρῶτε. οἱ ἱδρῶτες. τῶν ἱδρώτων. τοῖς ἱδρῶσι. τοὺς ἱδρῶτας. ὦ ἱδρῶτες. Ο ἥρως. τοῦ ἥρωος. τῷ ἥρωι. τὸν ἥρωα. ὦ ἥρως. τὼ ἥρωε. τοῖν ἡρώοιν. ὦ ἥρωε. οἱ ἥρωες, καὶ κράσει ἥρως, ὡς παρ' Ἀριστοφάνει ἐν ἥρωσιν, Οἱ γὰρ ἥρως ἐγγύς εἰσιν. ἀντὶ ἥρωες. τῷ δὲ ἅπαξ ῥηθέντι διὰ τὸ μέτρον, οὐ χρηστέον. τῶν ἡρώων. τοῖς ἥρωσι. τοὺς ἥρωας, καὶ ἥρως. ὦ ἥρωες.

Περὶ τῶν εἰς δύο σύμφωνα ληγόντων ὀνομάτων, κατάληξις ὀγδόη.

Τὰ δύο σύμφωνα τελικὰ ἔχοντα ὀνόματα, ἢ εἰς τὸ σ λήγουσιν ὡς ἅλς, ἢ εἰς τὸ ξ ὡς σάρξ. καὶ τὰ μὲν ἔχοντα τελικὸν ξ, πρὸ αὐτοῦ ἢ λ ἔχουσιν ὡς ἢ ρ ὡς σάρξ, ἢ γ ὡς σφίγξ. Ἀλλὰ περὶ μὲν τούτων ἐν ἄλλῳ. τὰ δὲ ἔχοντα τελικὸν τὸ σ, ἢ λ ἔχουσι πρὸ αὐτοῦ ὡς ἅλς, ἢ ν ὡς τίρυνς, ἢ ρ ὡς μάκαρς. περὶ ὧν νῦν ῥητέον. Τὰ εἰς δύο σύμφωνα λήγοντα περιττοσυλλάβως, διὰ δύο συμφώνων κλίνονται. οἷον, τίρυνς, τίρυνθος. ἔλμινς, ἔλμινθος. μάκαρς, μάκαρτος. ὁ ἅλς ὀφείλων εἶναι ἁλτὸς, ἁλὸς ἐγένετο, ἵνα φυλαχθῇ

Athenienses aũt heroem minoem dicunt parisyllaba in huõi faciẽtes declinationẽ. in os composita cõiter quidem simpliciũ seruant declinationem, vt soluisudor soluisudoris. auricola auricolæ. attice autem in o faciunt gtũm, vt risus amator, risus amatoris infortunatus amator. tori, hic sudor, huius sudoris. huic sudori, & per abscisionem, sudori. sæpe apud poetas. & apud poetam in. xvi. Iliadis. labore autem & sudore assidue semper, pro sudore. hunc sudorem, & abscisionem sudorem, vt apud eundem sæpe. & in decimo Iliadis, ipsi autem sudorem multum abluebant mari. pro sudorem. o sudor. hi sudores. horum sudorum o sudores. hi sudores. horum dorum. his sudoribus. hos sudores, o sudores. hic heros huius rois. huic heroi hunc heroem o. ros. hi roes horum roum o. roes. hi roes & commixtione heroes, vt apud Aristophanẽ in auibus. num heroes ꝓpe sunt pro heroes. semel vero dicto ob metrum non est vtendũ, horum heroum his. ibus. hos heroas. & heroas. o heroes,

De in duas consonantes desinentibus nominibus. Terminatio octaua.

Duas consonantes finales habentia noïa, vel in es desinunt, ut mare, vel in xi, vt caro, & habentia quidem finale x, ante ipsum, vel l habẽt, vt fulcus, vel r, vt caro. vel g, vt sphinx, sed de his quidẽ in alio. habẽtia aũt finale s, aut l, habẽt ante ipm, vt mare, vel n. vt tiryns, vel r vt btũs, de quibus nũc dicendum. In duas consonantes desinentia plurisyllabice per duas consonantes declinantur, vt tiryns tirynthis. lumbricus lumbrici. beatus beati. mare autem debẽs esse maris. maris, maris factũ est, vt seruetur

ἡ δασεῖα τῆς ὀνομαστικῆς. τὰ γὰρ πνεύματα τῆς ὀνομαστικῆς αἱ πλάγιαι τηροῦσιν. εἰ γοῦν ἦν ἄλτος, ἐψιλοῦτο· πᾶν γὰρ φωνῆεν προηγούμενον ἀμεταβόλου, μετὰ σύμφωνον τῆς τρίτης συζυγίας τῶν βαρυτόνων ἕπεται, ψιλοῦται. ταῦτά τοι ἐξεβλήθη τὸ τ, καὶ ἐγένετο ἁλὸς, ἵνα αἱ πλάγιαι τὴν δασεῖαν τῆς ὀνομαστικῆς σώζωσι. Ὁ ἅλς. τοῦ ἁλός. τῷ ἁλί. τὸν ἅλα. ὦ ἅλς. τὼ ἅλε. τοῖν ἁλοῖν. ὦ ἅλε. οἱ ἅλες. τῶν ἁλῶν. τοῖς ἁλσί. τοὺς ἅλας. ὦ ἅλες. σημαίνει δὲ τὸ ἅλας τοῦ ἅλατος. ἡ ἅλς δὲ, τῆς ἁλὸς, τῇ ἁλὶ, τὴν ἅλα μόνον, ἡ θάλαττα. Τὰ ἔχοντα α πρὸ τῶν δύο συμφώνων, εἰς τος ποιοῦσι τὴν γενικήν. οἷον, μάκαρς, κατὰ παλαιοὺς μάκαρτος, καὶ ὁ μάκαρ, τοῦ μάκαρος. ὅθεν ὁ μακάριος, τοῦ μακαρίου. Τὰ δὲ μὴ ἔχοντα α, εἰς θος ποιοῦσι τὴν γενικήν. οἷον, τίρυνς, τίρυνθος. ἕλμινς, ἕλμινθος.

Περὶ τῶν εἰς αν ὀνομάτων, κατάληξις ἐννάτη.

Τὰ εἰς αν ὀνόματα προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικὴν καὶ φυλάττουσι πανταχοῦ τὸ α μακρόν. οἷον, παιὰν, παιᾶνος. τιτὰν, τιτᾶνος. πελεκὰν, πελεκᾶνος. πὰν, πανὸς, ὁ θεός. τὸ πᾶν δὲ τοῦ παντός. καὶ ἁπλᾶ μὲν ὄντα, ὀξύνονται. οἷον, τιτάν. παιάν. σύνθετα δὲ, παροξύνονται. οἷον, ὠπαίαν. τιτανόπαν. ἑρμόπαν. σεσημείωται ὁ καρβάν. σύνθετον γὰρ ὂν, ἀπὸ τοῦ καρὸς βοὴν ἔχειν, ὀξύνεται.

Περὶ τῶν εἰς ην, κατάληξις δεκάτη.

Τὰ εἰς ην μονοσύλλαβα ἀρσενικὰ, προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικὴν, φυλάττοντα τὸ η ἐν ταῖς πλαγίαις. οἷον, σπλὴν, σπληνός. ζὴν, ζηνός. χὴν, χηνός. μὴν, μηνὸς, καὶ μεὶς αἰολικῶς. ὅθεν καὶ Ἡσίοδος, μεὶς γὰρ χαλεπώτατος οὗτος. ἡ φρὴν δὲ, τῆς φρενός. [illegible] Ἔτι τὰ εἰς ην πολυσύλλαβα ὀξύτονα, ἐὰν μὲν ἔχωσι

aſpiratio nominatiui. ſpiritus enim nominatiui obliqui ſeruant. Si igitur fuiſſet maris tenuaretur. Omnis enim vocalis præcedens liquidam poſt quam conſonans tertiæ coniugationis grauiſonorum ſequitur, tenuat. propterea igit̃ abiectũ eſt t, & effectũ eſt maris, vt obliqui aſpirationem nominatiui habeant. hoc mare huius maris. huic ri. hoc mare. o mare. hi ſales. horum ſalium. o ſales. hi ſales. horum ſaliũ. his ſalibus. hos ſales. o ſales. ſignificat autem ſal ſalis. mare autem maris mari mare ſolum mare. habentia. a ante duas conſonantes in tos faciunt genitiuum, vt beatus ſecundum veteres. beati & hic beatus huius beati. vnde hic beatus huius beati. At non habentia a in thos faciunt genitiuum, vt tiryns tirynthis. lumbricus lumbrici.

De in an nominibus Terminatio. ix.

In an nomina appoſitione os faciunt genitiuum, etiam ſeruant vbiq; a longum vt pæan pæanis, titan titanis. Pelicanus pelicani. Pan Panis deus. omne aũt omnis, & ſimplicia quidem aſſentia acuuntur, vt titam pæan. compoſita vero penacuuntur, vt eupæan. titanopan. hermopan. Notandũ eſt hic car ban. compoſitum enim ens a care vocẽ habere acuit.

De in in, terminatio decima.

In in vniſyllaba maſculina appoſitione os faciunt genitiuum ſeruantia ita in obliquo, vt ſplen ſplenis, Iuppiter iouis. anſer anſeris, menſis menſis. & mẽſis æolice vnde & Heſiodus, menſis enim peſſimus iſte. mens autem mentis fœmininum enim, etiam in in multiſyllaba acutiſona ſi habent

τὸ μ, τρέπουσι τὸ η εἰς ε ἐν ταῖς πλαγίαις. οἷον, ποιμὴν, ποιμένος. λιμὴν, λιμένος. ὑμὴν, ὑμένος. πυθμὴν, πυθμένος. ἐξαιρεῖται δαμὴν, δαμῆνος. ἐὰν δὲ μὴ ἔχωσι τὸ μ, φυλάττουσι τὸ η. οἷον, σωλὴν, σωλῆνος. λειχὴν, λειχῆνος. ἐξαιρεῖται ἀζὴν ἀζένος. ἀδὴν ἀδένος. καὶ αὐχὴν αὐχένος, ὅτι αὐχμὴν ἦν. Τὰ εἰς ην βαρύτονα, εἰ μὲν ὦσι μονογενῆ, φυλάττουσι τὸ η ἐν ταῖς πλαγίαις. οἷον, ἕλλην, ἕλληνος. γέρην, γέρηνος. σέβην, σέβηνος. εἴρην, εἴρηνος, καὶ εἴρενος παρὰ Καλλιμάχῳ διὰ τὸ μέτρον. εἰ δὲ ὦσιν ἐπιθετικὰ διγενῆ, τρέπουσι τὸ η ἐν ταῖς ἄλλαις πτώσεσιν. οἷον, ὁ καὶ ἡ ἄρσην, ἄρσενος. ὁ καὶ ἡ τέρην, τέρενος.

Περὶ τῶν εἰς ιν, κατάληξις ἑνδεκάτη.

Τὰ εἰς ιν ἀρσενικὰ καὶ θηλυκὰ δικατάληκτα, προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικὴν, καὶ φυλάττουσι τὸ ι μακρὸν πανταχοῦ. οἷον, ὁ δελφὶν, τοῦ δελφῖνος. ὁ τελχὶν, τοῦ τελχῖνος. ἡ ἀκτὶν, τῆς ἀκτῖνος. ἡ ἐλασὶν, τῆς ἐλασῖνος. καὶ τὰ μὲν ἁπλᾶ, ὀξύνονται. οἷον, δελφίν. ἀκτίν. τὰ δὲ σύνθετα, παροξύνονται. οἷον, χρυσάκτιν. τριγλώχιν. ὠάκτιν. καλοῦνται δὲ δικατάληκτα, ὅτι παρὰ μὲν τοῖς παλαιοῖς, εἰς ις ἔληγον. οἷον, δελφίς. ἀκτίς. παρὰ δὲ τοῖς νεωτέροις, εἰς ιν. οἷον, δελφίν. ἀκτίν. αἰσχροτέρα δὲ ἡ εἰς ις, τῆς εἰς ιν. ἐξαιρεῖται τὶς τινός. μὴ δικατάληκτον γὰρ ὂν, συνεσταλμένον φύσει τὸ ι ἔχει.

Περὶ τῶν εἰς υν, κατάληξις δυοκαιδεκάτη.

Τὰ εἰς υν, προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικήν. οἷον, μόσυν, μόσυνος. πόλτυν, πόλτυνος. φόρκυν. φόρκυνος. φόρκυνι. φόρκυνα. καὶ ὁ φόρκυς. τοῦ φόρκυος. τῷ φόρκυϊ. τὸν φόρκυν. καὶ ὁ φόρκυς. τοῦ φόρκυ. τῷ φόρκυ. ὅθεν καὶ Ἡσίοδος ἐν θεογονίᾳ, Κητὼ δ' ὁ πλεῖστα τι ὅθεν καὶ φόρκυν φιλότητι μιγεῖσα. τὸν φόρκυν.

m, vertunt ita in e in obliquis, vt paſtor paſtoris portus portus. hymen hymenis. fundū fundi. excipit Damen damentis. Si non habent m, ſeruant ita, vt aquęductus aquęducti, impetigo impetiginis. Excipitur azen azenis. aden adenis, & collū colli. quia collum erat. In in grauiſona ſi ſint ſoligenera, ſeruant ita in obliquis, vt græcus græci geren gerenis, ſeuen ſeuenis. Iren irenis, & irenis apud Callimachum propter metrum. Sed ſi ſint adiectiua bigenera, vertunt ita in alios caſus, vt hic & hæc mas. hic & hæc Iuuenis iuuenis.

De in in, terminatio vndecima.

In in maſculina & fœminina biterminata appoſitione os faciunt genitiuum. & ſeruant i longum vbiq;, vt delphin delphinis. telchin telchinis. radius, radii, eleuſin, eleuſinis. & ſimplicia quidem acuuntur, vt delphin radius, ſed compoſita penacuuntur, vt auriradius. tricuſpis, boni radius. vocantur autem biterminata, quā apud veteres, in is deſinebant, vt delphin. radius ſed apud iuniores in in, vt delphin. radius. Vſitatior aūt quæ in is, ea quæ in in. excipit aliqs alicuius. ñ biterminatū. n. ens correptū natura iota hēt.

De in yn, terminatio duodecima.

In yn appoſitione es faciunt genitiuū, vt moſyn moſynis, poltyn poltynis. Phorcyn phorcynis. phorcyni. cynē & hic phorcys. h⁹cynis. huic phorcyni hunc. cynē. & hic phorcys huius phorci huic phorco. vnde & Heſiodus in theogonia, ceto autē Iuueniſsimū phorcum amore mixta. hunc phorcum, vnde &

ὁ ὁμηρικὸς κόϊντος ἐν ἕκτῳ, Ἂν δὲ πάρις μέσσῳ ὄντ' ἔβαλεν, καὶ ἀγήνορα φόρκυν. καὶ ὁ φόρκος, τοῦ φόρκου. Τὸ δὲ υς, οἱ μὲν, μακρόν. οἱ δὲ, βραχὺ ἀεὶ ἐνόμισαν. ὁ δὲ σοφὸς Ἡρωδιανὸς, ἐν μὲν τῇ ὀνομαστικῇ, μόνον εἶναι βραχύ φησιν. ἐν δὲ ταῖς πλαγίαις, μακρόν. ὅπερ ἡ χρῆσις τῶν ποιητῶν ἐπιβεβαιοῖ. ὁ γὰρ παλαιὸς ἐκεῖνος Ὀρφεὺς ἐν ἀργοναυτικοῖς οὕτω φησὶ, Πρωτέα, καὶ φόρκυνα, καὶ ἀρυβίην τρίτωνα. οὕτως ὁμοίως καὶ ὁ ποιητὴς ἐν τῷ α τῆς ὀδυσσείας Φόρκυνος, θυγάτηρ ἁλὸς ἀτρυγέτοιο μέδοντος. Καὶ πάλιν ἐν τῷ ν τῆς αὐτῆς, Φόρκυνος δέ τις ἐστὶ λιμὴν ἁλίοιο γέροντος, καὶ ἐν τῷ γ τῆς αὐτῆς, Ἐσχατιῇ γόρτυνος ἐν ἠεροειδεῖ πόντῳ. καὶ Διονύσιος ὁ περιηγητὴς, Παρθ' ἱερὴν γόρτυνα, καὶ ἠπειρώτιδα φαιστόν. τοῦ δὲ φόρκυς, φόρκυνος. τὸ κυ, βραχύ. τὰ γὰρ εἰς υς, βραχὺ τὸ δίχρονον ἔχουσιν. ὅθεν καὶ Ἡσίοδος ἐν θεογονίᾳ, Φόρκυϊ δ' αὖ κητὼ γραίας τέκε καλλιπαρήους.

Περὶ τῶν εἰς ων ληγόντων, κατάληξις ιγ.

Τὰ εἰς ων λήγοντα ὀνόματα, ἢ ὀξύνονται ὡς σαρπηδὼν, ἑλικὼν, ἢ βαρύνονται, ὡς θέων, πλάτων, ἢ περισπῶνται, ὡς ξενοφῶν, ποσειδῶν. καὶ τὰ μὲν ὀξύτονα προσθέσει τοῦ ος ποιοῦντα τὴν γενικὴν, ἢ φυλάττουσι τὸ ω μέγα ἐν ταῖς πλαγίαις, ὡς ἑλικὼν, ἑλικῶνος, ἢ τρέπουσι τὸ ω μέγα εἰς ο μικρὸν, ὡς σαρπηδὼν, σαρπηδόνος. τὰ δὲ βαρύτονα, ἢ προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικὴν, ποτὲ δὲ τὸ ω μέγα φυλάττοντα, ποτὲ δὲ τρέποντα, ἢ διὰ τοῦ ντ. τὰ δὲ περισπώμενα, ὡς ἐπὶ τὸ πλεῖστον διὰ τοῦ ντ ποιοῦσι τὴν γενικὴν, φυλάττοντα τὸ ω μέγα, ἀλλ' ἐπειδὴ ἡ περὶ τούτων διδασκαλία ποικίλη τέ ἐστι, καὶ ὀλίγοις γνωστὴ, λεκτέον ἂν εἴη ἀκριβέστατα κατὰ τοὺς παλαιοὺς, μὴ φειδομένοις μέλανος.

homericus Quintus in sexto. Si aũt paris Mosynum'q; percussit,& fortẽ phorcũ,& hic phorcus. huius phorci. Illud vero ys, alii longũ, alii breue semp existimarũt. ac doctus Herodianus in nominatiuo quidem solũ esse breue ait, in obliquis autem longum. quod vsus poetarum confirmat. nam antiquus ille Orpheus in argonauticis sic ait. Proteum, & phorcyna, & fortem tritonem, sic similiter & poeta in primo odysseæ, phorcynis filia maris immensi regnatoris, & rursus in tertiodecimo eiusdẽ, phorcynis vero quidam est portus marini senis. & in tertio eiusdem, extremitate Gortynis in aeriformi ponto,& Dionysius ennarrator apud'q; sacrã Gortynem, & epirotidem phæstum, phorcys autem phorcyos. Illud cy ⁹ breue, quæ enim in ys breuem bitẽporeã hñt, vnde & Hesiodus ĩ theogonia phorcyi autem rursus Ceto anus peperit pulchrigenas.

De in on desinentibus, terminatio. xiii.

In on desinentia nomina aut acuuntur,vt Sarpedõ, helicon, aut grauantur,vt theon. Plato, aut circunflectuntur, vt Xenophon Neptunus, & acutisona additione os facientia genitiuum, vel seruant o magnum in obliquis, vt Helicon Heliconis, vel vertunt o magnum in paruum, vt Sarpedon sarpedonis grauisona autem, vel additione os faciunt gtũm. Interdum vero o magnum seruantia, interdum autem vertentia,vel per nt. at circunflexa vt plurimum per nt faciunt genitiuum, seruantia o magnum. Sed quoniam de his documentum variumq; est,& paucis cognitum,dicendũ fuerit diligẽtissime ẽm veteres non parcentibus atramento.

Περὶ τῶν εἰς ων ὀξυτόνων φυλαττόντων τὸ ω.

Τὰ εἰς ων ὀξύτονα μονοσύλλαβα, προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικὴν, φυλάττοντα τὸ ω μέγα ἐν ταῖς πλαγίαις. οἷον, κλὼν, κλωνός. πρὼν, πρωνός. Ἔτι τὰ εἰς ων περιεκτικά. οἷον κοιτὼν κοιτῶνος. παρθενὼν, παρθενῶνος. ἀκανθὼν, ἀκανθῶνος. Ἔτι τὰ ὡς περιεκτικά. οἷον, ἀγὼν, ἀγῶνος. αἰὼν, αἰῶνος. Ἔτι τὰ τῶν μηνῶν ὀνόματα. οἷον, βοηδρομιὼν, βοηδρομιῶνος. ἑκατομβαιὼν, ἑκατομβαιῶνος. ἐλαφηβολιὼν, ἐλαφηβολιῶνος. Ἔτι τὰ διὰ τοῦ εων ὑπερδισύλλαβα. οἷον, λεγεὼν, λεγεῶνος. ἡρακλεὼν, ἡρακλεῶνος. τυφεὼν, τυφεῶνος. ποσειδεὼν, ποσειδεῶνος. Τὰ δὲ εἰς ων καθαρὸν βραχεῖ δίχρονῳ παραληγόμενα, τρέπουσι τὸ ω μέγα εἰς ο μικρὸν ἐν ταῖς πλαγίαις. οἷον, ἀμφικτυὼν, ἀμφικτυόνος. περικτιὼν, περικτιόνος. τὸ δὲ κνακυὼν, κνακυῶνος. τὸ γὰρ υ μακρόν. καὶ Ἔτι τὰ εἰς δων, οἷον, σαρπηδὼν, σαρπηδόνος, σαρπήδων, σαρπήδοντος. μακεδὼν, μακεδόνος. ἐξαιρεῖται ὁ καλυδὼν, τοῦ καλυδῶνος, καὶ ὁ ἀμυδὼν, τοῦ ἀμυδῶνος, ὀνόματα κύρια. ἀφ' ὧν ἡ καλυδὼν πόλις, καὶ ἡ ἀμυδών. Τὰ εἰς ων περισπώμενα πάντα διὰ τοῦ ντ κλίνονται, φυλάττοντα τὸ ω μέγα. οἷον, ξενοφῶν, ξενοφῶντος. ἀγλαοφῶν, ἀγλαοφῶντος, δημοφῶν, δημοφῶντος. ἐξαιρεῖται ὁ ποσειδῶν, τοῦ ποσειδῶνος, καὶ ταῶν, ταῶνος, καὶ τυφῶν, τυφῶνος. ὃς καὶ τυφὼς τυφῶ λέγεται ἀττικῶς, καὶ τυφεὼν, τυφεῶνος, καὶ τυφωεὺς, τυφωέως, καὶ τυφάων, τυφάωνος. Οἱ ποιηταὶ δὲ διὰ τὸ μέτρον, προστιθέασιν ο πολλάκις ἐνίοις τούτων τῶν ὀνομάτων, δημοφόων καὶ δημοκόων λέγοντες. ὅθεν καὶ ὁ ποιητὴς ἐν τῷ ε τῆς ἰλιάδος, Ἀλλ' υἱὸν πριάμοιο νόθον Ἔβαλε δημοκόωντα. ἀντὶ δημοκῶντα. αἰολικὸν εὕρηται τούτοις προστιθέμενον F δίγαμμα ἐν ἐπιγράμμασι παλαιοῖς. τοῦτο δὲ νῦν ὥς φησι Διονύσιος ὁ ἁλικαρνασσεὺς ἐν τῇ πρώτῃ τῶν ῥωμαικῶν

In on Acutisona solisyllaba additione os faciunt genitiuum seruantia o magnum in obliquis, vt ramus rami, collis collis. Etiam in on contentiua, vt cubiculum cubiculi. virginetum virgineti. spinetum spineti. Etiam vt contentiua, vt certamen certaminis. æuum æui. etiam mensium nomina, vt augustus augusti. Iunius Iunii. februarius februarii. Etiam per con superbisyllaba, vt legio legionis. Hercules Herculis. typhon, typhonis. neptunus neptuni. Aliqua vero in on purum breui bitẽpore penultimantia mutant o magnum in o paruum in obliquis. vt Amphictyon Amphictyonis, perictìon perictionis, sed cnacyon cnacyõis illud. n. cy longum etiam aliqua in Edon, vt sarpedon sarpedonis, & sarpedon sarpedontis, macedo macedonis. excipitur hic calydon huius calydonis, & hic amydon huius amydonis nõia propria. a quibus calydõ ciuitas & amydon. In on circunflexa omnia per nt flectuntur seruantia o magnum, vt Xenophon Xenophontis. aglaophon aglaophontis. Demophon Demophontis. excipitur hic neptunus huius neptuni. & taon onis. & typhon typhonis & typhon onis dicit̃ attice, & typho typhonis. & typhoeus typhoei. & typhaon onis. poetæ vero propter metrum apponunt o sæpe in quibusdam horum nominum. Demophoon & democoon dicentes, vnde & poeta id quinto Iliadis. Sed filium Priami spurium percussit Democoontem pro Democontem. etiam inuenitur his appositum f. digamma æolicum in epigrammatis antiquis. hoc autem erat (vt ait Dionysius Alicarnaseus in prima Romanarum

ἱστοριῶν οὐ συλλαβὴ ἐνὶ στοιχείῳ γραφομένη διγάμμα F. πλαγίαις ἐπὶ μίαν ὀρθὴν, ἐπιζευγνυμένη οὕτω. ἐχρῶντο δὲ οἱ αἰολεῖς ἐν ταῖς ἀπὸ φωνήεντος ἀρχομέναις λέξεσιν. οἷον, Fελένη, Fάναξ. Fανήρ. Fοῖκος. Ἐπειδὴ δὲ πρὸ τοῦ ρ συμφωνίαν οὐ ποιεῖ. ἔτρεπον αὐτὸ εἰς β, τ, ἢ δ, ἢ κ, ὄντος ἐν τῇ δευτέρᾳ συλλαβῇ ὡς γέγραπται ἐν τῷ αἰολικῷ ἰδιώματι. οἷον, βρήτωρ ἀντὶ ῥήτωρ· βρυτὴρ, ἀντὶ ῥυτήρ. βρόδος, ἀντὶ ῥόδος. βράκος, ἀντὶ ῥάκος. ἅπαξ δὲ Ἀλκαῖος Φρήξας ἀντὶ ῥήξας εἶπεν, ὥς φησι Τρύφων ὁ γραμματικὸς, ὃς καὶ ἴωνας, καὶ δωριεῖς, καὶ λάκωνας, καὶ βοιωτοὺς ἢ αὐτῷ χρῆσθαί φησιν. ἀντ' αὐτοῦ δὲ ἡμεῖς δασείᾳ, ἢ ψιλῇ χρώμεθα. Ἀλλὰ περὶ μὲν τούτου, ἱκανῶς. νῦν δὲ περὶ τῶν εἰς ων βαρυτόνων λέγωμεν.

Περὶ τῶν εἰς ων βαρυτόνων φυλαττόντων τὸ ω μέγα ἐν ταῖς πλαγίαις.

Τὰ εἰς ων βαρύτονα παρώνυμα, φυλάττουσι τὸ ω μέγα ἐν ταῖς πλαγίαις. οἷον, θεὸς, θέων, θέωνος. τρυφὴ, τρύφων, τρύφωνος. πλατὺς, πλάτων, πλάτωνος. ἱερὸς, ἱέρων, ἱέρωνος. ἀκτὴ, ἀκταίων, ἀκταίωνος, καὶ ἀκταίονος κατὰ συστολήν. ἐξαιρεῖται τὰ ἀπὸ τῶν εἰς ος συνθέτων γινόμενα. οἷον, ἄναιμος, ἀναίμων, ἀναίμονος. κατάπυγος, καταπύγων, καταπύγονος. Ἔτι τὰ εἰς ων ἐθνικά. οἷον, μύτων, μύτωνος. κύδων, κύδωνος. καδμείων, καδμείωνος. ἀργείων, ἀργείωνος. ἐξαιρεῖται κύκων, κύκονος. κύκων δὲ κύκωνος, κυρίως. Ἔτι τὰ εἰς βων. οἷον, στράβων, στράβωνος. τρίβων, τρίβωνος. Ἔτι τὰ εἰς γων δισύλλαβα, καὶ ὑπερδισύλλαβα. οἷον, λήγων, λήγωνος. φλέγων, φλέγωνος. ἀρήγων, ἀρήγωνος. Ἔτι τὰ εἰς δων. οἷον, φαίδων, φαίδωνος. φείδων, φείδωνος. λάδων, λάδωνος. κνώδων δὲ, κνώδοντος. Ἔτι τὰ εἰς δων παρώνυμα. οἷον, κόρυδος, κορύδων, κορύδωνος. κίναδος, κινάδων, κινάδωνος. Ἔτι τὰ εἰς ζων, ξων, σων δισύλλαβα, κύρια. οἷον, ἕζων, ἕζωνος. ἄξων, ἄξωνος. θράσων, θράσωνος. αἴσων, αἴσωνος, καὶ αἴσονος κατὰ συστολήν. ἐξαιρεῖται ὁ ἰάσων, τοῦ ἰάσονος. Ἔτι τὰ εἰς θων,

historiarum) u syllaba vna litera scripta duplicibus obliquis in vnam rectam coniuncta sic F. vtebantur autem æoles in a vocali incipientibus dictionibus, vt Felena Frex. Fit. Fdomus, sed quia ante r cōsonātiā nō facit, vertebant ipsum in b t, vel d, vel c. existente in secunda syllaba, vt scriptum est in æolica lingua, vt bretor pro rhetor & saluator pro saluator. brodos pro rhodus. pānus vilis, pro pānus vilis, semel vero alcęus rumpes pro rumpes dixit, vt ait Tryphon grāmaticus qui & iones & dores & lacones, & bœotos ipso vti ait, pro ipso autem nos denso pro tenui vtimur, sed de hoc satis. nunc vero de in on grauisonis dicamus.

De in on grauisonis seruantibus o magnū in obliquis.

In on grauisona denominatiua seruant o magnū in obliquis, vt deus Theon theonis. delitiæ Tryphon onis. latus, Plato onis. sacer hieron onis. litus, actæon actæonis, & actæonis per correptionem. excipiuntur ab in os compositis facta, vt exanguis. Anæmon onis, prędicatus puer meritorius pueri meritorii. etiam in on gentilia, vt myton mytonis. cydon cydonis. cadmeon cadmeonis, argeon argeonis excipitur cycon onis. Cycon vero cyconis proprium, Etiam in bon, vt Strabo onis. tribo onis. Etiam in gon bisyllaba, & superbisyllaba, vt legon legonis, phlegon phlegonis. Aregon. onis. Etiam in don, vt Phædon phædonis. phædon. onis. Ladon onis. cnodon autem cnodontis. Etiam in don denominatiua, vt Corydus corydon. cinædus, cinædus cinædi. Etiam in zon. xon. son bisyllaba propria, vt rhizon rhizonis. Axis axis. Phraxon xonis. æson onis. & æsonis per correptionem. excipitur Iason iasonis etiam in thon. phon.

χων, κων, πων, τῶν, διϛύλλαβα. οἷον, μόθων, μόθωνος. τρύφων, τρύφωνος. γλήχων, γλήχωνος. γλαύκων, γλαύκωνος. δούπων, δούπωνος. πλούτων, πλούτωνος. Ἔτι τὰ πρὸ τοῦ ων ἀμετάβολον ἔχοντα. οἷον, γέλων, γέλωνος. τίμων, τίμωνος. σίνων, σίνωνος. χάρων, χάρωνος. νάρων, νάρωνος, κατὰ συστολήν. Ἔτι τὰ εἰς ων ἔχοντα πρὸ τοῦ ων δίχρονον συνεσταλμένον. οἷον, ἠετίων, ἠετίωνος. διακαλίων, διακαλίωνος. ἀμφιτρύων, ἀμφιτρύωνος. ἐραθαλίων, ἐραθαλίωνος, ἀτρίων, ἀτρίωνος. ἠλεκτρύων, ἠλεκτρύωνος. ἠφαιστίων, ἠφαιστίωνος. ἐνδυμίων, ἐνδυμίωνος. ἀστερίων, ἀστερίωνος. ὠρίων, ὠρίωνος. τούτου δὲ τὸ ι μακρὸν ὡς τὰ πολλά. καὶ βραχὺ δὲ παρ' Εὐριπίδῃ ἀέντα. Τάτε ἄστρα καὶ τὸν ὠρίωνα δέχομαι. Ἔτι τὰ εἰς ων πατρωνυμικά. οἷον, πηλείων πηλείωνος. ἀτρείων, ἀτρείωνος. κρονίων, κρονίωνος. τὸ δὲ ἐν τῷ ξ τῆς ἰλιάδος τοῦ ποιητοῦ, Ζηνὸς δ' οὐκ ἂν ἔγωγε κρονίονος ἆσσον ἱκοίμην, κατὰ συστολὴν διὰ τὸ μέτρον διὰ τοῦ ο μικροῦ γράφεται. Ἔτι τὰ εἰς ων ὑποκοριστικά. οἷον, βάκχων, βάκχωνος. σίμων, σίμωνος. λάκων, λάκωνος. μορίων, μορίωνος.

Περὶ τῶν εἰς ων τρεπόντων τὸ ω μέγα εἰς ο μικρόν.

Τὰ εἰς ων ῥηματικὰ ἢ κοινὰ, τρέπουσι τὸ ω μέγα εἰς ο μικρὸν ἐν ταῖς πλαγίαις. οἷον, φιλῶ, φιλήμων, φιλήμονος. νοῶ, νοήμων, νοήμονος. ἐλεῶ, ἐλεήμων, ἐλεήμονος. ὁ καὶ ἡ σώφρων, σώφρονος. ὁ καὶ ἡ γείτων, γείτονος ὁ καὶ ἡ τέκτων, τέκτονος, ἐξαιρεῖται ὁ καὶ ἡ αἴθων, αἴθωνος, ὁ καὶ ἡ ἥρων, ἥρωνος. Ἔτι τὰ εἰς ων δίχρόνῳ ἐκτεταμένῳ παραληγόμενα. οἷον, μαχάων, μαχάονος. ἱκετάων, ἱκετάονος. ἀρετάων, ἀρετάονος. ἀμφίων, ἀμφίονος. ὑπερίων, ὑπερίονος. ἐχίων, ἐχίονος. πανδίων, πανδίονος. δολίων, δολίονος. ὀπάων, ὀπάονος. κίων, κίονος. πίων, πίονος. πρίων, πρίονος. Ἔτι τὰ εἰς ων ὑπὲρ δισύλλαβα, μακρᾷ παραληγόμενα. οἷον, παιήων, παιήονος. Ἔτι

chon. con. pon. ton. disyllaba, vt motho. onis. tryphon onis. glecho. onis, glauco onis. durco dupcnis. Plato onis. Etiam ante on immutabilem habentia. vt gelo onis. timo onis. finon onis. charon onis. naron autem onis per correptionem. Etiam in on habētia ante on bitemporem correptam, vt eetio eetionis, deucalion onis. Amphitryon onis. ereuthalion. onis. eutrion onis. electryon. onis. hephæstion. onis, endymion. onis. asterion. onis. Orion. orionis. huius vero illud ri, longum, vt pleraq; & breue apud Euripidem inueniē, & astra & orionem video. Etiam in on patronymica, vt pelides pelidæ. atrides atridæ. saturnius saturnii. illud vero in. xv. iliadis poetæ, Iouem vero non ego saturnium prope accedam per correptionem propter metrum per o paruum scribitur. Etiam in on diminutiua, vt bacchulus li. simunculus li. lacunculus lacunculi. morion onis.

De in on vertentibus o magnū in o paruū.

In on verbalia, vel cōmunia vertunt o magnū in o paruum in obliquis, vt amo philemon onis. intelligo noemon noemonis. misereor misericors cordis. hic & hæc prudens. tis. hic & hæc vicinus ni. hic & hęc faber lignarius. fabri. excipitur hic & hęc ardens entis. hic & hæc dissimulator onis. Etiam in on bitempore longo penultimantia, vt machaon onis. hicæon onis. Aretaon onis. Amphion onis. sol solis. echion onis. Pandion onis. dolion onis, seruus serui. cion onis. pinguis pinguis. serra serræ. Itē in on superbisyllaba longa penultimantia, vt peion onis. Itē

τὰ εἰς ων συγκριτικά. οἷον, μείζων, μείζονος. κρείσσων, κρείσσονος.
καλλίων, καλλίονος. Ἐπὶ τὰ εἰς ων δισύλλαβα, μὴ παρώνυμα.
δύο σύμφωνα κατὰ σύλληψιν ἔχοντα. οἷον, τέκτων,
τέκτονος. ἴδμων, ἴδμονος. ἄκμων, ἄκμονος. Ἐπὶ τὰ παρὰ
τὸ φρὴν σύνθετα. οἷον, ἄφρων, ἄφρονος. δαΐφρων, δαΐφρονος.

Περὶ τῶν εἰς ων διὰ τοῦ ντ κλινομένων.

Τὰ εἰς ων ἔχοντα θηλυκὸν διὰ τοῦ αινα, διὰ τοῦ ντ κλίνονται τρέ-
ποντα τὸ ω μέγα εἰς ο μικρόν. οἷον, λέων, λέοντος, ὅτι λέαινα. θε-
ράπων, θεράποντος, ὅτι θεράπαινα. δράκων, δράκοντος, ὅτι δρά-
καινα. ὁ λάκων δὲ λάκωνος. ὑποκοριστικὸν γάρ. Ἐπὶ τὰ εἰς δων
ὑπερδισύλλαβα, μὴ παρώνυμα. οἷον, κελάδων, κελάδοντος. σαρ-
πήδων, σαρπήδοντος. Ἐπὶ τὰ παρὰ τὸ ὀδοὺς σύνθετα. οἷον, θερ-
μώδων, θερμώδοντος. χαλκώδων, χαλκώδοντος. χαυλιόδων, χαυ-
λιώδοντος. ταῦτα δὲ καὶ διὰ τοῦ ωνος εὕρηται κλινόμενα. οἷον,
ἀμφόδων, ἀμφώδωνος. Ἐπὶ τὰ εἰς θων ὑπερδισύλλαβα μετο-
χικά. οἷον, φαέθων, φαέθοντος. πυριφλεγέθων, πυριφλεγέθοντος.

Περὶ τῶν εἰς ων συνθέτων.

Τὰ εἰς ων σύνθετα πάντα τὴν τῶν ἁπλῶν φυλάττουσι κλίσιν.
οἷον, χαλκοχίτων, χαλκοχίτωνος. ἀρχιτέκτων, ἀρχιτέκτονος. μι-
σοποσείδων, μισοποσείδωνος. καὶ ταῦτα μὲν περὶ τῶν εἰς ων.
ὧν ἡ αἰτιατικὴ πάσχει πολλάκις ἀποκοπήν.
ποσειδῶ, ἀντὶ ποσειδῶνα. ἀπόλλω, ἀντὶ ἀπόλλωνα.

Περὶ τῶν κλητικῶν τῶν εἰς ων.

Περὶ δὲ τῶν κλητικῶν αὐτῶν καθόλου εἰδέναι δεῖ, καὶ
ὅτι τὰ εἰς ων ὀξύτονα τὰς αὐτὰς ἔχουσιν ὀνομαστικάς, τὰς
κλητικάς. οἷον, ὁ ἐλαιών, ὦ ἐλαιών. ὁμοίως καὶ τὰ
περισπώμενα. οἷον, ὁ ξενοφῶν, ὦ ξενοφῶν. πλὴν
τοῦ ὁ ποσειδῶν, ὦ πόσειδον. τὸ δὲ παρὰ Πινδάρῳ Ω ποσειδᾶον
ἀπὸ τοῦ ὁ ποσειδάων, τοῦ ποσειδάονος ἐγένετο. Τὰ δὲ πολυσύ-
βαρύτονα, ἀπὸ τῆς γενικῆς, ἐκβολῇ τῆς ἐσχάτης

in on comparatiua, vt maior oris melior oris. melior oris. Item in on bisyllaba non denominatiua duas cōsonantes p cōprehensionem habentia, vt faber fabri. scius scii. Incus incudis. Item a fuente composita, vt stultus stulti. prudens prudētis.

De in on per n declinatis.

In on habētia fœmininū per ęnea p nt flectūtur vertentia o magnū in o paruū, vt leo onis. quia leęna seruus serui, quia serua, draco onis, quia draęna. lacon vero laconis. diminutiuū enim. Item in dō supbisyllaba non denominatiua, vt celadon dontis. sarpedon ontis. similiter ab odus composita, ut thermodoon, thermodontis. chalcodon ontis. aper apri. hæc vero & per onos inueniuntur flexa, vt ambidento dentonis. Etiam in thon supbisyllaba participalia, vt phaeton thontis. pyrphlegethon. thontis

De in on compositis.

In on composita omnia simplicium seruant flexionē, vt chalcochiton onis. architectus architecti. misoposidon misoposidonis. & hæc quidem de in on, quorum accusatiuus patitur sæpe abscisionem, vt neptunum pro neptunum. Apollinem pro Apollinem.

De vocatiuis in on.

De vocatiuis autē ipsorū in vniuersum scire oportet q in on acutisona eosdem habent nominatiuos & vocatiuos, vt oliuetum oliuetum. similiter & circunflexa, vt Xenophon o Xenophon præter neptunū o neptune. sed illud apud pindarū o neptune ab hic neptunus huius neptuni factum est. Sed grauisona a genitiuo abiectione vltimæ faciunt

τὴν κλητικήν. οἷον, ὁ τρύφων, τοῦ τρύφωνος, ὦ τρύφων. ὁ λέων, τοῦ λέοντος, ὦ λέων. Σημειώσῃ μέντοι ὅτι ἐπὶ τῶν ὑπερδισυλλάβων συνθέτων εἰς ον προπαροξύνουσι τὴν κλητικήν. οἷον, ὁ ἀγαμέμνων, τοῦ ἀγαμέμνονος, ὦ ἀγάμεμνον. ὁ ἀπόλλων, τοῦ ἀπόλλωνος, ὦ ἄπολλον. καὶ ἡ κακοδαίμων, κακοδαίμονος, ὦ κακόδαιμον. καὶ οἱ αἰολεῖς δὲ ὁμοίως ὡς γέγραπται ἐν τῷ αἰολικῷ ἰδιώματι, συστέλλουσι τὸ ω μέγα ἐν ταῖς κλητικαῖς. οἷον, ἀηδὼν, ὦ ἀηδόν. ἡ χελιδὼν, ὦ χελιδόν.

Περὶ τῶν εἰς ξ καὶ ψ ληγόντων ὀνομάτων.
Τμῆμα τρίτον.

Τὰ εἰς ξ καὶ ψ λήγοντα ὀνόματα, φυλάττουσιν ἐν ταῖς πλαγίαις τὸ τῆς ὀνομαστικῆς φωνῆεν, οἷον, ὁ νάρθηξ, τοῦ νάρθηκος. ὁ σκώληξ, τοῦ σκώληκος. ὁ κύκλωψ, τοῦ κύκλωπος. πλὴν τινῶν, ἃ ἐν τοῖς ἰδίοις τόποις σημειωσόμεθα. Πᾶν δὲ ὄνομα εἰς διπλοῦν λῆγον, ἐν ταῖς πλαγίαις ἢ δασὺ ἔχει, ἢ ψιλὸν, ἢ μέσον. καὶ τὰ μὲν εἰς ξ λήγοντα, ἔχουσι τὰ τῆς δευτέρας συζυγίας σύμφωνα γ κ χ. τὰ δὲ εἰς ψ, τὰ τῆς πρώτης ἐστὶν, β π φ. ἀλλὰ καὶ περὶ τούτων ποικίλων εἰδικῶς λεκτέον. καὶ πρῶτον περὶ τῶν εἰς αξ.

Περὶ τῶν εἰς αξ. κατάληξις πεντεκαιδεκάτη.

Τὰ εἰς αξ ἁπλᾶ πολυσύλλαβα, τὸ κ ἔχουσιν ἐν ταῖς πλαγίαις. οἷον, θώραξ, θώρακος. φαίαξ, φαίακος. κόραξ, κόρακος. φύλαξ, φύλακος. ἄναξ, ἄνακος. καὶ πλεονασμῷ τοῦ τ, ἄνακτος. ἐξαιροῦνται τὰ ἀπὸ τοῦ ζω παραγόμενα, ἅτινα τὸ γ ἔχουσιν. οἷον, ἅρπαξ, ἅρπαγος, ἀπὸ τοῦ ἁρπάζω. κέκραξ, κέκραγος, ἀπὸ τοῦ κράζω. ἀπόσφαξ, ἀποσφάγος, καὶ ἀπὸ τοῦ σφάζω. τούτοις ὁμοίως καὶ ἄτραξ, ἄτραγος, λάλαξ, λάλαγος. Τὰ ἀπὸ τῶν εἰς αξ σύνθετα,

vocatiuum, vt tryphon tryphonis. o tryphon. leo onis o leo. notabis tamen ꝙ quædam superbisyllaborum cōpositorum in on propenacutum faciunt nominatiuum, vt Agamemnon, agamemnonis o agamemnon. Apollo apollinis o apollo. hic & hæc infelix infelicis o infelix. & æoles vero similiter, vt scriptum est in æolica lingua corripiunt o magnum in vocatiuis, vt hæc luscinia o luscinia. hæc hirundo o hirundo.

De in xi & psi desinentibus nominibus, sectio tertia.

In xi & psi desinentia nomina seruant in obliquis nominatiui vocalem, vt hæc ferula huius ferulę. hic vermis huius vermis. hic cyclops huius cyclopis. præter quædam, quæ in suis locis notabimus. omne uero nomen in duplicem desinēs, in obliquis vel densam habet, vel tenuē, vel mediā, & ea, q̃ in xi desinunt, habent secundæ coniugationis consonantes g c ch. Sed quæ in psi, primæ. b p ph. Sed & de his varijs existentibus, specialiter dicendum est, & primum de in ax.

De in ax terminatio decimaquinta.

In ax simplicia multisyllaba c habent in obliquis, vt thorax thoracis. corcyræus ræi. coruus. ut. custos custodis. rex regis. & abundantia t regis. excipiuntur ea, quæ a zo deducuntur, quę g habent, vt rapax rapacis, a rapio. vocator. oris. a voco. iugulator iugulatoris a iugulo, his similiter & atrax atracis & loquax loquacis. Ab in ax composita

τὴν τῶν ἁπλῶν φυλάττουσι κλίσιν. οἷον, λινοθώραξ, λινοθώρακος. φιλοκέρπαξ, φιλοκέρπαγος. Δεῖ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι τὰ εἰς αξ δισύλλαβα ἀρσενικά, τὰ μὲν μακρᾷ παραληγόμενα, ἐκτεταμένον τὸ α ἔχουσιν. οἷον, θώραξ. φαίαξ. οἴαξ. ἴλαξ. πλούταξ. ὅθεν καὶ βαρύνεται. ἐξαιρεῖται ὕλαξ, κύαξ, σύαξ. θέσει δὲ μακρᾷ παραληγόμενα, συνεσταλμένον αὐτὸ ἔχουσιν. οἷον, ἄρπαξ. κέκραξ. ὁ νέαξ δὲ, καὶ φέναξ, καὶ κόρδαξ, ἐκτεταμένον τὸ α ἔχουσιν. ὁ κάβαξ δὲ, καὶ μακρὸν, καὶ βραχύ. Τὰ δὲ ὑπερδισύλλαβα, καὶ βραχείας οὔσης τῆς παραληγούσης, ἐκτείνουσι τὸ α. οἷον, ἱέραξ. οἰκοφύλαξ. πλὴν εἰ μὴ σύνθετα εἶεν, ἀπὸ ἁπλοῦ τὸ α συστέλλοντος. οἷον, ἱππώναξ. ἀρχιάναξ. ἐξαιρεῖται ἀσφάλαξ συνεσταλμένον ἔχον τὸ α, διότι σφάλαξ ἦν δισύλλαβον. Τὰ ἀπὸ ἁπλῶν ἐκτεινόντων τὸ α γινόμενα, φυλάττουσι τὸ α μακρόν. οἷον, λινοθώραξ. φιλοφαίαξ. Ὁ θώραξ. τοῦ θώρακος. τῷ θώρακι. τὸν θώρακα. ὦ θώραξ. καὶ τὰ γὰρ εἰς αξ, τὴν αὐτὴν ἔχουσιν ὀνομαστικὴν καὶ κλητικήν, εἰ μὴ ἀποβολὴ τοῦ ξ γένοιτο διὰ τὸ μέτρον. ὥσπερ ὦ ἄνα πολλάκις παρὰ ποιηταῖς, ἀντὶ ὦ ἄναξ. ὅθεν καὶ ὁ ποιητὴς ἐν τῷ π τῆς ἰλιάδος, Ζεῦ ἄνα δωδωναῖε πελασγικέ. καὶ ὁ μέγας Ὀρφεὺς ἐν ὕμνῳ ἡλίου, κλῦθι φάους ταμία ζωαρκέος ὦ ἄνα πηγῆς, ἀντὶ ὦ ἄναξ. ὁ αὐτὸς ἀρχόμενος τῶν ἀργοναυτικῶν Ὦναξ πυθῶνας μεδέων, ἀντὶ ὦ ἄναξ εἴρηκε.

Περὶ τῶν εἰς ηξ, κατάληξις ἑκκαιδεκάτη.

Τὰ εἰς ηξ ἁπλᾶ, πολυσύλλαβα, τὸ κ ἐν ταῖς πλαγίαις ἔχουσιν. οἷον, μύρμηξ, μύρμηκος. νάρθηξ, νάρθηκος. σκώληξ, σκώληκος. ὁ καὶ ἡ βήξ, βηχός, μονοσύλλαβον γάρ. Τὰ δὲ εἰς ηξ σύνθετα, κοινά, ὀξύτονα, φυλάττοντα συλλαβὴν τοῦ ἰδίου ῥήματος, τὸ γ ἔχουσιν. οἷον, οἰστροπλήξ, οἰστροπλῆγος, παραπλήξ, παραπλῆγος, ἀπὸ τοῦ πλήξω. Ὁ μύρμηξ. τοῦ μύρμηκος. τῷ μύρμηκι. τὸν μύρμηκα. ὦ μύρμηξ.

simplicium seruant declinatum vt linothorax acis. amicirapax amicirapacis. Oportet quidem & hoc scire quod in ax bisyllaba masculina natura quidem longa penultimantia productum a habent, vt thorax, phæax. temo. iax. plutax. unde & grauantur. excipitur hylax cyax syax. positione vero longa penultimantia, correptum ipsum habent, vt rapax vociferator. neax autem & deceptor & cordax productum a habent. sed cauax & longum & breue. superbisyllaba vero, & breui ente penultima producunt a vt accipiter. domicustos nisi composita sint a simplici a corripiente, vt hypponax. archinax. excipitur asphalax correptum habens a sphalax, quia erat bisyllabum. a simplicibus producentibus a facta. seruant longum, vt linothorax, philophæax, hic thorax huius thoracis huic raci hunc toracem. o thorax. nam in ax eundem habent nominatiuum & vocatiuum, nisi abiectio x fiat propter metrum sicut o rex sæpe apud poetas pro o rex vnde & poeta in decimosexto Iliadis Iuppiter rex dodonææ græce, magnus orpheus in laude solis audi lucis gubernator vitæ sufficiens o rex fontis pro o rex Idem incipiens argonautica o rex pythoni imperans pro o rex dixit.

De in ix Terminatio decimasexta.

In ix simplicia plurisyllaba c in obliquis habentibus vt formica formicæ. ferula ferulæ. vermis vermis. hic & hæc tussis tussis. solisyllabum. n. In ix vero composita communia acutisona seruantia syllabam proprii verbi. g. habent. vt vermis vermis. vultus. stulti. a percutio, hæc formica huius formicæ. huic formicæ. hanc eam o formica.

Περὶ τῶν εἰς ιξ, κατάληξις ἑπτακαιδεκάτη.

Τὰ εἰς ιξ ἁπλᾶ, ὑπὲρ μίαν συλλαβὴν, τὸ κ ἐν ταῖς πλαγίαις ἔχουσιν. οἷον, πέρδιξ, πέρδικος. φοῖνιξ, φοίνικος. καὶ τὰ ἀπ' αὐτῶν σύνθετα ὁμοίως. οἷον, λιθοφοῖνιξ. ἐξαιρεῖται ὁ τέττιξ, τοῦ τέττιγος, καὶ ὁ καὶ ἡ ὄρνιξ, ὄρνιχος δωρικῶς, τὰ δὲ κοινὰ ἀπὸ θηλυκῶν γινόμενα, τὴν τῶν ἁπλῶν ἐφύλαξαν κλίσιν. οἷον, ὁ καὶ ἡ καλλίθριξ, ἔτι καλλίτριχος, ὅτι θρὶξ τριχός. ὁμόσιξ, ὁμόσιχος, τοῦ ἐξ σὶξ σιχός. περὶ δὲ τῆς ποσότητος διαφορά τις φαίνεται παρὰ τοῖς μεταγενεστέροις. οἱ μὲν γὰρ αὐτὸ μακρὸν, οἱ δὲ, βραχὺ ἐνόμισαν. οἱ δὲ παλαιότεροι μιμηταὶ Ἀπολλωνίου ἐκείνου, καὶ Ἡρωδιανοῦ, τοιαύτης ἐγένοντο δόξης, ὅτι τὸ πέρδιξ, καὶ τέττιξ, καὶ χοῖνιξ, καὶ φοῖνιξ, καὶ ὅσα μακρᾷ παραλήγει, ἐν μὲν τῇ ὀνομαστικῇ φύσει βραχὺ τὸ ι ἔχουσιν. ἐν δὲ ταῖς ἄλλαις πτώσεσι, φύσει μακρόν. ὤφειλον δὴ κατὰ τὸν κανόνα καὶ ἐν τῇ ὀνομαστικῇ φύσει ἐκτείνειν τὸ ι. τὰ γὰρ εἰς ιξ καὶ εἰς υξ ἁπλᾶ, φύσει ἢ θέσει μακρᾷ παραληγόμενα, μακροκαταληκτοῦσιν. ἀλλ' ἐπειδὴ τὸ ο καὶ υ πρὸ τοῦ ξ οὐδέποτε εἰσὶ φύσει μακρά, οἷον, πνίξω, ψύξω, διὰ τοῦτο τῇ ἐπιφορᾷ τοῦ ξ φύσει συστέλλονται. ὅθεν καὶ ἡ δοτικὴ πληθυντικὴ αὐτῶν τοῖς φοίνιξιν ἑπομένου τοῦ ξ, θέσει οὐ φύσει τὸ δίχρονον μακρὸν ἔχει. τῷ αὐτῷ λόγῳ καὶ ἰξῷ θέσει μακρόν. τὸ δὲ ἰξόν, φύσει, τῷ λόγῳ τῆς ἀρχούσης τῶν παρακειμένων. σημειοῦται δὲ τὰ εἰς λιξ πανταχοῦ τὸ ι συνεσταλμένον ἔχοντα. οἷον, ἧλιξ, ἥλικος. ὁμῆλιξ, ὁμήλικος.

Ὁ πέρδιξ. τοῦ πέρδικος. τῷ πέρδικι. τὸν πέρδικα. ὦ πέρδιξ.

Περὶ τῶν εἰς υξ, κατάληξις ὀκτωκαιδεκάτη.

Τὰ εἰς υξ ἀρσενικὰ, ἁπλᾶ, δισύλλαβα, φύσει μακρᾷ παραληγόμενα, τὸ κ ἔχουσιν ἐν ταῖς πλαγίαις. οἷον, κῆρυξ, κήρυκος. δοῖδυξ, δοίδυκος. αἶθυξ, αἴθυκος. θρᾶνυξ, θράνυκος. Ἔτι τὰ θέσει μακρᾷ παραληγόμενα, ἔχοντα ἐν τῇ τελευταίᾳ συλλαβῇ β, ἢ γ, ἢ δ, ἢ π

De in ix Terminatio. xvii.

In ix simplicia supra vnam syllabam c in obliquis habent, vt perdix dicis. phœnix phœnicis, & ab ipsis composita similiter vt libophœnix. excipitur cicada cicadæ & hic & auis auis dorice. Communia autem quę a fœminiuis fiunt simplicium seruauerunt inflexionem vt hic & hæc pulchricomus mi, capillus lli, æquacies ciei, quia trecenturia riæ. Sed de quantitate ix differentia quædam est apud posteriores. aliqui quidem ipsum, longũ, aliqui vero breue putarũt. antiquiores aũt imitatores Apollonii illius, & Herodiani, huiusmodi fuerunt opinione, quod perdix, & cicada & semodium, & phœnix, & quæcũq; lõga penultimãt in nominatiuo quidem breue i habent, sed in aliis casibus natura longum. debebant. n. per regulam & in nominatiuo producere i. Nã in ix & in yx simplicia natura vel positione longa penultimantia in longam desinũt, Sed quoniam i. & y ante x nunquam sunt natura lõga vt suffocabo frigefaciam, propterea illatione x natura corripiuntur. vnde & datiuus pluralis ipsorum phœnicibus sequẽte x positione non natura bitẽporeũ longum habet. eadẽ ratione & aucupor positione lõgũ, sed aucupabar natura, ratione incipientis pręteritorũ. Notantur autem in lix vbique i correptum habentia, vt coętaneus nei. coætaneus. coætanei hic perdix huius cis. huic perdici. hunc perdicẽ. o pdix.

De in yx Terminatio xviii.

In yx masculina simplicia bisyllaba natura longa penultimantia c. habent in obliquis, vt præco præconis. coclear coclearis. æthyx. æthycis. thranyx cis. Etiam positione longa penultimantia in vltima syllaba b. vel g vel d uel pr.

οἷον, βόμβυξ, βόμβυκος. καὶ τὰ παραληγόμενα τῷ ε. οἷον, ἔρυξ, ἔρυκος. Καὶ τὰ ἔχοντα ἐν τῇ παραληγούσῃ α χωρὶς γ πρὸ τοῦ ξ οἷον, ἄδρυξ. ἄδρυκος. γόννυξ, γόννυκος. Τὰ δὲ ἔχοντα γ, διὰ τοῦ γ κλίνονται. οἷον, φάρυγξ, φάρυγγος. λάρυγξ, λάρυγγος. Τὰ δὲ μὴ οὕτως ἔχοντα, ὡς ἐπὶ τὸ πλεῖστον τὸ γ ἔχουσιν. οἷον, ὄρτυξ, ὄρτυγος. Ἔτι τὰ εἰς υξ ὑπερδισύλλαβα, παραληγόμενα τῷ α, τὸ γ ἔχουσιν. οἷον, ταρβάρυξ, ταρβάρυγος. Ἔτι τὰ παραληγόμενα τῷ ο μὴ ἐπιφερομένου ν, ἢ β. οἷον, κόκκυξ, κόκκυγος. μόρτυξ, μόρτυγος. ὄρτυξ ὄρτυγος, καὶ ὄρτυκος κατὰ Φιλήμονα. Ἔτι τὰ παρὰ τὸ φάγω, καὶ ζάγω ζάξω. οἷον, πρόφυξ, πρόφυγος. ὁμόζυξ, ὁμόζυγος. Τὰ δὲ ἔχοντα ν τὸ χ ἔχουσιν ἐν ταῖς πλαγίαις. οἷον, ὄνυξ, ὄνυχος. σόνυξ. σόνυχος. ὅθεν καὶ τὰ παρὰ τὸ ὄνυξ καὶ νὺξ γινόμενα, τὸ χ ἔχουσιν. οἷον, μονώνυξ, μονώνυχος. διώνυξ, διώνυχος. μεσώνυξ, μεσώνυχος. οἷον, ἀκρώνυξ, ἀκρώνυχος. Ἔτι τὰ παρὰ τὸ ὀρύσσω. οἷον ἡ διώρυξ, τῆς διώρυχος. Τὰ εἰς υξ σύνθετα τὴν τῶν ἁπλῶν φυλάττουσι κλίσιν. οἷον τανυπτέρυξ. τανυπτέρυγος. Δεῖ δὲ εἰδέναι ὅτι τὰ εἰς υξ ἁπλᾶ μακρᾷ φύσει ἢ θέσει παραληγόμενα, κατὰ τοὺς ἀκριβεστέρους ἐν τῇ ὀνομαστικῇ μόνῃ τὸ υ φύσει συστέλλουσιν. ἐν δὲ ταῖς ἄλλαις πτώσεσι, φύσει ἐκτείνουσι. Τὰ δὲ σύνθετα καὶ τὰ παραληγόμενα βραχείᾳ, πανταχοῦ συστέλλουσι τὸ υ. οἷον, σύζυξ, σύζυγος. πρόφυξ, πρόφυγος. ὄνυξ, ὄνυχος. ἔρυξ, ἔρυκος, εἰ μὴ ἔκτασις γένοιτο παρὰ ποιηταῖς, ὥσπερ καὶ συστολὴ τῶν φύσει μακρῶν, ὡς παρὰ τῷ ποιητῇ, Κήρυκι ἠπυτίδῃ. τὸ γὰρ ρυ φύσει μακρὸν, συνέστειλε. καὶ τοῦ βέβρυκος τὸ βρυ, ποτὲ μὲν ὡς ἔχει, μακρὸν φυλάττει. οἷον, Βεβρύκων βασιλῆος ἀγήνορος. ποτὲ δὲ, συστέλλει. οἷον, Οὐδ' ἄρα βέβρυκες ἄνδρες ἀκήδησαν βασιλῆος. Ὁ κῆρυξ. τοῦ κήρυκος. τῷ κήρυκι. τὸν κήρυκα. ὦ κῆρυξ.

Περὶ τῶν εἰς ωξ, κατάληξις ἐννεακαιδεκάτη.

Τὰ εἰς ωξ ἁπλᾶ τὸ κ ἔχουσιν ἐν ταῖς ἄλλαις πτώσεσιν. οἷον, πτὼξ, πτωκός. βὼξ, βωκός. πλὴν τοῦ ῥὼξ, ῥαγός.

vt bombyx cis. & penultimantia e, vt eryx erycis, & habentia in penultima a præter g ante x vt andryx cis. gænyx cis. habentia autem g per g declinantur vt guttur ris. faux cis. Sed non sic habentia vt plurimum g habent, vt coturnix cis. Item in yx superbisyllaba penultimantia a. g habent vt tarbaryx cis. Etiam penultimantia o non illato. n, vel b vt cuculus cuculi. mortyx gis. coturnix nicis. e coturnicis apud Philemonem. Item quæ a fugio & iugo iugabo. vt profugus gi coniux gis. Sed habentia. n, ch habent in obliquis. vt vnguis vngui. stonyx stonychis. vnde & quæ ab vnguis & nox fiunt ch habent. vt solunguis solunguis. biungius guis. mediunguis guis. summunguis summunguis. Item quæ a fodio vt hæc rima. huius rimę. In yx composita simpliciũ seruant declinationem, vt alatensus alatensi. Oportet autem scire quod in. yx simplicia lõga natura vel positione penultimantia secundum diligẽtiores in nominatiuo solo y natura corripiunt, In aliis autem casibus natura producunt. Composita autem, & penultimantia breui vbiq; corripiunt y, vt coniux gis. profugus profugi. vnguis vnguis. eryx erycis, nisi productio fiat apud poetas, sicut & correptio natura longorum, vt apud poetam præconi cancro. nam ry natura longũ correptũ est, & huius bebrycis, bry interdum quidem vt habet longũ seruat, vt bebrycum regis strenui, interdũ vero corripit, vt. Neq; igitur bebryces viri neglexerunt regem. hic præco. huius præconis. huic oni. hũc nemo præco.

De in ox Terminatio decimanona.

In ox simplicia cappa habent in aliis casibus vt lepus. leporis piscis marinus. præter acinus acini.

Επὶ τὰ σύνθετα ἀπὸ τοῦ πτὼξ, καὶ διώκω, τὸ κ ἔχουσιν. οἷον, πολύπτωξ, πολύπτωκος. θηροδίωξ, θηροδίωκος. αἰγοδίωξ, αἰγοδίωκος. κυαμοτρὼξ, δὲ κυαμοτρώγο. ἀπὸ τοῦ τρώγω γάρ. Ὁ πτὼξ. τοῦ πτωκός. τῷ πτωκί. τὸν πτῶκα. ὦ πτώξ.

Περὶ τῶν εἰς αρ, κατάληξις εἰκοστή.

Τὰ εἰς αρ πάντα προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικὴν. καὶ εἰ μὲν ὦσι μονοσύλλαβα, μακρὸν ἔχουσι τὸ α. οἷον, κάρ, καρός. πάρ, παρός. ψάρ, ψαρός. τοῦτο δὲ ὁ ποιητὴς ποτὲ μὲν, διὰ τοῦ α προφέρει. οἷον, Ψαρῶν νέφος ἔρχεται. ποτὲ δὲ διὰ τοῦ η. οἷον, Κολοιούς τε, ψῆράς τε, καὶ ὁ ψάρος. τοῦ ψάρου. εἰ δὲ ὦσιν ὑπὲρ μίαν συλλαβὴν βραχὺ τὸ α ἔχουσιν. οἷον, μάκαρ. μάκαρος. ὄναρ, ὄναρος. καῖσαρ, καίσαρος, λατινικόν. Ὁ μάκαρ. τοῦ μάκαρος. τῷ μάκαρι. τὸν μάκαρα. ὦ μάκαρ.

Περὶ τῶν εἰς ηρ, κατάληξις εἰκοστὴ πρώτη.

Τὰ εἰς ηρ μονοσύλλαβα προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικὴν καὶ φυλάττουσι τὸ η ἐν ταῖς ἄλλαις πτώσεσιν. οἷον, θὴρ, θηρός. φὴρ, φηρός. σὴρ, σηρός. τούτοις ὁμοίως καὶ ἡ κὴρ, τῆς κηρός. Τὰ δὲ πολυσύλλαβα ὀξύτονα, εἰ μὲν ἔχωσι τὸ τ πρὸ τοῦ ηρ, φυλάττουσι τὸ η πανταχοῦ. οἷον, λουτὴρ, λουτῆρος. σωτὴρ, καὶ σωτῆρος. ὀλετὴρ, ὀλετῆρος. ἐξαιρεῖται ὁ ἀστὴρ, τοῦ ἀστέρος, πατὴρ, πατέρος, καὶ πατρός. εἰ δὲ μὴ ἔχωσι τὸ τ, τρέπουσι τὸ η τῆς ὀνομαστικῆς εἰς ε ἐν ταῖς ἄλλαις πτώσεσιν. οἷον, αἰθὴρ, αἰθέρος. ἀὴρ, ἀέρος. δαὴρ, δαέρος. ἀνὴρ ἀνέρος. καὶ προσθέσει τοῦ δ καὶ συγκοπῇ, ἀνδρός. ἐξαιρεῖται σπινθὴρ, σπινθῆρος, καὶ ἐλαθὴρ, ἐλαθῆρος. Επὶ τὰ εἰς ηρ βαρύτονα, εἰ μὲν μακρᾷ παραλήγῃ, τρέπουσι τὸ η εἰς ε. οἷον, πίηρ, πίερος. φράτηρ, φράτερος. εἰ δὲ βραχείᾳ, φυλάττουσι τὸ η. οἷον, ἴβηρ, ἴβηρος. ἐρίηρ, ἐρίηρος. καὶ ὁ πάνθηρ δὲ πάνθηρος τὴν τοῦ ἁπλοῦ ἐφύλαξε κλίσιν. Ιστέον δὲ ὅτι τὰ εἰς ηρ πολυσύλλαβα ἁπλᾶ, μὴ κύρια, μὴ δὲ ἐθνικὰ,

Item composita a lepore & persequor, cappa habent vt leporosus leporosi. ferisequus qui. caprisequus. qui. fabiuorus autem fabiuori. a comedo.n. hic lepus huius leporis.huic lepori.hunc. leporem.o lepus.

De in ar, Terminatio vigesima.

In ar omnia appositione os faciunt genitiuum & si fuerint monosyllaba longum habentia,vt car caris. par paris. sturnus sturni. hoc autem poeta interdum per a profert. vt sturnorum nubes uadit,interdũ autem per in,vt graculo's que,sturno'sq;, & hic sturnus huius sturni,sed si sint supra vnam syllabã breue a habent, vt beatus beati. somnium somnii. cæsar cæsaris latinum. hic beatus huius beati. huic beato.hunc beatum.o beate.

De in ir Terminatio vigesima prima.

In ir solisyllaba appositione os faciunt genitiuum, & seruant i in obliquis casibus, vt fera feræ, fera feræ, fer feris. his similiter & pestis pestis, sed plurisyllaba acutisona si habent t ante ir seruant i vbiq;, vt peluis. uis. saluator saluatoris. perditor oris. excipitur stella stellæ, & pater patris, & patris. Sed si non habent t vertunt i nominatiui in e in obliquis casibus, vt ęther ętheris. aer aeris. leuir uiri. uir uiri, & appositione d, & concisione uiri. Excipitur scintilia. llæ & liberator toris. etiam in ir grauisona, si longa penultiment, vertunt i in e, vt Pier pieris. tribulis lis, sed si breui, seruant ita, vt iber iberis. accommodatus dati. & panthera ræ, simplicis seruauit declinationem, sciendũ autem quod in ir plurisyllaba simplicia non propria neq; gentilia

ὀξύνονται. οἷον, ἀήρ. αἰθήρ. τὰ δὲ ἐθνικὰ καὶ κύρια προσηγορικοῖς συνεμπίπτοντα, βαρύνονται. οἷον, ἴβηρ. ἀσίχηρ. δεῖ δὲ καὶ τοῦτο εἰδέναι ὅτι τὰ εἰς ηρ λήγοντα ὀνόματα, τὰς αὐτὰς ἔχουσιν ὀνομαστικὰς καὶ κλητικάς. οἷον, ὁ ἴβηρ. ὦ ἴβηρ πλὴν τῶν ἐν τοῖς ἀρσενικοῖς. οἷον, ὁ πατήρ. ὦ πάτερ. ὁ σωτήρ, ὦ σῶτερ. ὁ ἀνήρ, ὦ ἄνερ. ὁ δαήρ, ὦ δᾶερ. Ὁ ἀνὴρ τοῦ ἀνέρος, καὶ ἀνδρός. τῷ ἀνέρι, καὶ ἀνδρί. τὸν ἀνέρα, καὶ ἄνδρα. ὦ ἄνερ. Τὼ ἀνέρε, καὶ ἄνδρε. τοῖν ἀνέροιν, καὶ ἀνδροῖν. ὦ ἀνέρε, καὶ ἄνδρε. Οἱ ἀνέρες, καὶ ἄνδρες. τῶν ἀνέρων, καὶ ἀνδρῶν. τοῖς ἀνδράσι μόνως, ἀπὸ τῆς δοτικῆς ἑνικῆς, τροπῇ τοῦ ι εἰς α, καὶ προσθέσει δ καὶ σ. ὁμοίως καὶ πατράσι. τοὺς ἀνέρας, καὶ ἄνδρας. ὦ ἀνέρες, καὶ ἄνδρες. Ὁ πατήρ. τοῦ πατέρος, καὶ πατρός. τῷ πατέρι, καὶ πατρί. τὸν πατέρα. ὦ πάτερ. Τὼ πατέρε. τοῖν πατέροιν. ὦ πατέρε. Οἱ πατέρες. τῶν πατέρων. τοῖς πατράσι. τοὺς πατέρας. ὦ πατέρες.

Ὁ ἀὴρ κοινῶς, καὶ ἡ ἀὴρ αἰολικῶς. ὁμοίως καὶ ὁ αἰθὴρ κοινῶς καὶ ἡ αἰθὴρ αἰολικῶς. ὅπερ πολλάκις εὑρήσεις παρὰ τοῖς ποιηταῖς.

Περὶ τῶν εἰς υρ, κατάληξις εἰκοστὴ τρίτη.

Τὰ εἰς υρ κατὰ ἀποκοπὴν ἐγένοντο. οἷον, ὁ φίθυρ, τοῦ φίθυρος, ἀπὸ τοῦ ὁ φίθυρος, τοῦ φιθύρου. ὁ μάρτυρ, τοῦ μάρτυρος, ἀπὸ τοῦ ὁ μάρτυρος, τοῦ μαρτύρου. ὅθεν καὶ ὁ μέγας Ὀρφεὺς ἐν ἀργοναυτικοῖς, Τούτου δ' ἐπιμάρτυροι ἔσαν. καὶ ὁ ποιητής, Τὼ δ' αὐτὼ μάρτυροι ἔστων. καὶ ὁ μάρτυρ τοῦ μάρτυρος παλαιόν, ὅπερ οἱ λατῖνοι ἐφύλαξαν. καὶ ὁ μάρτυς, τοῦ μάρτυος. καὶ τὸ νῦν ἄχρηστον, ὁ καὶ ἡ μάρτυς, μάρτυρος. μάρτυρι. μάρτυρα.

Περὶ τῶν εἰς ηρ, κατάληξις εἰκοστὴ τετάρτη.

Τὰ εἰς ηρ μονοσύλλαβα ὀξύτονα, προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικήν. οἷον, φθήρ, φθηρός. ἤρ, ἠρός. ὁμοίως καὶ τὰ πολυσύλλαβα βαρύτονα. οἷον, ἀντίχηρ, ἀντίχηρος. πολύχηρ. ἑκατοντάχηρ. λήχηρ. σάμφηρ. βίχηρ. τὰ δὲ Ἰουδαϊκά, ἄκλιτα.

acuuntur vt aer, æther. ſed gentilia & propria appellatiuis coincidentia grauantur, vt iber. Aſſicher. oportet autem & hoc ſcire ꝙ in ir deſinentia nomina eoſdem habent nominatiuos & vocatiuos, vt hic iber o iber. præter quæ ĩ maſculinis, vt hic pater o pater. huic ſaluator o ſaluator. hic vir o vir. hic leuir o leuir, hic vir huius viri. & viri. huic viro & viro. hunc virum & virum. o vir. hi viri. & viri. horum virorum & virorum. o viri. & viri. hi viri & viri. horum virorum & virorum his viris ſolummodo. A datiuo ſingulari mutatione e in a & appoſitione d & s ſimiliter & patrib᷒, hos viros. o viri & viri. hic pater, huius patris, & patris. huic patri & patri hunc patrem o pater. hi patres. horum patrum. o patres. hi patres. horum patrum. his patribus. hos patres o patres. hic aer cõiter, & hic aer æolice. ſimiliter & hic æther cõiter & hic ęther æolice, ꝙ ſæpe iuenies apud poetas.

De in yr Terminatio vigeſimatertia.

In yr per abſciſionem facta ſunt, vt hic fuſurro huius fuſurrionis a. ſuſurrator toris. hic teſtis huius teſtis, ab hic teſtis. huius teſtis. vnde & magnus Orpheus in argonauticis. huius autem teſtes ſint. & poeta hi ipſi teſtes ſint, & hic teſtis huius teſtis vetuſtum, quod latini ſeruauerunt. & hic teſtis huius teſtis, & quod nunc in vſu, hic & hæc teſtis. teſtis. teſti. teſtem.

De in ir Terminatio xxiiii.

In ir ſchiſyllaba acutiſona appoſitione os faciunt genitiuũ, vt pediculus pediculi. procella llę ſimiliter & pluriſyllaba grauiſona vt pollex licis. multimanus. centimanus. lichir. ſamphir. bechir. ſed neutra indeclinabilia.

Περὶ τῶν εἰς ωρ, κατάληξις εἰκοστὴ πέμπτη.

Τὰ εἰς ωρ ὀξύτονα προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικὴν, καὶ φυλάττουσι τὸ ω μέγα πανταχοῦ. οἷον, φὼρ, φωρός. ἰχὼρ, ἰχῶρος. Ἐπὶ τὰ βαρύτονα εἰ μὲν ἔχουσι πρὸ τοῦ ω λ. φυλάττουσι τὸ ω μέγα. οἷον, κέλωρ, κέλωρος. πέλωρ, πέλωρος. εἰ δὲ οὐκ ἔχουσι, τρέπουσι τὸ ω μέγα εἰς ο μικρόν. οἷον, νέστωρ, νέστορος. ἕκτωρ, ἕκτορος. μέντωρ, μέντορος. μνήστωρ μνήστορος, κύριον. μνήστωρ δὲ μνήστωρος, ἐπίθετον. ὅθεν καὶ ὁ ποιητὴς, μνήστωρος φόβοιο. εὕρηνται δὲ καὶ ἄλλα παρὰ ποιηταῖς ἐκτάσει ἔχοντα ω μέγα, ὡς τοὐναντίον συστολῇ τρέποντα, οἷς οὐ δεῖ χρῆσθαι ἐν τῷ πεζῷ λόγῳ. Τὰ δὲ ῥωμαϊκὰ φυλάττουσι τὸ ω μέγα. κοϊέστωρος. πραίτωρος, μανδάτωρος. δικτάτωρος. Ἰστέον δὲ ὅτι τὰ εἰς ἀμετάβολον λήγοντα, φυλάττουσι τὸ ἀμετάβολον ἐν ταῖς πλαγίαις. οἷον, νέστωρ, νέστορος. δίων, δίωνος. ταῦτά τοι καὶ ἀμετάβολα προσηγόρευται. οὔτε γὰρ ἐν ταῖς πλαγίαις μεταβάλλονται, οὔτε ἐν τοῖς μέλλουσι τῶν ῥημάτων. Ὁ νέστωρ. τοῦ νέστορος. τῷ νέστορι. τὸν νέστορα. ὦ νέστορ. Περὶ τῶν εἰς ψ πάντων, κατάληξις κϛ. Τὰ εἰς ψ πολυσύλλαβα ἢ β, ἢ π, ἢ φ ἔχουσιν ἐν ταῖς πλαγίαις. καθόλου δὲ εἰπεῖν, πάντα τὰ εἰς ψ, διὰ τοῦ π κλίνονται, εἴτε μονοσύλλαβα εἶεν, εἴτε πολυσύλλαβα, εἴτε ἁπλᾶ, εἴτε σύνθετα. οἷον, ὢψ, ὠπός. θὼψ, θωπός. κύκλωψ, κύκλωπος. ἀρύωψ, ἀρύωπος. ἐξαιρεῖται τέσσαρα μονοσύλλαβα διὰ τοῦ β κλινόμενα. οἷον, φλὲψ, φλεβός. φὰψ, φαβός. νὶψ, νιβός. λὶψ, λιβός. καὶ τέσσαρα πολυσύλλαβα. οἷον, ἄραψ, ἄραβος. χάλυψ, χάλυβος. χέρνιψ, χέρνιβος. θάρυψ, θάρυβος. καὶ τρία διὰ τοῦ φ κλινόμενα. οἷον, κνίψ, κνιφός. κατῆλιψ, κατήλιφος. σκίραψ, σκίραφος. Τὰ δὲ σύνθετα ἀπὸ τοῦ τρίβω, διὰ τοῦ β κλίνονται. οἷον, παιδότριψ, παιδότριβος. οἰκότριψ, οἰκότριβος, ἀπὸ τοῦ τρίβω. Ἰστέον δὲ ὅτι τὰ εἰς οψ πολυσύλλαβα διὰ τοῦ ο μικροῦ γράφονται. οἷον, αἴθιοψ.

In or acutisona positione os faciunt genitiuum, & seruant u magnum vbique, vt fur furis. marcidus. di. Etiam grauisona si habent ante o, l. seruant o magnum, vt celor celoris. magnum gni, sed si non habent, vertunt o magnum in o paruum, vt nestor nestoris, hector oris, mentor mentoris, mnestor mnestoris proprium. procus etiam proci adiectiuum. vnde & poeta proci Phoebi. inuenta sunt & alia apud poetas productione habentia o magnū, vt p contrariū correptiōe venientia, q bus non oportet vti in pedestri oratione, si romana seruant o magnū vt quaestoris. praetoris mandatoris. dictatoris. Sed sciendum est quod in immutabilem desinentia seruant immutabilem in obliquis, vt nestor oris. dion. onis. Ideo & immutabilis appellata est. nam neque in obliquis permutantur, neque in futuris verborum. hic nestor huius nestoris huic nestori. hunc nestorem o nestor. De in psi omnibus. Terminatio. xxvi. In psi plurisyllaba vel b vel p vel ph. habent in obliquis, vt in vniuersum aūt dicā, omnia in psi per p flectunt, siue solisyllaba sint, plurisyllaba, siue simplicia siue composita, vt oculus oculi adulator oris cyclops. pis. latificies ei. excipiuntur quatuor solisyllaba quae per b declinantur. vt vena venae. phaps phabis. nips nib s. auster custri. & quatuor plurisyllaba, vt arabs arabis. chalybs lybis. sebiuum biui. tharyps bis. & tria per ph declinata, vt cinyps cinyphis. catilyps phis. seraps seraphis. sed composita a tero per g flectuntur, vt paedotribae. sereus serui, a tero. Sciendum est quod in ops. multisyllaba per o paruum scribuntur, vt aethiops.

μέροψ. κέκροψ. οἴνοψ. πέλοψ. πλὴν τοῦ ὕδρωψ. κύκλωψ. μώλωψ. ὤνωψ. νυκτάλωψ. κέρκωψ. σκόλωψ. μύωψ. κάνωψ. καὶ ὅσα παράγονται ἀπὸ τοῦ ὢψ ὠπὸς, ὁ ὀφθαλμὸς, διὰ τοῦ ω μεγάλου γράφονται οἷον, ἑλίκωψ, ἑλίκωπος. ὥσπερ τοὐναντίον ἀπὸ τοῦ ὂψ ὀπὸς, ἡ φωνή. οἷον, μέροψ, μέροπος.

Περὶ τῶν καταλήξεων τῶν θηλυκῶν ὀνομάτων. Τμῆμα τέταρτον.

Περὶ μὲν καταλήξεων τῶν ἀρσενικῶν ὀνομάτων, ὡς οἷόν τε ἦν ἡμῖν, ἐπιμελῶς καὶ συντόμως κατὰ παλαιοὺς εἴρηται. νῦν δὲ τὸν αὐτὸν τρόπον καὶ περὶ τῶν θηλυκῶν ῥηθήσεται. περὶ τούτων δὲ εἰδέναι δεῖ ὅτι τελικὰ τῶν θηλυκῶν ὀνομάτων εἰσὶν ὀκτώ. α η ω ν ξ ρ σ ψ περὶ ὧν ῥητέον. καὶ πρῶτον περὶ τῶν εἰς α καὶ η. Περὶ τῶν εἰς α καὶ η κλίσεως.

Τὰ εἰς α καὶ η θηλυκὰ ἰσοσύλλαβα, τῆς δευτέρας κλίσεώς εἰσιν. ὧν ὁ σχηματισμὸς ἐν αὐτῇ εἴρηται. Τὰ εἰς ω κατὰ συνῃρημένα ὄντα. εἰς ους ποιοῦσι τὴν γενικὴν κατὰ κρᾶσιν. περὶ ὧν ἐν τῇ τετάρτῃ τῶν συνῃρημένων λεχθήσεται. νῦν δὲ περὶ τῶν περιττοσυλλάβων λέγωμεν. Εἰς αν θηλυκὸν οὐκ ἔχομεν. τὸ γὰρ ἀνὰν ἀνᾶνος, ἀρσενικὸν οἱ πλείους ἐνόμισαν. εἰ δὲ καὶ ὑποθώμεθα θηλυκὰ εἶναι, προσθέσει τοῦ ος τὴν γενικὴν ποιήσουσιν, ὥσπερ καὶ τὰ ἀρσενικά. Ἔτι εἰς εν οὔτε ἀρσενικὸν οὔτε, θηλυκὸν ἔχομεν. οὐδέτερον δέ, οἷον, τὸ χαρίεν.

Περὶ τῶν περιττοσυλλάβων εἰς ην, κατάληξις α.

Τὰ εἰς ην θηλυκὰ προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικὴν, καὶ φυλάττουσι τὸ η ἐν ταῖς πλαγίαις. οἷον, τροιζὴν, τροιζῆνος σειρὴν, σειρῆνος. ἐξαιρεῖται ἡ φρὴν, τῆς φρενὸς, διότι μονοσύλλαβόν ἐστιν. εὑρίσκεται δὲ καὶ γλὴν ἄκλιτον, ἀπὸ τοῦ γλήνη κατὰ ἀποκοπὴν γινόμενον.

homo. cecrops. ater. pelops. preter intercus cyclops, vibex. culex luciosus. cecrops palus tabanus. canops, & quæcumq; deducuntur ab oculus li, ideſt oculus, per o magnum ſcribuntur, vt nigroculus li. ſicut contra a vox vocis ideſt vox, vt homo, hominis.

De terminationibus fœmininorum nominum. Sectio Quarta.

De terminationibus maſculinorũ nominũ, vt poſsibile fuit nobis diligenter, & breuiter ſecundum antiquos dictum eſt. nunc autem eodem modo & de fœmininis dicetur. Ante hæc autem ſcire oportet, quod finales fœmininorum nominũ ſunt octo. α η ω ν ξ υσ ψ de quibus dicendum, & primum de in a & η De in & η.

In a & ita fœminina pariſyllaba ſecundæ flexionis ſunt quorum formatio in ea dicta eſt. In ω contracta entia in us faciunt genitiuum per mixtionem, de quibus in quarta contractorum dicetur. nunc autem de impariſyllabis dicamus. In an fœmininũ nõ habemus, nam eunan eunanis, maſculinũ plures exiſtimarũt. ſi aũt & ſupponam⁹ fœmĩa eſſe, ap poſitione os genitiuum facient, ſicut & maſculina. Item in en neq; maſculinum, neq; fœmininũ habemus, neutrũ aũt, vt hoc gratioſũ.

De impariſyllabis in in, terminatio prima.

In in fœminina appoſitione os faciunt genitiuum, & ſeruant ita in obliquis, vt troezen troezenis, ſiren ſirenis. excipitur mens mentis, quia ſolisyllabum eſt. Inuenitur autem & pupilla indeclinabile, a pupilla per abſciſionem factum.

Περὶ τῶν εἰς ιν, κατάληξις δευτέρα.

Τὰ εἰς ιν θηλυκὰ δικατάληκτα, ἁπλᾶ, ὀξύνονται, καὶ προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικήν, καὶ φυλάττουσι πανταχοῦ τὸ ι μακρόν, ὥσπερ καὶ τὰ ἀρσενικά. οἷον, σαλαμίν, σαλαμῖνος. ἀκτίν, ἀκτῖνος. ἕν, ἑνός. Εἰς ον θηλυκὰ οὐκ ἔχομεν. τὰ μὲν παρὰ τῶν κοινῶν ἐσχηματισμένα, οὐδέτερά εἰσιν. ὅθεν καὶ κατὰ τὰ οὐδέτερα αὐτοῖς κλίνονται ἑνικῶς. μόνον δὲ θηλυκὸν ἄρθρον αὐτοῖς προστίθεται. οἷον, ἡ σωφρόνιον. ἡ γλυκέριον. ἡ ἀβροτόνιον. ἡ λεόντιον. ἡ χρύσιον.

Περὶ τῶν εἰς υν, κατάληξις τρίτη.

Τὰ εἰς υν θηλυκὰ σπάνια ὄντα, προσθέσει τοῦ ος, ποιοῦσι τὴν γενικήν, ὁμοίως τοῖς ἀρσενικοῖς μακρὸν τὸ υ ἐν ταῖς πλαγίαις φυλάττοντα. οἷον, ἡ γόρτυν, τῆς γόρτυνος.

Περὶ τῶν εἰς ων, κατάληξις τετάρτη.

Τὰ εἰς ων, θηλυκὰ ἢ ὀξύνονται, ὡς τρυγών, ἀηδών, ἢ βαρύνονται, ὡς τρήρων, μήκων. οὐδέποτε δὲ περισπῶνται, πλὴν ἑνός. ἡ κτησιφῶν, τῆς κτησιφῶντος. ἔστι δὲ ὄνομα πόλεως περσίδος, φυλάξαν καὶ τὸν τόνον καὶ τὴν κλίσιν τοῦ κυρίου ὀνόματος ἀφ' οὗ προσηγέρατο.

Εἰς ων βαρύτονα.

Τὰ εἰς ων θηλυκὰ βαρύτονα προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικήν, καὶ φυλάττουσι τὸ ω μέγα ἐν ταῖς ἄλλαις πτώσεσιν. οἷον, ἡ μήκων, τῆς μήκωνος. ἡ τρήρων, τῆς τρήρωνος. Ἔτι καὶ τὰ ὀνόματα τῶν πόλεων, εἴτε ὀξύτονα εἶεν, εἴτε βαρύτονα. οἷον, ἡ πυθών. τῆς πυθῶνος. ἡ σιδών, τῆς σιδῶνος. ἡ καλυδών, τῆς καλυδῶνος. ἡ πλευρών, τῆς πλευρῶνος. ἡ κρότων, τῆς κρότωνος. ἡ ἴτων, τῆς ἴτωνος. ἐξαιρεῖται ἡ λακεδαίμων, τῆς λακεδαίμονος. ἐφύλαξε μὲν τὴν τοῦ ἁπλοῦ κλίσιν, δαίμων, δαίμονος.

In I foeminina biterminata simplicia acuunt, & appositione os faciunt genitiuum, & seruant vbiq; i longum, quemadmodum & masculina vt salamin nis. radius radii. nares narium. In on foeminina non habemus, nam apud comicos formata, neutra sunt. vnde & secundum neutra flectunt singulariter. solū āt foemininus articulus ipsis apponitur, vt hæc sophronium, hæc glycerium, hæc abrotenium. hæc leontium. hæc chrysium.

De in yn Terminatio tertia.

In yn foeminina rara entia appositione os faciūt genitiuum similiter vt masculina longum y. in obliquis seruantia, vt hæc gortyn, huius gortynis.

De in on Terminatio quarta.

In on foeminina vel acuuntur, vt turtur. luscinia, vel grauantur, vt columba. papauer. nunq̄ autem circunflectūtur præter vnū hæc ctesiphon huius ctesiphōtis. est autem nomen vrbis persice seruans & tenorem & flexum proprii nominis, a quo appellata est.

In on grauitenora.

In on foeminina grauitenora appositone os faciunt genitiuum, & seruant o magnum in aliis casibus, vt hoc papauer, huius papaueris. hæc columba huius columbę. Item & nomina vrbiū siue acutitenora sint, siue grauitenora, vt hæc python pythonis. hęc sidō hꝰ sidōis. hæc calidō, hꝰ calidōis. hęc pleurō hꝰ pleuronis. hæc croton, hꝰ crotonis. hæc iton huius itonis. excipitur hæc lacedæmon huius lacedæmonis. seruauit enim simplicis flexum, hoc est dæmon dæmonis.

Τὰ εἰς ων ὀξύτονα μὴ ὄντα ὀνόματα πόλεων, τρέπουσι τὸ ω μέγα εἰς ο μικρὸν ἐν ταῖς ἄλλαις πτώσεσιν. οἷον, ἡ τρυγὼν, τῆς τρυγόνος. ἡ χελιδὼν, τῆς χελιδόνος. ἡ ἀηδὼν, τῆς ἀηδόνος. ἡ εἰκὼν, τῆς εἰκόνος. ἡ χιὼν, τῆς χιόνος. ἡ ἀμαζὼν, τῆς ἀμαζόνος. ἐξαιρεῖται ἡ μελεδὼν, τῆς μελεδῶνος, καὶ ἡ τυφεδὼν, τῆς τυφεδῶνος κατ' ἔκτασιν. Ἔτι καὶ τὰ εἰς ων ὀνόματα πόλεων τῷ η παραλήγοντα, τρέπουσι τὸ ω μέγα εἰς ο μικρόν. οἷον, σκηδὼν, σκηδόνος. ἀπαληδὼν, ἀπαληδόνος. ἀνθηδὼν, ἀνθηδόνος. στρηδὼν, στρηδόνος. καρχηδὼν καρχηδόνος, ἡ ἐν λιβύῃ. καὶ καλχηδὼν καλχηδόνος, ἡ ἀντικρὺ τοῦ νῦν δυστυχοῦς βυζαντίου, τῆς ἐμῆς πατρίδος. ἥτις καὶ χαλκηδὼν χαλκηδόνος λέγεται. οἷς ὁμοίως καὶ ἡ ἑρμηὼν, ἑρμηόνος. εἰὼν, εἰόνος. ἠτὼν, ἠτόνος. ὀλκαιὼν, ὀλκαιόνος. καὶ οὗτος μὲν ὁ τῶν παλαιῶν κανὼν περὶ τῶν εἰς ων. ὅταν δ' ἄλλως αἱρεθῇ παρὰ ποιηταῖς, κατ' ἔκτασιν ἢ συστολὴν γίνεται.

Περὶ τῶν εἰς αξ θηλυκῶν, κατάληξις πέμπτη.

Τὰ εἰς αξ θηλυκὰ ἁπλᾶ πολυσύλλαβα, διὰ τοῦ κ κλίνονται, καὶ βραχὺ τὸ αξ ἔχουσιν. ὅθεν καὶ προπερισπῶνται ὅσα τὴν παραλήγουσαν φύσει μακρὰν ἔχουσιν. οἷον, ἡ αὖλαξ, τῆς αὔλακος. ἡ πῖδαξ, τῆς πίδακος. ἡ κλῖμαξ, τῆς κλίμακος, ἡ θρῖδαξ, τῆς θρίδακος. τούτοις ὁμοίως καὶ ἡ γλαῦξ, τῆς γλαυκός. καὶ γυναὶξ ἄχρηστον, γυναικός. ὅθεν τὸ ἑτερόκλιτον, Ἡ γυνὴ, τῆς γυναικός. τῇ γυναικί. τὴν γυναῖκα. ὦ γύναι. τὰ δὲ εὑρισκόμενα δύο κοινὰ εἰς αιξ, διὰ τοῦ γ κλίνονται. οἷον, ὁ καὶ ἡ αἶξ, αἰγός. ὁ καὶ ἡ γραῖξ, γραιγός. ὁ θρᾷξ δὲ τοῦ θρᾳκὸς τὸ παλαιὸν θραικὸς ἐποίει. ὅθεν νῦν ὁ θρᾷξ λέγωμεν, τοῦ ι, ὑπογραφομένου. καὶ ὁ δὰξ, τοῦ δακός.

In on acutitenora non entia nomina vrbiũ, mutant o magnum in o paruum in aliis casibus, ut hæc turtur huius turturis. hæc hirundo huius hirundinis. hęc philomela huius læ. hæc imago huius imaginis. hæc nix huius niuis. hæc amazon hꝰ onis. excipit̃ hæc cura huius curæ. & hæc incensio huius incensionis per productionem. Item & in don nomina vrbium ita penultimantia mutant o magnum in o paruum, vt sedon sedonis. aspledon aspledonis. anthedon anthedonis. steridon steridonis. carchedon carchedonis, quæ in Libya, & calchedon donis e regione nunc in felicis constantinopolis meę patriæ, quæ & chalcedon chalcedonis dicitur, quibus similiter & hæc hermon onis. bion. onis. litus litoris. olasson olassonis. & hæc quidem antiquorum regula de iis, quæ in on. Cum vero aliter inuentum fuerit apud poetas, per productionem, vel correptionem fit.

De in ax fœmininis terminatio quinta.

In ax fœminina simplicia multisyllaba per cappa flectuntur & breue ax habent, quare & circunflectuntur quæcunq; penultimam natura longam habent, vt hic sulcus huius sulci. hic fons huius fontis hæc scala huius scalę. hęc lactuca, huius lactucę. his similiter & noctua noctuæ. & mulier non in usu mulieris. unde diuersicl.nium. hæc mulier, huius mulieris. huic lieri hanc mulierem o mulier. sed quæ inueniũtur duo cõmunia in ex, per g. flectũtur at hic & hęc capra capręhic & hæc grex gregis. thrax autem antiquum thracis faciebat. unde nunc thrax thracis dicimus i sub scripto, & hic dax huius dacis.

Περὶ τῶν εἰς ηξ, κατάληξις ἕκτη.

Τὰ εἰς ηξ ἁπλᾶ θηλυκὰ διὰ τοῦ κ κλίνονται. οἷον, ἡ πλῆξ, τῆς πλῆκος. χάληξ χάληκος. ὕσπληξ δὲ ὕσπληγος. καὶ ἀντίσπληξ, ἀντίσπληγος. καὶ ὁ καὶ ἡ βὴξ, βηχός. φυλάττουσι δὲ πάντα τὸ η ἐν ταῖς ἄλλαις πτώσεσι. πλὴν τῶν παραληγομένων τῷ ω. ταῦτα γὰρ τρέπουσι τὸ η εἰς ε. οἷον, ἡ ἀλώπηξ, τῆς ἀλώπεκος.

Περὶ τῶν εἰς ιξ, κατάληξις ἑβδόμη.

Τὰ εἰς ιξ πολυσύλλαβα θηλυκὰ, ὡς ἐπὶ τὸ πλεῖστον διὰ τοῦ κ κλίνονται. οἷον, κύλιξ, κύλικος. ἕλιξ, ἕλικος. ἡ μάστιξ δὲ τῆς μάστιγος. τῇ μάστιγι, καὶ μάστι, καὶ κατὰ ἀποκοπὴν μάστιγα, καὶ μάστιν. ὅθεν μάστιν αἰὲν ἔλαυνεν. Η, καὶ ἐφ᾽ ἵπποισιν μάστιν βάλε. καὶ ἡ στίξ, τῆς στιχός. ὅθεν ὁμόστιξ, ὁμόστιχος. καὶ ἡ θρὶξ δὲ, τῆς τριχός. καὶ τὰ κοινὰ, καλλίθριξ, καλλίτριχος. καὶ τανύθριξ, τανύτριχος. Δεῖ δὲ καὶ τοῦτο εἰδέναι ὅτι τὰ εἰς ξ, εἰ μὲν ἔχουσι πρὸ τοῦ ξ γ, διὰ τοῦ γ κλίνονται. οἷον, ἡ σφίγξ, τῆς σφιγγός. ἡ σάλπιγξ, τῆς σάλπιγγος. λύγξ, λυγγός, τὸ πάθος. λὺξ δὲ λυγκὸς, τὸ θηρίον, ὡς παρὰ Καλλιμάχῳ. Ὁ δὲ κρέα λυγκὸς ἔπαμνεν. εἰ δὲ πρὸ τοῦ ξ ἕτερον σύμφωνον ἔχουσι, διὰ τοῦ κ κλίνονται. οἷον, ἡ σάρξ, τῆς σαρκός. ὄλξ, ὁλκός. ἄλξ, ἀλκὸς, ἀλκί. ὅθεν καὶ τὸ ὁμήρειον ἐκεῖνο, Ἀλκὶ πεποιθώς, ἢ ἀπὸ τοῦ ἄλξ ἀλκὸς ἀλκὶ, ὡς ἐνίοις δοκεῖ, ἢ ἀπὸ τοῦ ἀλκή, τῆς ἀλκῆς, τῇ ἀλκῇ. καὶ κατὰ μεταπλασμὸν, ἀλκί. ὅπερ ἄμεινον.

Περὶ τῶν εἰς υξ, κατάληξις ὀγδόη.

Τὰ εἰς υξ θηλυκὰ πολυσύλλαβα διὰ τοῦ γ κλίνονται, εἰ μὴ λόγος ἕτερος κωλύσῃ. οἷον, ἄντυξ, ἄντυγος. πομφόλυξ, πομφόλυγος. πτέρυξ, πτέρυγος βαρυτόνως, τὸ ὅλον τὰ πτερύγια. πτερὺξ δὲ πτερυγὸς ὀξυτόνως, τὸ μέρος ἐν ᾧ φύονται τὰ πτερά. ὅθεν καὶ παρὰ τῷ ποιητῇ ἐν τῷ β τῆς Ἰλιάδος, Τὴν δ᾽ ἐλελιξάμενος πτέρυγος λάβεν ἀμφιαχυῖαν. παροξυτόνως γραπτέον, οὐ

De in ix terminatio sexta.

In ix simplicia fœminina p c declinant,vt hęc galea huius galeæ folliculus li.carceres carcerũ &procarceres procarcerum.hic & hæc tussis tussis.seruant autem hæc ita in aliis casibus, præter penultimantia o, hęc enim mutant i, in e, vt hæc uulpes huius uulpis.

De in ix terminatio septima.

In ix multisyllaba fœminina, vt plurimum per c declinantur, vt cylix cylicis. helix helicis. scutica scuticæ, huic scuticæ & scuticæ per abscisionem scuticam & scuticã,vnde scuticã semp concutiebat,ait & eqnã scuticã iniecit, & turma. mæ. vnde conturmalis lis. & capillus autem capilli, vnde & cõia pulchricomus comi, & longicomus comi. Oportet autem & hoc scire ꝙ in ix, si habent ante x g. per. g. flectuntur. vt hæc sphinx huius sphingis. hęc tuba huius tubæ. singultus ti morbus lynx lyncis fera. vt apud Callimachum. Ille autem carnem lyncis incidebat. si autem antę x aliam consonantem hñt per c declinantur. vt hęc caro huius carnis sulcus sulci. robur boris bori, vnde & homericũ illud,robori confidens,uel à potẽtia, potẽtiæ,potẽtiæ,vt quibusdã uidet̃,vel a robur roboris robori & per transmutationem robori, quod melius.

De in yx terminatio octaua.

In yx fœminina multisyllaba per g flectuntur, nisi ratio alia prohibeat, vt fornix currus fornicis currus. bulla bullæ. penna pennæ grauisonum pennæ. sed ala alæ acutisonum totum membrũ,in quo nascuntur pennæ.vnde & apud poetã in secundo Iliadis. hanc rotatus penna cœpit circum strepentem penacutisone scribendum non

προπαροξυτόνως. Ἔτι καὶ τὰ μονοσύλλαβα ὀξύτονα, ὡς τὰ πολλὰ τὸ γ ἔχουσιν. οἷον. ἡ τρὺξ τῆς τρυγός. ἡ σὺξ τῆς συγός. ἡ νὺξ, τῆς νυχός. καὶ τροπῇ τοῦ δασέος εἰς ψιλὸν καὶ προσθέσει τοῦ τ, νυκτός. νυκτί. νύκτα. καὶ ἡ ἄμπυξ δὲ, ἄμπυκος. Ἔτι τὰ ἀπὸ τῶν εἰς υξ σύνθετα τὴν τῶν πρωτοτύπων φυλάττουσι κλίσιν.

Περὶ τῶν εἰς αρ, κατάληξις ἐνάτη.

Εἰς αρ θηλυκὸν τὸ δάμαρ ἔχομεν, ὅπερ προσθέσει τοῦ τος ποιεῖ τὴν γενικήν. οἷον, ἡ δάμαρ, τῆς δάμαρτος, καὶ ἡ δάμαρς, τῆς δάμαρτος παλαιόν. ὅθεν καὶ Εὐριπίδης ἐν Ἠλέκτρᾳ, εἴτε Ὀρέστῃ, φιλεῖν δάμαρτα πᾶσιν ἕλλησι δοκεῖς. τὸ δὲ τοῦ ποιητοῦ, ὀάρων σφετεράων, ἢ ἀπὸ τοῦ ὄαρ, ὄαρος, ὄαρες, ὄαρσι, καὶ ὀάρεσσιν ἰωνικῶς, καὶ κράσει ὤρεσσιν, ὡς παρ᾽ αὐτῷ ἐν τῷ ε τῆς ἰλιάδος, καὶ ἀμυνέμεναι ὤρεσσιν, ἢ ἀπὸ τοῦ ὄαρος, ὀάρου, ὄαροι. καὶ μεταπλασμὸν, ὄαρες. καὶ ἐπὶ τῶν ἑξῆς.

Περὶ τῶν εἰς ειρ, κατάληξις δεκάτη.

Εἰς ειρ μονοσύλλαβον θηλυκὸν ἡ χείρ ἐστι. κοινὰ δὲ πολυσύλλαβα πολλά. οἷον, ἀντίχειρ. πολύχειρ. ἅπαντα προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικήν. Ἡ χείρ. τῆς χειρός. τῇ χειρί. τὴν χεῖρα. Τὼ χεῖρε. Ἐγὼ δὲ τὰ χεῖρε λέγομεν· ὅθεν καὶ Ἀριστοφάνης ἐν πλούτῳ, Ἐγὼ δὲ τὼ χεῖρ᾽ ἀνεκρότησα ὑφ᾽ ἡδονῆς. καὶ Φιλόστρατος ἐν ἡρωϊκοῖς, Τὼ χεῖρε ἄμφω προτείνας. ὁμοίως καὶ τοῦτο τὼ γυναῖκε, οὐ τὰ γυναῖκε. τὼ ὁδώ. καὶ τοῦτο τὼ πόλιε, παρὰ πλάτωνι καὶ αἰσχίνῃ τῷ σωκρατικῷ, καὶ ἴδετε τώδε τὼ κασιγνήτα, ἀντὶ τάδε τὰ ἀδελφὰ ἀρχαῖα παρὰ Σοφοκλεῖ. καὶ ἄλλα πολλὰ εὑρήσεις, ἐπιπλεῖστον εἶδη οὕτω γινόμενα. ταῖν χεροῖν ὡς ἐπιπλεῖστον. ὦ χεῖρε. αἱ χεῖρες. τῶν χειρῶν. ταῖς χερσί. τὰς χεῖρας. ὦ χεῖρες. παρὰ ποιηταῖς δὲ, κατ᾽ ἔλλειψιν ἑτέρας, χερός, χερὶ χέρα. ὥσπερ ἑταῖρος, ἀντὶ ἑταῖρος,

[illegible] acutisone. Etiam & solisyllaba acutisona, vt plurimum g habent vt fex fecis. styx [illegible] nox noctis & mutatione aspiratæ in tenuem [illegible] additione t, noctis nocti noctem, & reticulum [illegible] reticuli. Item ab in yx composita [illegible] simpliciorum seruant declinationem.

De in ar terminatio nona.

In ar fœmininum vxor habemus, quod appositione os facit genitiuum. vt hæc vxor huius vxoris, & hæc vxor huius vxoris antiquum. Vnde & Euripides in electra, siue Preste, amare vxorem omnibus grçcis uideris Illud vero poetæ, vxorũ causa [illegible], vel ab vxor ris. vxores, vxorum. vxoribus, & vxoribus ionice & commixtione vxorib⁹, vt apud ipsum in quinto Iliadis, & auxiliari vxoribus vel ab vxore vxoris vxores, vel per transmutationem vxores, & in reliquis.

De in ir terminatio decima

In ir solisyllabum fœmininũ manus est. cõmunia aũt multisyllaba multa. vt pollex. multimanus. quæ appositione os faciunt genitiuum. hçc manus, huius. manus. huic manui. hanc manum. hç manus nõ hç man⁹ dicim⁹. vñ & Aristophanes in pluto. ego autẽ manus applausi ex voluptate, & Philostratus in heroicis, manus ambas extendens. similiter & hæ mulieres, non hæ mulieres. hæ viæ & hæ vrbes apud Platonem & æschinem socraticum & videte has duas sorores. pro has duas sorores apud Sophoclem, & alia multa inuenies antiquo more sic facta. harum manuum vt plurimum o manus. hæ manus. herũ manuũ. his manibus. has manus. o manus. apud poetas autem per defectũ inuenies manus manui manum, sicut socius, pro socius.

Περὶ τῶν εἰς ηρ, κατάληξις ια.

Τὰ εἰς ηρ θηλυκὰ πολυσύλλαβα προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικήν, καὶ τρέπουσι τὸ η εἰς ε. οἷον εἰνάτηρ, εἰνάτερος. δημήτηρ, δημήτερος. θυγάτηρ, θυγατέρος. καὶ μήτηρ, μητέρος. γαστὴρ, γαστέρος. πάσχουσι δὲ καὶ συγκοπὴν ἐν τοῖς θηλυκοῖς ταῦτα ἑνικῶς. Η μήτηρ. τῆς μητέρος, καὶ μητρός. τῇ μητέρι. καὶ μητρί. τὴν μητέρα. ὦ μῆτερ. Η δημήτηρ, τῆς δημήτερος, καὶ δήμητρος. τῇ δημήτερι, καὶ δήμητρι. τὴν δημήτερα, καὶ δήμητρα. ὦ δήμητερ. Η θυγάτηρ. τῆς θυγατέρος, καὶ θυγατρός. τῇ θυγατέρι, καὶ θυγατρί. τὴν θυγατέρα, καὶ θύγατρα ποιητικῶς. ὦ θύγατερ. τούτων μόνον ἡ κλητικὴ εἰς ερ. Η γαστὴρ τῆς γαστέρος, καὶ γαστρός. τῇ γαστέρι, καὶ γαστρί. τὴν γαστέρα, ὦ γαστήρ. Η δοτικὴ δὲ πληθυντικὴ ἀπὸ τῆς δοτικῆς ἑνικῆς γίνεται, προσθέσει τοῦ ας. οἷον μητρὶ μητράσι. θυγατρὶ, θυγατράσι.

Περὶ τῶν εἰς ωρ, κατάληξις ιβ.

Εἰς ωρ κοινὰ ἔχομεν, ἅτινα προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικήν. οἷον, ὁ καὶ ἡ ἀπάτωρ, ἀπάτωρος. ὁ καὶ ἡ ἀμήτωρ, ἀμήτωρος. ὁ καὶ ἡ πανδαμάτωρ, πανδαμάτωρος.

Περὶ τῶν εἰς ας ὀξυτόνων, κατάληξις ιγ.

Τὰ εἰς ας θηλυκὰ καὶ κοινὰ ὀξύτονα ὄντα, διὰ τοῦ δ κλίνονται. καὶ συστέλλουσι πανταχοῦ τὸ α. οἷον ἡ μονὰς, τῆς μονάδος. ἡ δυὰς. τῆς δυάδος. ἡ παλλὰς, τῆς παλλάδος. ἡ λαμπὰς, τῆς λαμπάδος. ὁ καὶ ἡ φυγὰς, τῆς φυγάδος. ὁ καὶ ἡ ἀρκὰς, τῆς ἀρκάδος. ἡ κρὰς δὲ τῆς κρατὸς, ἐξαιρεῖται. δύο δὲ μόνα θηλυκὰ βαρύτονα ὀνόματα πόλεων ἔχομεν, ἃ τὴν κλίσιν τῶν ὀνομάτων ἀφ᾽ ὧν ὠνομάσθησαν ἐφύλαξαν. ἡ ἀκράγας, τῆς ἀκράγαντος, πόλις τῆς σικελίας, ἀπὸ τοῦ ἐκεῖσε ποταμοῦ ὀνομασθεῖσα. καὶ ἡ τάρας, τῆς τάραντος. Τὰ εἰς αυς. οἷον, περιττοσύλλαβα ὄντα, μετὰ ἰδιωμάτων κλίνονται.

De in ir terminatio xi.

In ir fœminina multiſyllaba appoſitione os faciunt genitiuum, & mutant i in e, vt ianitrix cis, ceres cereris. filia filiæ. mater matris. venter ventris, patiuntur autem & concisionem in fœminis hæc ſingulariter, hęc mater huius matris, & matris, huic matris, & matri. hāc matrē o mater. hæc ceres huius cereris & cereris, huic cereri, & cereri. hanc cererem, & cererem. o ceres. hæc filia huius filiæ, & filiæ. huic filiæ, & filiæ. hanc filiam, & filiam poeticum. o filia. horū ſolum vocatiuus in er. hic uenter, huius ventris & ventris. huic ventri & ventri. hunc ventrem o venter. datiuus autem pluralis a datiuo ſingulari fit appoſitione as, vt matri, matribus. filiæ filiabus.

De in or terminatio. xii.

In or cōmunia habem⁹, quę appoſitiōe os faciūt gtūm, vt hic & hęc depater tris. hic & hęc demater tris. hic & hæc omnidomans. omnidomantis.

De in as acutiſonis terminatio. xiii.

In as fœminina, & cōia acutiſona exiſtentia p delta declinantur & corripiunt vbiq; alpha, vt hæc vnitas huius vnitatis. hæc duitas huius duitatis. hæc pallas huius palladis. hæc fax huius facis. hic & hæc exul h⁹ exulis. hic & hæc arcas h⁹ dis. hoc caput aūt h⁹ capitis, excipitur. duo autem ſola fœminina grauiſona nōia ciuitatum habemus, quæ declinationem noīum, a qbus denominata ſunt, ſeruauerunt. hæc Acragas h⁹ Acragantis vrbs ſiciliæ, ab inibi fluuio denominata eſt. & hoc tarentum huius tarenti. In κοινὰ imparisyllaba entia cum ſuis linguis flectuntur, vt

Η ναῦς, καὶ νηῦς. τῆς ναὸς, καὶ νηὸς, καὶ νεώς. τῇ νηΐ, καὶ νηΐ. τὴν νῆα, καὶ νέα, καὶ ναῦν, καὶ νηῦν. ὦ ναῦς, καὶ νηῦς. αἱ νάες, καὶ νῆες καὶ νέες. τῶν νηῶν, καὶ νεῶν. ταῖς ναυσὶ, καὶ νηυσὶ, καὶ νήεσσι. τὰς νῆας, καὶ ναῦς: καὶ νέας. ὦ νέες, καὶ νῆες. οὕτω καὶ ἡ γραῦς, τῆς γραὸς, καὶ γρηός.

Περὶ τῶν εἰς αυς, κατάληξις τεσσαρες καιδεκάτη.

Εἰς αυς θηλυκὸν μόνον ἡ δαῒς, τῆς δαιτὸς, διὰ τοῦ τ. τὸ δὲ ὁ, καὶ ἡ παῖς παιδὸς, ἀπὸ τοῦ πάϊς πάϊδος, καὶ κατὰ συναίρεσιν παῖς. καὶ τὰ ἀπ' αὐτοῦ δὲ ὁμοίως κοινὰ τὸ δ ἔχουσιν. οἷον, ὁ καὶ ἡ ἄπαις, ἄπαιδος. ὁ. καὶ ἡ ἄπαις, ἄπαιδος.

Περὶ τῶν εἰς ης, κατάληξις ιε.

Τὰ εἰς ης θηλυκὰ μονογενῆ προσθέσει τοῦ τος ποιοῦσι τὴν γενικὴν, καὶ φυλάττουσι πανταχοῦ τὸ η. οἷον, ἡ ἐσθὴς, τῆς ἐσθῆτος. ἡ ποτὴς, τῆς ποτῆτος. ἡ φιλότης, τῆς φιλότητος. ἡ κακότης, τῆς κακότητος. ἡ πάρνης, τῆς πάρνητος. καὶ τροπῇ τοῦ τ εἰς θ, πάρνηθος. ἔσθ' ὅτε καὶ Ἀριστοφάνης ἐν νεφέλαις, Βλέπε νῦν δευρὶ πρὸς τὴν πάρνηθα. ὅτε δέ εἰσι διγενῆ, εἰς ους ποιοῦσι τὴν γενικὴν κατὰ κρᾶσιν. οἷον ὁ καὶ ἡ προπετὴς, προπετέος, οῦς. Δεῖ δὲ εἰδέναι ὅτι τέσσαρα ταῦτα τῆς ὑπερδισυλλάβων ὀξύνονται. οἷον, ταχυτής. βραδυτής. ἁδροτής. δηϊοτής. τὰ δὲ ἄλλα πάντα, βαρύνονται. οἷον, ποσότης. ποιότης. λογιότης. κουφότης. βραχύτης.

Περὶ τῶν εἰς ις ὀξυτόνων. κατάληξις ἑκκαιδεκάτη.

Τὰ εἰς ις ὀξύτονα, θηλυκὰ πολυσύλλαβα, μὴ δικατάληκτα, εἴτε ἐκτείνουσι τὸ ι, εἴτε συστέλλουσι διὰ τοῦ δ περιττοσυλλάβως κλίνονται. οἷον, κνημὶς, κνημῖδος. κρηπὶς, κρηπῖδος. σφαγὶς, σφαγῖδος. ἀψὶς, ἀψῖδος

hæc nauis,& nauis. h⁹ nauis,& uis.& uis. huic naui, & ui. hác nauē & nauem & nauē & nauem. o nauis & uis, hę naues & ues. & ues harū nauiū,& uium. his nauibus & bus. & bus. has naues & naues & naues. o naues & ues. sic & hęc anus. huius anus & anus.

De in ευς terminatio quartadecima.

In ευς masculinum solum hæc fax huius cis, per tos. Sed hic & hæc puer pueri a puer pueri, & per contractionem puer & quæ ab ipso autem similiter communia, delta habent vt hic & hęc filiosus filiosi hic & hęc defilius defilii.

De in is, terminatio . xv.

In is fœminina soligenera appositione tos faciunt genitiuum, & seruant vbiq; ita, vt hæc vestis huius vestis. hæc potio huius potionis . hic amor huius amoris. hæc prauitas h⁹ prauitatis hæc parnes huius etis. & mutatione t in th parnethis. Vnde & Aristophanes in nebulis vide nunc huc ad parnethem, cum autem sunt bigenera, in us faciunt genitiuum per commixtionem, vt hic & hæc prochuis prochuis. Oportet autem scire quod quatuor in . tis imparisyllaborum acuuntur, vt velocitas tar ditas. plenitas. pugna. Sed alia omnia grauantur, vt quantitas. qualitas. eruditio. leuitas. breuitas.

De in is acutisonis terminatio sextadecima.

In is acutisona fœminina multisyllaba non biterminata siue producunt i siue corripiunt. per d imparisyllabice flectuntur, vt ociea. ocieę. solea, soleæ. figilum, figilli. vinculum vinculi.

ἐσαὶς, ἐσαίδος. δαῒς, δαΐδος, δαΐδι. καὶ κατὰ ἀποκοπὴν
δαΐ. ὡς Εν δαῒ λυγρῇ. ἐξαιρεῖται ἀγλὶς, ἀγλῖθος,
οὗ τὸ ι μακρόν. Περὶ δὲ τῆς ποσότητος τοῦ ι τῶν τοιούτων
ὀνομάτων διαφορά τις φαίνεται. οἱ λογιώτεροι μέντοι ταύτης τῆς
δόξης εἰσὶν, ὅτι τὰ εἰς ις ὀξύτονα, θηλυκὰ, δισύλλαβα,
φύσει μακρᾷ παραληγόμενα, μὴ κύρια ὄντα, μὴ δὲ ὑποκο-
ρισικὰ, ἐπὶ μὲν τῆς ὀνομαστικῆς, τὸ ι βραχὺ ἔχουσιν ἐπὶ δὲ τῶν
πλαγίων, μακρόν. ὅθεν καὶ προπερισπῶνται. οἷον,
κνημὶς, κνημῖδος. κλεὶς, κλεῖδος. κληῒς, κληῗδος. κρηπὶς
κρηπῖδος. βαλβὶς, βαλβῖδος. τὰ δὲ μὴ οὕτως ἔχοντα,
βραχὺ πανταχοῦ τὸ ι ἔχουσιν. οἷον, θέμιδος. μάνιδος
δωρίδος. κορωνίδος. νησίδος. Ετι τὰ ὑπερδισύλλα-
βα ἐπίθετα, τὸ ι βραχὺ ἔχουσιν, εἴτε μακρᾷ, εἴτε βραχείᾳ
παραλήγονται. οἷον, στρατηγὶς στρατηγίδος. αὐλητρὶς
αὐλητρίδος. τόγε μὴν πλοκαμὶς πλοκαμῖδος καὶ ἄλλ' ἄττα
διὰ τὴν ἐπαλληλίαν τῶν τριῶν βραχέων ἐκτείνουσι τὸ ι.
οἱ ποιηταὶ δὲ τούτοις προστιθέντες, διὰ τὸ μέτρον. ὅθεν
συστέλλουσι τὸ ι, ποταμηΐδος, καὶ παγασηΐδος λέγοντες.
καὶ τὸ ἐν ἀργοναυτικοῖς ἐκεῖνο ὀρφικὸν ἔπος, Λαιψηροῖς
ποσὶν ἔασιν ὑπὲρ παγασηΐδας ἀκτὰς, ἀντὶ παγασίδας
Ταῦτα δὲ τὰ εἰς ις ὀξύτονα, κοινῶς μὲν εἰς α ποιοῦσι
τὴν αἰτιατικήν. οἷον, κρηπῖδα. σφραγῖδα. βολίδα.
ἀψίδα. ὅταν δὲ ἀρεθῇ αἰτιατικὴ εἰς ν, αἰολέων ἐστίν.
οἷον, σφραγῖν. ἄψιν. ὅθεν καὶ Ησίοδος, Τρισπίθαμον
δ' ἄψιν τάμνειν δεκαδώρῳ ἀμάξῃ. ἀντὶ ἀψίδα.
Τὰ εἰς ις περισπώμενα θηλυκὰ διὰ τοῦ δος ποιοῦσι
τὴν γενικήν, καὶ εἰς ιν τὴν αἰτιατικήν. οἷον, βενδῖς, βενδῖδος,
βενδῖν. μολῖς, μολῖδος, μολῖν. Τὰ εἰς ις κύρια,
βαρύτονα θηλυκὰ, εἴτε εἰς ρις, εἴτε εἰς πις, εἴτε εἰς μις
εἴτε ἄλλο τι σύμφωνον πρὸ τοῦ ις. ἔχουσι κοινῶς
εἰς δος ποιοῦσι τὴν γενικήν. οἷον, κύπρις, κύπριδος. θέτις,
θέτιδος. θέμις, θέμιδος. μέμφις, μέμφιδος. ἰωνικῶς
δὲ, εἰς ος. ἐξαιρεῖται δὲ ταῦτα τὰ κύρια, καὶ μό.
χάρυβδις. χαρύβδιος. σάρδις, σάρδιος τράλλις, τράλλιος.

gutta guttæ, pugna pugnæ pugnę & per abscisionem pugnæ, vt in pugna tristi. excipitur spica spicæ. cuius i longum. Sed de quantitate i huiusmodi nomium different a quædam uidetur, doctores tn̄ hac opinione sunt, ꝙ in is acutisona fœminina bisyllaba natura longa penultimantia, non propria entia, neq; diminutiua, in nominatiuo i breue habent, sed in obliquis longum, unde & circunflectuntur, vt tibia tibię, sordes dis, clauis uis. fundamentum menti. repagulum. guli sed non sic habentia breue vbiq; i habent, vt themidis. iræ. doricæ. extremitatis. insulæ. Etiam superbisyllaba adiectiua i breue habent siue longa, siue breui penultimant, vt ductrix cis. tibicinæ. tamen crinis crinis. & alia quædam propter concursum trium breuium producunt i. poetæ autem his. ita addentes propter metrum corripiunt i. fluuiusculi & pegasidis dicentes. unde & in argonauticis illud orphicum carmen, velocibus pedibus supra pegasida litora, pro pegasida. hæc in is acutisona communiter in a faciunt accusatiuum, vt fundamentum. sigillum. iaculum. testudinē. cum aūt inuentus fuerit actūs in in, çolū est, vt sigillum. testudinem. vnde & Hesiodus. tripalmen aūt testudinē incide decipalmi currui pro testudinem. Si in i circunflexa fœminina per dos faciunt genitiuum, & in in accusatiuū, vt bendis bendidis bendidem. molis molidis. molidem. In is propria grauisona fœminina siue in ris, siue in tis siue in nis uel in aliā q̄dam cōsonantem ante is habent, cōiter in dos faciunt genitiuum, vt venus veneris thetis dis. themis dis, memphis dis, sed Ionice in os. excipiuntur autem hæc propria, & non hæc charybdis. charybdis. sardis sardis. trallis. llis.

σκῆψις, σκήψιος. ἐπίσκηψις, ἐπισκήψιος. λάχουσις, λαχούσιος. νέμεσις. νεμέσιος. ἐπίκτησις ἐπικτήσιος, ξοῖ, ξοῖος. ἄθλιβις, ἀθλίβιος. σοῖς, σοῖος. δμωῖς, δμώιος. ταμιάθις, ταμιάθιος. Ἔτι τὰ παρὰ τὸ πόλις συντεθειμένα θηλυκὰ μόνως τὴν τοῦ ἁπλοῦ φυλάττουσι κλίσιν. οἷον, ἡ ἀκρόπολις, τῆς ἀκροπόλιος. Τὰ εἰς νις θηλυκὰ βαρύτονα εἰ μὲν μακρὰ παραλήγουσι, διὰ τοῦ δ κλίνονται. οἷον. νεᾶνις, νεάνιδος. ἰῶνις, ἰώνιδος. μῆνις, μήνιδος. τὸ δὲ ἐν τῷ γ τῆς ὀδυσσείας τοῦ ποιητοῦ, Μήνιος ἐξ ὀλοῆς γλαυκώπιδος ὀβριμοπάτρης, ἰωνικόν ἐστιν ὥσπερ δέ τισι καὶ μέμφιος. εἰ δὲ βραχεῖα παραλήγουσι, διὰ καθαροῦ τοῦ ος ποιοῦσι τὴν γενικήν. οἷον, κόνις, κόνιος. πάνις, πάνιος. ὁ καὶ ἡ ὄρνις, ὄρνιθος κοινῶς. τὰ γὰρ πρὸ τοῦ ις δύο ἀμετάβολα λαχόντα, εἰς θος ποιοῦσι τὴν γενικήν. οἷον, μέρμις, μέρμιθος. δέλλις, δέλλιθος. ἐξαιρεῖται τράλλις, τράλλιος. ὄρνις δὲ ὄρνιχος, δωρικόν. ὅθεν καὶ ὁ δεινὸς Πίνδαρος δωρικὸς ὢν τὰ πολλά, Διὸς πρὸς ὄρνιχα θεῖον εἴρηκε.

Τὰ εἰς ρις θηλυκὰ, διὰ τοῦ δος ποιοῦσι τὴν γενικήν. οἷον, ἔρις, ἔριδος. κίθαρις, κιθάριδος. ἶρις, ἴριδος. χάρις, χάριδος, καὶ χάριτος, καὶ χάρισος ποιητικῶς. ὁμοίως καὶ θέμις, θέμιδος, καὶ θέμιτος, καὶ θέμισος. ὅθεν καὶ Ἡσίοδος, δίκην δ' ἴθυνε θέμισας. ἐξαιρεῖται ὕβρις, ὕβριος ἄχρις, ἄκριος. ἄγυρις, ἀγύριος, καὶ τὰ ἀπὸ τοῦ πανήγυρις, πανηγύριος. ὁμήγυρις, ὁμηγύριος. κίνυρις, κινύριος. Τὰ εἰς ις θηλυκὰ ἀπὸ τῶν εἰς ἀρσενικῶν γινόμενα, τὸ δ ἔχουσιν. οἷον, ὁ τοξότης, ἡ τοξότις τῆς τοξότιδος. ὁ πολίτης, ἡ πολῖτις, τῆς πολίτιδος. ὁ δεσπότης, ἡ δεσπότις, τῆς δεσπότιδος. ὁ παρεπάτης, ἡ παρεπάτις, τῆς παρεπάτιδος. ὁ κυνηγέτης, ἡ κυνηγέτις, τῆς κυνηγέτιδος. δέχονται δὲ πάντα τὰ θηλυκὰ τὸν τόνον ἐν τῇ παραληγούσῃ, πλὴν τῶν ἀπὸ τοῦ πωλῶ καὶ κοίτης συντεθειμένων. ταῦτα γὰρ προπαροξύνονται, τῶν ἰδίων ἀρσενικῶν παροξυνομένων. οἷον, ὁ ἀρτοπώλης, ἡ ἀρτόπωλις ὁ λαχανοπώλης, ἡ λαχανόπωλις, ὁ ἀκοίτης,

excusatio excusationis. fictio, fictionis. lacusis iacusis. inuidia inuidiæ. acquisitio onis. xois xois. asthlibis. biis. sois soios. scιua uæ tamiathis. ios. Etiam a ciuitate composita fœminina solum simplicis seruant declinationem, vt arx arcis, In is fœminina grauisona si longa penultimant per d flectuntur, vt iuuenis iuuenis; ononis ononidis. Ira iræ. Sed in tertio odysseæ poetæ, ira ex pernitiosa cæsiæ mineruæ, Ionicum est, vt thetics & inuidiæ, sed si breui penultimant per purum o faciunt genitiuum, vt puluis puluis. raritas raritatis. hic & hęc auis auis cómuniter. nā ante is duas immu/ tab.les habentia in thos faciun genitiuum vt finis finis. dellis dellithis. excipitur trallis trallis. auis vero auis doricum, vnde & doctus Pindarus doricus ens valde, Iouis ad auem diuinam dixit. in ris fœminina per dos faciunt genitiuum, vt discordia diæ. cithara tharæ. Iris ridis. gratia gratiæ, & gratiæ, & gratiæ poetice. similiter & fas huius fas & fas & fas. vnde & Hesiodus Iustitia autem dirige fas. excipitur iniuria iniuriæ. acris acris. congregatio. onis. & ab eo festum festi. congregatio onis. pumex micis. In is fœminina ab in is masculinis facta d habent, vt hic arcitenens hæc arcitenens huius arcitenentis, hic ciuis, hæc ciuis, huius ciuis. hic herus hęc hera huius heræ. hic spartanus, hæc spartana huius tanæ hic venator, hæc venatrix, huius venatricis. Recipiūt aūt omnia fœminina accētū in penultima. præter quę a uendo, & lecto composita sunt. hæc. n. propenacuuntur suis masculinis penacutis, vt hic pistor, hęc pistrixi hic herbarius. hæc herbaria. hic maritus

ἡ ἄκοιτις· καὶ παράκοιτις. Τούτων ἡ γενικὴ ὅταν αἱρεθῇ διὰ τοῦ ος, ἰωνική ἐστιν, ὡς εἴρηται. καὶ ἡ δοτικὴ ὁμοίως πάσχουσα καὶ ἀποκοπήν. οἷον, θέτι, ἀντὶ θέτιδι. καὶ τρόπι, ἀντὶ τρόπιδι. ὅθεν καὶ τὸ ὀρφικὸν ἐκεῖνο ἐν ἀργοναυτικοῖς, Αἱ οἱ ὑπὸ τρόπι χαῖτα, μιᾶς χίνοιο ταθεῖσαι, ἀντὶ τρόπιδι διὰ τὸ μέτρον. καὶ παρ[ὰ] Ἡσιόδῳ ἐν ἀσπίδι, Ἐνθ᾽ ὅγε δώματ᾽ ἔναιε σὺν αἰδοίῃ παράκοιτι, ἀντὶ παρακοίτιδι. περὶ δὲ τῆς αἰτιατικῆς τούτων, ἔνιοί φασιν ὅτι τὰ εἰς ις διὰ τοῦ δ κλινόμενα καὶ [...] εἰς ιν ποιοῦσι τὴν αἰτιατικήν. οἷον, μῆνις, μήνιδος. μῆνιν. ὅθεν καὶ ὁ ποιητὴς, Μῆνιν ἄειδε θεά. χρυσόθεμις, χρυσοθέμιδος, χρυσόθεμιν. ὅταν δὲ αἱρεθῇ εἰς α, ποιητική ἐστιν. οἷον, Ζεὺς δ᾽ ἔριδα προΐαλλε. καὶ ἤλιδα δῖαν.

Περὶ τῶν εἰς εις, κατάληξις ἑπτα καιδεκάτη.

Τὰ εἰς εις θηλυκὰ πολυσύλλαβα σπάνια ὄντα, ὁμοίως τοῖς ἀρσενικοῖς κλίνονται. οἷον, ἡ ὀπόεις, τῆς ὀπόεντος, πόλις. ὅθεν, Τρηχεῖνα ὀπόεντα λιπὼν, ὁ Ὀρφεὺς φησὶ δὲ εἴρηκε. καὶ ὅμηρος ἐν τῷ σ τῆς ἰλιάδος, εἰς ὀπόεντα περικλυτὸν υἱὸν ἀπάξειν. σεσημείωται δὲ ἡ κλεὶς, τῆς κλειδὸς, τὴν κλεῖδα καὶ κλεῖν ἀμφοτ. ὅθεν καὶ ὁ Δημοσθένης τὴν κλεῖν κατεαγότα εἴρηκε. καὶ ἔτι ἀντήρεις ἀντήρειδος.

Περὶ τῶν εἰς ους, κατάληξις ὀκτωκαιδεκάτη.

Τὰ εἰς ους θηλυκὰ ὀνόματα πόλεων, περιττοσυλλάβως κλίνονται ὁμοίως τοῖς ἀρσενικοῖς, εἰ μὴ ἑβραϊκὰ εἶεν. οἷον, ἡ ὀποῦς, τῆς ὀποῦντος. ὁ καὶ ἡ ἀνθεμοῦς, τῆς ἀνθεμοῦντος. ἡ τραπεζοῦς, τῆς τραπεζοῦντος. ἡ κερασοῦς, τῆς κερασοῦντος. Τὰ εἰς ος πάντα θηλυκὰ ἰσοσύλλαβα ὄντα, εἰς ου ποιοῦσι τὴν γενικὴν, ὡς εἴρηται

hęc vxor & vxor. Horum genitiuus cum inuentus erit per os, Ionicus est, vt dictũ est. & dtũs similiter patiens & abscisionem, vt thetidi pro thetidi, & carinæ pro carinæ, vnde & orphicum illud in argonautis, quæ ipsi sub carina iacebant vno iunco extensæ pro carinę propter metrũ, & apud Hesiodũ in scuto. Vbi hic domus habitabat cũ pudica vxore pro vxore. De accusatiuo autem horũ quida dicunt ꝙ in is per d declinata communiter in in faciunt accusatiuum, vt ira iræ iram, vnde & poeta, iram cane dea. Chrysothemis chrysothemithis themin. cũ vero inuẽtus erit in a poeticus, vt iuppiter vero discordiã pręmisit, & Iridẽ diã.

De in ris terminatio deci-ma septima.

In is fœminina plurisyllaba rara entia similiter masculinis flectuntur, vt hæc opois huius opoentis ciuitas. vnde asperam opoentem relinquens Orpheus dixit, & Homerus in, xii. Iliadis dixerunt vero ipsi in opoentem per gloriosum filiũ ducturũ. notatum est hęc clauis huius clauis hanc clauem & clauem melius vnde & Demosthenes clauem rumpentem dixit, & etiam ęquistrepens strepentis.

De in us terminatio decima o ctaua.

In us fœminina nomina ciuitatum plurisyllabice flectuntur, vt masculina, nisi hebraica sint, vt hęc opus huius opuntis hic & hæc anthemus huius antemuntis. hæc trapezus huius trapezuntis, hęc cerasus huius cerasuntis. In os omnia fœminina parisyllaba existẽtia in n faciũt gtũm vt dictũ est

Περὶ τῶν εἰς υς βαρυτόνων, κατάληξις ἐννεακαιδεκάτη.

Τὰ εἰς υς θηλυκὰ βαρύτονα πανταχοῦ τὸ υ βραχὺ ἔχοντα, διὰ καθαροῦ τοῦ ος ποιοῦσι τὴν γενικήν. οἷον, πίτυς, πίτυος. χέλυς, χέλυος. γένυς, γένυος. ἀμάμαξυς, ἀμαμάξυος, καὶ ἀμαμαξὶς παραλόγως ἡ Σαπφὼ, ὥς φασιν, εἴρηκεν. ἐξαιρεῖται κώμυς, κώμυθος, καὶ κόρυς, κόρυθος, διὰ τοῦ θος ποιοῦντα τὴν γενικήν. καὶ τὸ τῆς μὲν κώμυθος τὸ μυ, ἐκτείνεται ἐν ταῖς πλαγίαις κατὰ τὸν κανόνα. πᾶσα γὰρ γενικὴ εἰς θος, μακροπαράληκτη. οἷον, ὄρνιθος. μέρμιθος. δέλλιθος. ἐπιβεβαιοῖ μέντοι καὶ τὸ ἐν πέμπτῳ εἰδυλλίῳ τοῦ Θεοκρίτου ἔπος, Καὶ μαλακῶ χόρτοιο καλὰν κώμυθα δίδαμι. μακρὸν γὰρ τὸ μυ, τοῦ πέμπτου δακτύλου ὄντος. τῆς δὲ κόρυθος ποιητικῶς συστέλλεται, ὡς πολλάκις ζητῶν εὑρήσεις παρὰ ποιηταῖς. καὶ ἐν τῷ ε τῆς Ἰλιάδος τοῦ ποιητοῦ, Δαῖέ οἱ ἐκ κόρυθός τε καὶ ἀσπίδος ἀκάματον πῦρ. Τὰ δὲ διὰ καθαροῦ τοῦ ος κλινόμενα, κοινῶς εἰς υν μόνον ποιοῦσι τὴν αἰτιατικήν. οἷον, πίτυος, πίτυν. χέλυος, χέλυν, εἰ μὴ ποιητικὴ ἄδεια. εὑρήσεις εἰς α.

Περὶ τῶν εἰς υς ὀξυτόνων.

Τὰ εἰς υς ὀξύτονα θηλυκὰ συνεσταλμένον τὸ υ ἔχοντα, διὰ τοῦ δος κλίνονται, καὶ εἰς δα μόνον ποιοῦσι τὴν αἰτιατικήν. οἷον, χλαμὺς, χλαμύδος, χλαμύδα. πηλαμὺς, πηλαμύδος, πηλαμύδα. κροκὺς, κροκύδος, κροκύδα. Τὰ δὲ ὀξύτονα καὶ περισπώμενα, ἔχοντα μὲν τὸ υ μόνον μακρὸν ἐν τῇ ὀνομαστικῇ, ἐν δὲ ταῖς πλαγίαις βραχὺ, διὰ καθαροῦ τοῦ ος ποιοῦσι τὴν γενικήν. οἷον, ἰχθὺς, ἰχθύος. ὀϊζὺς, ὀϊζύος. ἐριννὺς, ἐριννύος. τηθὺς, τηθύος. ἰδνὺς, ἰδνύος. δρῦς, δρυός. ὀφρὺς, ὀφρύος. ἐξαιρεῖται ἀγλὶς, ἀγλῖθος, ὁ πεφυρμένος καὶ τετρυπημένος λίθος. καὶ τὰ τοιαῦτα δὲ κοινῶς εἰς υν ποιοῦσι τὴν αἰτιατικήν. οἷον, ἐριννύν. δρῦν. ὀφρύν. σπανίως δὲ εὑρήσεις παρὰ τοῖς ἐμμετρικοῖς ποιηταῖς, ἰξύα, καὶ δρύα, ὡς παρὰ τῷ

In ys fœminina grauisona vbiq; i breue habentia per purum os faciũt genitiuum. vt pinus pini. cithara citharæ. barba barbæ. currus currus & currus irregulariter Sappho,vt aiunt,dixit. excipitur fascis fascis. galea galeæ per thos faciunt genitiuum, & fascis illud my producitur in obliquis secundum regulam. nã omnis gtũs in thos in longã penultimat, vt auis funiculi. dellithis. affirmat tamen & in quinta speciecula Theocriti carmen, & mollis herbæ bonum fascem trado. nam longum illud my quinto dactylo ente. Sed galeæ corripitur, vt sæpe quærens inuenies apud poetas, & in quinto Iliados poetæ. lucebat ipsi ex galeaq;, & scuto indefessus ignis. Sed per purum os declinata communiter in yn solum faciunt accusatiuum, vt Pinus pini pinum. chelys chelyn. tamen poetica licentia inuenies in a.

De in ys acutisonis.

In ys acutisona fœminina correptum y habentia per d flectuntur, & in da solum faciunt accusatiuum ut chlamys mydis. myda. pelamys piscis pelamydis. myda. crocys cydis cyda. sed acutisona, & circunflexa habentia quidem y solum longum in nominatiuo, in obliquis autem breue per purum os faciunt genitiuum, ut vẽter ventris miseria miseriæ. erinnys erinnys thetys thys esca escæ quercus quercus. supercilium lii. excipitur aglys this, quod est rotundus,& perforatus lapis, & hæc quidem communiter in yn faciunt accusatiuum, ut miseriam. erinnyn. quercum supercilium, sed raro inuenies apud poetas uentrem,& quercum ut apud Homericum

Κοΐντῳ ἐσημειωσάμην λέγοντι, Κάππεσεν αὐτῷ ὄρεσσι περὶ στερεὴν δρύα θάμνος. Ἔτι λέγεται καὶ νηδὺς συστελλόμενον, καὶ ἄλλ' ἄττα ὅμοια.

Περὶ τῶν ἐχόντων δύο σύμφωνα.

Τὰ ἔχοντα δύο σύμφωνα θηλυκὰ, σπάνιά εἰσι. καὶ εἰ μὲν ἔχουσι πρὸ αὐτῶν α, εἰς τος ποιοῦσι τὴν γενικὴν ὡς προείρηται, οἷον, ἡ δάμαρς παλαιὸν, δάμαρτος. ἡ ἅλς δὲ, ἁλὸς ἁλὶ, ἅλα ἐξαιρεῖται. εἰ δὲ μὴ ἔχουσιν α, εἰς θος ποιοῦσιν. οἷον, τίρυνς, τίρυνθος, πόλις.

Περὶ τῶν εἰς ως, κατάληξις εἰκοστή.

Τὰ εἰς ως, θηλυκὰ, καὶ κοινὰ, βαρύτονα, καὶ περισπώμενα, καὶ προπαροξύτονα ἀττικὰ, εἰς ω ποιοῦσι τὴν γενικὴν, ὡς εἴρηται. οἷον, ἡ ἅλως. ἡ ἕως ἡ κέως. ἡ κῶς. ὃ καὶ ἡ ἄκερως. ὧν τρεῖς αἰτιατικὰς ἀρέσεις χωρὶς ν. ἕω. κῶ. κέω. Δύο δὲ ὀξύτονα θηλυκὰ ἀρίσκονται κατὰ κρᾶσιν εἰς ους ποιοῦντα τὴν γενικὴν, οἷον, ἡ αἰδὼς, τῆς αἰδόος οὖς. ἡ ἠὼς, τῆς ἠόος, οὖς. Ἡ δὲ Ἡσιόδου Δὼς δ' ἀγαθὴ, ἅρπαξ δὲ κακὴ, ἄκλητος.

Περὶ τῶν εἰς ψ, κατάληξις εἰκοστὴ πρώτη.

Τὰ εἰς ψ θηλυκὰ, ἢ τὸ π ἔχουσιν ἐν ταῖς πλαγίαις, ὡς εἴρηται ἐν τοῖς ἀρσενικοῖς, οἷον, ἡ ὄψ, τῆς ὀπός, ἡ φωνή. ἡ λαῖλαψ, τῆς λαίλαπος, ἢ τὸ β, οἷον, ἡ φλέψ, τῆς φλεβός. χέρνιψ, χέρνιβος, ἢ τὸ φ οἷον, κίνυψ, κίνυφος.

Περὶ τῶν καταλήξεων τῶν οὐδετέρων ὀνομάτων.

Τμῆμα πέμπτον.

ΤΟΥ'των οὕτως εἰρημένων, ἑπόμενον ἂν εἴη καὶ περὶ τῶν καταλήξεων τῶν οὐδετέρων ὀνομάτων διαλαβεῖν. ὧν τελικὰ ἓξ εἰσίν. α ι υ ν ρ σ. οἷον, τὸ ῥῆμα. τὸ μέλι. τὸ πῶϋ. τὸ ξύλον. τὸ ὕδωρ. τὸ δέπας. τὸ δὲ ἐκεῖνο, καὶ τοῦτο, καὶ αὐτὸ, καὶ ἄλλο, καὶ τοιοῦτο, καὶ τοσοῦτο, καὶ τηλικοῦτο, μέντοι καὶ ἀπέβαλον τὸ ν ἔθει ἀττικῷ. ἀρίσκονται μετὰ τοῦ ν. διὸ οὐκ ἔστι τὸ τελικὸν οὐδετέρου ὀνόματος.

Cointum notaui dicentem. Cecidit ſicut in montibus circa firmam quercum frutex. Etiam inuenit & venter correctum & alia quædam ſimilia.

De habentibus duas conſonantes.

Habentia duas conſonantes fœminina rara ſunt, & ſi habent ante ſe a, in tos faciunt genitiuum, vt prædictum eſt, vt hæc vxor vetuſtum, vxoris. mare vero maris mari mare excipitur. ſi vero non habent a in thos faciunt, vt tiryns tirynthis ciuitas.

De in os terminatio. xx.

In os fœminina, & cõmunia grauiſona. & circũflexa, & propenacutiſona attica, in o faciunt genitiuum vt dictum eſt, vt ara. aurora. ceus, cous. hic & hæc bonicornis, quorũ tres accuſatiões inuenies ſine. n auroram coum ceũ. duo vero acutiſona fœminina inueniuntur per commixtionem in us facientia genitiuum vt hic pudor huius pudoris hæc aurora huius roræ. ſed Heſiodi datio vero bona, raptus autem malus indecimabilis.

De in pſi terminatio. xxi.

In pſi fœminina, vel p habent in obliquis, vt dictum eſt in maſculinis, vt vox vocis ideſt vox, hæc procella huius procellæ, vel b. vt vena venæ. purgatio nis. vel phi vt cinyps cinyphis.

De terminationibus neutrorum nominum.

Sectio quinta.

His ſic dictis ſequens ſit & de terminationibus neutrorum nominum tractare, quorum finales ſex ſunt a i y n r s vt gradus mel grex lignum aqua poculum. ſed illud & ipſum & aliud, & tale, & tantum & tantum abiecerunt. n. more attico. Inueniuntur autem & cum. n. Ideo non eſt o finale neutri nominis.

Περὶ τῶν εἰς α οὐδετέρων, κατάληξις πρώτη.

Τὰ εἰς α οὐδέτερα συνεσταλμένον ἔχουσι τὸ α. καὶ περιττοσυλλαβοῦντα, εἰς τος ποιοῦσι τὴν γενικήν. οἷον, τὸ βῆμα, τοῦ βήματος. τὸ κῦμα, τοῦ κύματος. τὸ δῶμα, τοῦ δώματος. πᾶν δὲ οὐδέτερον μονογενὲς εἰς α, πρὸ τοῦ α μ ἔχει. οἷον, βῆμα. γράμμα. ποίημα. τὸ γὰρ μέγα, τριγενὲς, καὶ ἑτερόκλιτον. Τὸ μέγα. τοῦ μεγάλου. τῷ μεγάλῳ. τὸ μέγα. τὸ δὲ κάρα πεπονθὸς, ἀπὸ τοῦ κάρηνον γέγονεν. ὅθεν καὶ τὸ α μακρὸν ἔχει. ἔστι δὲ καὶ ἑτερόκλιτον. Τὸ κάρα. τοῦ κρατός. τῷ κρατί. τὸ κάρα. καὶ ἡ κράς. τῆς κρατός. τῇ κρατί. τὴν κάρα. καὶ ἡ κάρα. τῆς κάρας. τῇ κάρᾳ. τὴν κάραν, ὡς ἐπιπολάζει παρὰ τοῖς ἐκκλησιαστικοῖς. καὶ τὸ πάσχα δὲ ἄκλιτον, ἀλλότριον ὄν. Σημειώσῃ δὲ καὶ τὰ δοκοῦντα τέλεια οὐδετέρων ὀνομάτων, πεπονθότα δὲ ἀποκοπήν. οἷον, λῖπ' ἐλαίῳ, ἀντὶ λιπαρῷ ἐλαίῳ. νίφα ἀντὶ νιφάδα. σκέπα, ἀντὶ σκέπασμα. ὕφα, ἀντὶ ὕφασμα. ὅθεν ἄλειφα, ἀντὶ ἄλειφαρ. γάλα, ἀπὸ τοῦ γάλαξ. γάλακος. καὶ πλεονασμῷ τοῦ κ, γάλακτος.

Τὸ βῆμα. ἡ γενικὴ, τοῦ βήματος. τὰ γὰρ εἰς μα προσθέσει τοῦ τος ποιοῦσι τὴν γενικήν. οἷον, βῆμα, βήματος. δῶμα, δώματος. τὸ δὲ χαλκοβατὲς δῶ, κατὰ ἀποκοπὴν ἐγένετο. τῷ βήματι, ἀπὸ τῆς γενικῆς, τροπῇ τοῦ ος εἰς ι. τὸ βῆμα, ὦ βῆμα. Τὼ βήματε, ἀπὸ τῆς δοτικῆς ἑνικῆς τροπῇ τοῦ ι εἰς ε. τοῖν βημάτοιν, ἀπὸ τῆς ὀνομαστικῆς δυϊκῆς τροπῇ τοῦ ε εἰς οιν. Τὰ βήματα, τὰ βήματα, ὦ βήματα, τοῦ τα βραχὺ ὄντος, τῶν βημάτων [illegible], τοῖς βήμασιν, ἀπὸ τῆς ἑνικῆς δοτικῆς τροπῇ τοῦ τι εἰς σι, καὶ βημάτεσιν Ἰωνικῶς, ἀπὸ τῆς γενικῆς τροπῇ τοῦ ος εἰς ε, καὶ προσθέσει σι. οἷον, βήματος, βημάτεσι. γράμματος, γραμμάτεσιν. ἔπεος, ἐπέεσιν. ἀληθέος, ἀληθέεσι.

Περὶ τῶν εἰς ι οὐδετέρων, κατάληξις δευτέρα.

Τὰ εἰς ι οὐδέτερα μονογενῆ, εἰς τος ποιοῦσι τὴν γενικὴν καὶ βραχὺ τὸ ι ἔχουσιν. οἷον, τὸ μέλι, τοῦ μέλιτος. καὶ τὰ ἐξ αὐτοῦ ὁμοίως. οἷον, ὀξύμελι, ὀξυμέλιτος. οἰνόμελι, οἰνομέλιτος. Τὰ δὲ οὐδέτερα τῶν

De in a neutris terminatio prima.

In a neutra correptum habent a, & plurisyl/laba existentia in tcs faciunt genitiuum, vt gradus gradus. unda undæ. domus domus. omne autẽ neutrum soligenere in a, ante a, m habet vt gradus litera poema. nam magnum trigenere, & diuersicliniũ. hoc magnũ huius magni. huic magno hoc magnum. caput autem passum a caput factum. vnde & a longum habet. est vero & diuersiclinium. hoc caput huius capitis huic capiti hoc caput, & hoc caput huius capitis. huic ti. hoc caput, & hoc caput h⁹ capitis huic capiti. hoc caput vt plurimũ apud ecclesiasticos, & hoc pascha vero indeclinabile externum ens, nobis autem & quæ videntur finalia neutrorum nominum passa abscinsionem, vt pingui oleo. pro pingui oleo. miuationem pro miuationem, tegmen pro tegmen. textura, pro textura pinguedo pro pinguedo. lac a lac. vnde lactis genitiuus, & pleonasmo c lactis.

Hic gradus. gtũs huius gradus. nã in ma appõsitõe tcs faciunt genitiuum, vt gradus. domus. domus. sed ærea domus per abscisionem facta est. huic gradui a gtõ mutatiõe cs in i. hũc gradum o grad⁹. hi grad⁹ o gradus a datiuo singulari mutatiõe i in e. horũ gradũ a nominatiuo duali mutatione e in ων. hi grad⁹ hos gradus o gradus a breui existente. horum graduum cõiter. his gradibus a singulari datiuo mutatione t in s, & gradibus Ionice, a genitiuo mutatione o in e & appositione si, vt gradus gradibus. literæ literis. carminis carminibus, veri veris.

De in i neutris terminatio secunda.

In i neutra soligenera in tcs faciunt genitiuum & breue i hũt. vt hoc mel h⁹ mellis, & quę ab eo similiter vt acetimel acetimellis. metimel metimellis. sed neutra

εἰς ις κοινῶν, τὴν τῶν ἰδίων φυλάττουσι κλίσιν. οἷον, τὸ φιλόπατρι, φιλοπάτριδος, ὅτι ὁ καὶ ἡ φιλόπατρις, φιλοπάτριδος. τὸ φυγόπολι, τοῦ φυγοπόλιος, ὅτι ὁ καὶ ἡ φυγόπολις, φυγοπόλιος, ὁμοίως καὶ τὶς τινός, ὅτι καὶ νῶς. τὶς. τινός. τινί. τινά. τινές. τινῶν. τισί. τινάς ὀξυτόνως, ὅτε ἀόριστόν ἐστι. τίς δὲ, τίς δὲ, τίνος. τίνι. τίνα. τίνες. τίνων. τίσι. τίνας βαρυτόνως, ὅτε ἐρωτηματικόν ἐστιν. ὁμοίως καὶ τὰ οὐδέτερα. τὸ πέπερι δὲ, καὶ σίνηπι, καὶ κίκι, καὶ κόμμι, καὶ κινάβαρι, καὶ σίμμι, βαρβαρικά εἰσι καὶ τὴν διὰ τοῦ ιος κοινῶς, καὶ εος ἰωνικῶς, καὶ εως ἀττικῶς ἔλαχον κλίσιν. ὧν τὸ σίνηπι, παράδειγμα ἐν τῇ δωτικῇ τῶν συνῃρημένων ἔσται. Σημειῶσαι δὲ καὶ τὰ ἀποκοπὴν πεπονθότα. οἷον, ἄλφι, ἀντὶ ἄλφιτον. ἔρι, ἀντὶ ἔριον. τρόφι, ἀντὶ τρόφιμον. Κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας, ἀντὶ κρῖμνον λευκόν.

Περὶ τῶν εἰς υ, κατάληξις τρίτη.

Τὰ εἰς υ λήγοντα οὐδέτερα, βραχὺ τὸ υ πανταχοῦ ἔχοντα, εἰ μὲν μακρᾷ παραλήγουσι, διὰ τοῦ εος ποιοῦσι τὴν γενικήν. οἷον τὸ πῶϋ, τοῦ πώεος. τὸ ἄστυ, τοῦ ἄστεος. ἐξαιρεῖται τὸ νάπυ, τοῦ νάπυος, καίπερ μακρὸν τὸ να ἔχον. εἰ δὲ βραχείᾳ παραλήγουσι, διὰ τοῦ υος κλίνονται. οἷον, τὸ γόνυ, τοῦ γόνυος. καὶ κατὰ μετάθεσιν, γουνός. καὶ τὸ γούνας, τοῦ γούνατος. ὅθεν καὶ γούνατα. τὸ δόρυ, τοῦ δόρυος. καὶ κατὰ μετάθεσιν δουρός. καὶ τὸ δόρος, τοῦ δόρατος. ὅθεν καὶ τὸ δούρας, τοῦ δούρατος. ἐξ οὗ τὰ δούρατα. καὶ τὸ δόρυ, τοῦ δόρεος, καὶ δόρους. τῷ δόρει, ει. ὅθεν καὶ τὸ ἀριστοφάνειον ἐκεῖνο σεσημειωμένον. Σὺν δόρει καὶ σὺν ἀσπίδι. τὰ δὲ οὐδέτερα τῶν τριγενῶν, ἐπιθέτων, τὴν τῶν ἀρσενικῶν φυλάττουσι κλίσιν. οἷον, τὸ ἡδὺ, τοῦ ἡδέος. τὸ ὠκὺ, τοῦ ὠκέος. τὸ ἥμισυ, τοῦ ἡμίσεος. τὸ δὲ Ἡσιόδειον, Γλάφυ πετρῆεν, ἀντὶ γλαφυρὸν, κατὰ ἀποκοπὴν ἐγένετο. καὶ ταῦτα μὲν περὶ τῶν τελικὰ φωνήεντα ἐχόντων οὐδετέρων. νῦν δὲ καὶ περὶ τῶν σύμφωνα ἐχόντων λέγωμεν, καὶ πρῶτον περὶ τῶν ν πάντων. Τὰ εἰς αν οὐδέτερα ἐπίθετα ὄντα, κατὰ τὴν κλισιν τῶν ἰδίων ἀρσενι-

in is communium suum seruant declinatum, vt amans patriam amantis patriam, quia hic & hæc amans patriã. hoc fugiens ciuitatẽ, fugiens tis ciu tatẽ. quia hic & hæc phygopolis dis. similiter & qdã cuiusdã qa cõiter quidã iusdã idã est dã qdam vndam vsdam osdã grauisone quando indefinitũ est. quis aũt cuius cui quẽ qui quorum quibus quos grauisone, quandointerrogatiuum est. similiter & neutra hoc piper vero & sinapi galla gummi & cinnabary. stimmi, barbara sunt & per ios communiter & eos ionice, & eos attice sortita sunt declinationẽ, quorum sinapi exẽplum in secũda contractorum erit. notabis vero & quæ apocopen passa sunt vt farinæ pro farinæ. lana pro lana. nutritum pro nutritum. ordeum album comedentes, & siligines pro ordeum album.

De in y terminatio tertia.

In y terminata neutra breue y vbiq; habentia, si quidem longa penultimant per eos faciunt genitiuum vt hic grex h⁹ gregis. hæc vrbs huius vrbis. excipitur hæc sinapis huius sinapis & si longum illud na habẽs. si aũt breui penultimant per yos declinantur, vt hoc genu hui⁹ genu, & per trãspositionẽ genu & hoc genu huius genu. vnde & genua. hæc hasta huius hastæ & p transpositionẽ hastę, & hęc hasta huius hastę vnde & hæc hasta huius hastæ, ex quo hę hastæ. & hęc hasta huius hastæ, & hastæ. huic stæ. vnde & Aristophanicũ illud notatum. Cum hasta, & cum scuto. Sed neutra trigenerum adiectiuorum masculinorũ seruãt flexũ, vt hoc suaue huius suauis. hoc velox velocis. hoc mediũ huius dii. illud aũt Hesiodicũ antrũ petrosum p antrum per abscisionem factum. & hęc quidem de finales vocales habentibus neutris, nũc autẽ & de cõsonãtes habentibus dicamus & primum de n omnib⁹. In an neutra adiectiua entia secundum flexum propriorũ

κῶν κλίνονται. οἷον, τὸ πᾶν τοῦ, παντὸς, ὅτι ὁ πᾶς, τοῦ παντός. τὸ μέλαν, τοῦ μέλανος, ὅτι ὁ μέλας, τοῦ μέλανος. Ἔτι τὰ μετοχικά. οἷον, τὸ τύψαν, τοῦ τύψαντος. Ἔτι τὰ εἰς εν πάντα ἐπιθετικὰ, καὶ μετοχικά. οἷον, τὸ χαρίεν, τοῦ χαρίεντος. τὸ τέρεν, τοῦ τέρενος. τὸ τυφθὲν, τοῦ τυφθέντος. τὸ τυθὲν, τοῦ τυθέντος. τὸ ζευγνὺν, τοῦ ζευγνύντος. Ἔτι τὰ εἰς ουν. οἷον, τὸ διπλοῦν, τοῦ διπλοῦντος, τὸ τυποῦν τοῦ τυποῦντος. τὸ χρυσοῦν, τοῦ χρυσοῦντος. πλὴν τῶν ἰσοσυλλάβων συνηρημένων. οἷον, τὸ ὀστοῦν, ἀπὸ τοῦ ὀστέον. τὸ κανοῦν. τὸ χρυσοῦν. τὸ ἀργυροῦν. τὸ χαλκοῦν. τὸ σιδηροῦν. τὸ μολυβδοῦν. ἃ ἰδίαν ἔλαχον κλίσιν. οἷον τὸ χρυσόον, οῦν. τοῦ χρυσόου, οῦ. τῷ χρυσόῳ, ῷ. τὸ χρυσόον, οῦν. τὰ χρυσόα, ᾶ. τῶν χρυσόων. ῶν τοῖς χρυσόοις, οῖς. τὰ χρυσόα, ᾶ. οὕτω καὶ ἁπλοῦν. καὶ διπλοῦν. καὶ τριπλοῦν. καὶ τετραπλοῦν. Τὰ εἰς ον πάντα οὐδέτερα ἰσοσυλλάβως, εἰς ου ποιοῦσι τὴν γενικήν. οἷον, τὸ καλὸν τοῦ καλοῦ. πλὴν τῶν σεσημειωμένων ἐν τῇ τετάρτῃ ἁπλῇ κλίσει. τὸ πλεῖον δὲ ὅτι ἁπλοῦν ἐστι, πλείου πλείου, ὅτε δὲ συγκριτικὸν, πλείονος. ἔτι καὶ τὸ ἄρειον, ἀρείου, καὶ τὸ ἄρειον, τοῦ ἀρείονος. τὰ εἰς αν ἀττικὰ οὐδέτερα ἐκτάσει πεπονθότα, ἀπὸ τῶν εἰς ον κοινῶν εἰς ω ποιοῦσι τὴν γενικὴν ἀττικῶς, ὡς προείρηται. τὰ δὲ εἰς ων μετοχικὰ συνηρημένα. περιττοσυλλάβως κλίνονται. οἷον, τὸ βοῶν, τοῦ βοῶντος. Τὰ εἰς αρ οὐδέτερα ὑπερδισύλλαβα, εἰς τος ποιοῦσι τὴν γενικὴν, οἷον, δέλεαρ, δελέατος. ὄνειαρ, ὀνείατος. ἄλειφαρ, ἀλείφατος. κάρηαρ, καρήατος. ὅθεν καρήατα πολλάκις παρὰ τοῖς ἄλλοις ἀρήσεις, καὶ παρ' Ἀράτῳ. Καρήατα δ' αὖ τοῖς ἀγινεῖ. καὶ κάρητος κατὰ συγκοπὴν, ἀπὸ τοῦ καρήατος. Τῶν δὲ δισυλλάβων τὰ μὲν φύσει μακρὰ παραλήγοντα, εἰς τος ὁμοίως ποιοῦσι τὴν γενικήν. οἷον, ἦμαρ, ἤματος, εἶδαρ, εἴδατος. ἧπαρ, ἥπατος. οὖθαρ, οὔθατος. Τὰ δὲ βραχέα ὑπάρ, ἢ θέσει μακρὰ, εἰς ρος ποιοῦσι τὴν γενικήν. οἷον, ὕπαρ, ὕπαρος. θέναρ, θέναρος νέκταρ, νέκταρος. ἄλκαρ, ἄλκαρος, ἀλλ' σεσημείωται τὸ φρέαρ τοῦ φρέατος, καὶ στέαρ στέατος,

[illegible]inorum declinantur, ut hoc omne h'ois, qa hic ois h'ois. hoc nigrum huius nigri, qa hic niger h' nigri. Item participalia, vt hoc verberans. antis. Item in en omnia adiectiua, & participalia, vt hoc gratiosum huius gratiosi hoc tenerum huius ri. hoc verberatū huius verberati. hoc ponēs h'tis. hoc iūgens huius iungentis. Item in un, vt hoc bipes huius bipedis hoc imprimens entis. hoc maurans huius antis præter parisyllaba contractorum, vt hoc os ossis os. hoc canistrum. hoc aurum argentum. argentum ferreum plumbeum, q̄ peculiarem sortita sunt declinationem, vt hoc aureum. notas aurei huic aureo hoc aureum. hæc aurea horum aureorum. his aureis. hæc aurea, sic & simplex & duplex, & triplex, & quadruplex. In on omnia neutra parisyllabice in ii faciunt genitiuum, ut hoc pulchrū huius chri. præter notata in quarta, simplici declinatione. nauigium aūt qū simplex est nauigii facit, cum aūt cōparatiuum, pluris. Item & hoc martium tii, & hoc melius oris. In on attica neutra productionem passa ab in on communibus in o faciunt genitiuum attice, vt prædictum est. In on participalia cōtracta imparisyllabice flectuntur, ut hoc clamās h' clamātis. In a neutra superbisyllaba in tos faciunt genitiuum, ut esca escæ. somnium nii. unguentum unguenti. caput capitis. vnde capita sæpe apud alios inuenies, & apud Aratum capita autem ipse affert, & capitis per concisionem, a capite. Bisyllaborum autem aliqua natura longa penultimant in tos similiter faciunt genitiuum vt dies diei. esca escæ. epar epatis. uber vberis. Aliqua autē breui vel positione longa in tos faciunt genitiuum, vt veritas tatis. hoc it huius it. nectar ris. auxilium auxilii. notatum est hic puteus tei, & adeps adipis, quæ

περ στεῖαρ καὶ φρεῖαρ ἦσαν. ὅθεν καὶ φρείατα μακρά. ἢ ὅτι τὰ εἰς αρ φυλάττοντα τὸ ρ ἐν ταῖς πλαγίαις, ἑτερόκλιτά εἰσιν. οἷον, φρέαρ, φρέατος, ἀπὸ τοῦ φρέας. στέαρ, στέατος, ἀπὸ τοῦ στέας. δέλεαρ, δελέατος, ἀπὸ τοῦ δέλεας. ἧπαρ, ἥπατος, ἀπὸ τοῦ ἧπας. τὸ ὄναρ δὲ ἄκλιτον. ὅθεν καὶ Συνέσιος ἐν τῷ περὶ ἐνυπνίων,

Εἰ δὲ εἰσὶν ὕπνοι προφῆται, καὶ τὰ ὄναρ θεάματα τοῖς ἀνθρώποις ὀρέγουσιν.

Ἔτι τὰ εἰς αρ παραληγόμενα τῷ ω μεγάλῳ ὥς φησιν ὁ πολυμαθὴς Ἡρωδιανὸς ἄκλιτά εἰσιν. οἷον, μῶμαρ. βῶκαρ. νῶκαρ. πάντα δὲ τὰ εἰς αρ, βραχὺ τὸ α ἔχουσι πανταχοῦ.

Τὰ εἰς ηρ σπανιώτατα ὄντα, ἀπὸ τῶν εἰς αρ κατὰ κρᾶσιν γινόμενα, προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικήν. οἷον, τὸ κῆρ, τοῦ κηρὸς, ἀπὸ τοῦ κέαρ, κέαρος. τὸ ἦρ, τοῦ ἦρος, ἀπὸ τοῦ ἔαρ, ἔαρος. στῆρ, στηρὸς, ἀπὸ τοῦ στέαρ, στέαρος. ὅθεν καὶ ἡ ὀνομαστικὴ περισπᾶται. Καὶ τὰ εἰς υρ σπανιώτατα, ἅπαντα προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικήν. οἷον, τὸ πῦρ, τοῦ πυρός. τούτων δὲ τὸ δίχρονον ἐν τῇ ὀνομαστικῇ μόνῃ ἐκτείνεται. ἐν δὲ ταῖς πλαγίαις, συστέλλεται. Τὰ εἰς ωρ οὐδέτερα προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικὴν, καὶ φυλάττουσι τὸ ω μέγα ἐν ταῖς πλαγίαις. οἷον, τὸ ἔλωρ, τοῦ ἔλωρος. τὸ τέκμωρ, τοῦ τέκμωρος. τὸ δὲ ἀριστοφάνειον Μεμαγμένον σκῶρ ἐσθίειν, ἑτερόκλιτον. τὸ σκατὸς μὲν σκατὶ, ἀπὸ τῆς σκὰς ὀνομαστικῆς. καὶ τὸ ὕδωρ. δὲ ὕδατος ἑτερόκλιτον, ἀπὸ τοῦ ὕδας. ἔστι δὲ τὸ νῦν ἄχρηστον, τὸ ὕδωρ, τοῦ ὕδατος. τῷ ὕδατι. τὸ ὕδωρ. τὰ ὕδατα. τῶν ὑδάτων. τοῖς ὕδασι. τὰ ὕδατα. ἀπὸ τοῦ ὕδας, τοῦ ὕδατος. τὸ μὲν ὕδωρ, ὕδωρος ἀφηλὲ ποιεῖν. ἔστι δὲ παρὰ ποιηταῖς καὶ τὸ ὕδος, τοῦ ὕδεος, καὶ τοῦ ὕδους. ὅθεν καὶ Καλλίμαχος, Ἔστιν ὕδος καὶ γαῖα. τῷ ὕδεϊ, καὶ ὕδει. ὅθεν τὸ τοῦ Ἡσιόδου, Γαῖαν ὕδει φύρειν. τὸ ὕδωρ δὲ ἐν μόνῃ τῇ ὀνομαστικῇ ἐκτείνει τὸ δίχρονον. ἐν δὲ ταῖς πλαγίαις, συστέλλει. Σημειωσαι δὲ καὶ τοῦτο ὅπερ λανθάνει πολλοὺς, ὅτι τὰ εἰς ωρ πάντα, διὰ τοῦ ω μεγάλου γράφονται. κάμορ πλὴν τοῦ ἄνορ. ἄορ. ὕπορ. ὅθεν καὶ τὸ

adeps, & puteus fuerant, vnde & putei lōgi. vel quia in ar seruant r. in obliquis diuersiclinia sunt. vt puteus putei, a puteus. adeps. adipis. a pinguedine esca escæ ab esca. epar epatis, ab epar. somnium ät indeclinabile. vnde & Synesius in libro de somniis. Si autem sunt somnii prophetæ, & somnia visiones hominibus ostendunt. Etiam in ar penultima ntia o magno, vt ait multiscius Herodianus indeclinabilia sunt, vt inuidia bocar difficilimotus. omnia autem in ar breue a habent vbiq;. In ir rarissima entia ab in ar per mixtionem facta appositione os faciunt genitiuum, vt cor. cordis. a cor cordis. hoc ver huius ueris. a ver veris adeps adipis ab adeps, vnde & nominatiuus circunflectitur, & in ir rarissima, quæ appositione os faciunt genitiuū, vt hic ignis huius ignis. huius autem bitēpus in nominatiuo solo producitur. In obliquis autem corripitur. In or neutra appositione os faciunt genitiuum, & seruant o magnum in obliquis, vt laceratio lacerationis. finis finis. Illud autem Aristophanicū pistá merdam comesse diuersiclinuū. merdæ. n. merdæ a merda nominatiuo. & hæc aqua autem aquæ diuersiclinium ab aquæ. Est autem nunc in vsu. hæc aqua huius aquę. huic aequę. hāc aquā. hæ aquæ. harum aquarū. his aquis. has aquas ab aqua huius aquæ. nam aqua aquæ debuit facere. Est aūt apud poetas & hæc aqua huius aquæ & aquæ vnde & Callimachus. est aqua & terra. huic aquæ & aquæ. vnde illud Hesiodi, terram aqua. aqua autem in solo nominatiuo producit bitēpus. In obliquis autem corripit. notabis autem & hoc quod latet multos. quod in or omnia per o magnū scribūtur. pręter anor calor. ensis. cor. vnde &

ἀπ' αὐτῶν μόνα σύνθετα διὰ τοῦ ο μικροῦ γράφονται. οἷον, χρυσάορ. μεγαλήτορ. ἔνιοι δὲ καί τινα ἑβραϊκὰ ἄκλιτα ἐσημειώσαντο διὰ τοῦ ο μικροῦ γραφόμενα. οἷον, ναβουχοδονόσορ. βοσόρ. βυμόρ. χολογολόμορ. Καὶ ταῦτα μὲν περὶ τῶν εἰς ρ. νῦν δὲ περὶ τῶν εἰς σ λέγωμεν. Τὰ εἰς ας οὐδέτερα βραχὺ τὸ α ἔχοντα πανταχοῦ, εἰ μὲν ἔχουσι τὸ α καθαρὸν, ἢ μετὰ τοῦ ρ, εἰς τος ποιοῦσι τὴν γενικὴν κοινῶς, καὶ εἰς αος ἰωνικῶς, καὶ εἰς ως ἀττικῶς. οἷον, τὸ κρέας, τοῦ κρέατος. τὸ γῆρας, τοῦ γήρατος. περὶ ὧν ἐν τῇ πέμπτῃ τῶν συνηρημένων ἐροῦμεν. Καὶ τὰ εἰς λας δὲ εἰς ατος ποιοῦσι τὴν γενικήν. οἷον, τὸ ἅλας, τοῦ ἅλατος. τὸ ἐρυσίπελας, τοῦ ἐρυσιπέλατος. εἰ δὲ πρὸ τοῦ ας ἄλλο σύμφωνον ἔχουσιν, ἄκλιτά εἰσιν. οἷον, τὸ δέμας. τὸ σέλας. βρέτας. λέπας. δέπας εἰ μή που ποιητικὴ ἄδεια. ὡς τὸ ὁμήρειον ἐκεῖνο, Χρυσέοις δὲ δέπεσσιν ἰωνικῶς, ἀντὶ τοῦ χρυσοῖς δέπασιν. Εἰς αυς οὐδέτερον ἓν ἔχομεν, τὸ ςαῦς, τοῦ ςαυτὸς, τὸ ἄλαυρον. Τὰ εἰς ες ἐπιθετικὰ ὄντα, τὴν τῶν ἰδίων ἀρσενικῶν φυλάττουσι κλίσιν. οἷον, τὸ ἀγενὲς, τοῦ ἀγενέος, οῦς. Τὰ εἰς ος οὐδέτερα συνηρημένα ὄντα, εἰς ους κατὰ κρᾶσιν ποιοῦσι τὴν γενικήν. οἷον, τὸ τέλος, τοῦ τέλεος, ους. ὧν ὁ σχηματισμὸς ἐν τῇ πρώτῃ τῶν συνηρημένων λεχθήσεται. Σημειώσῃ δὲ τὸ ὄφελος, καὶ τὸ ἦδος, ἄκλιτα. τὰ δὲ εἰς ος μετοχικὰ, περιττοσυλλάβως κλίνονται. οἷον, τὸ τετυφὸς, τοῦ τετυφότος. Εἰς ως οὐδέτερα δύο εἰσὶ περισπώμενα, ἅπερ διὰ τοῦ τος ποιοῦσι τὴν γενικήν. οἷον, τὸ φῶς, τοῦ φωτός. τὸ ὦς, τοῦ ὠτός. ὅθεν τὸ ὠτίον, τοῦ ὠτίου. τὸ δὲ χρέως τοῦ χρέω, ἀττικόν. Εἰς ους οὐδέτερον τὸ οὖς ἔχομεν ἄκλιτον. ἔστι δὲ καὶ τὸ οὖας, τοῦ οὔατος. ὅθεν καὶ οὔατα. Περὶ μὲν οὖν τῶν ἁπλῶν κλίσεων, καὶ σχηματισμοῦ ὡς οἷόν τε τῶν πτώσεων αὐτῶν, καὶ καταλήξεων τῶν γενῶν, χαρίτε ἡμῖν ἐν τῷ παρόντι δυνυχεστάτῳ εἴρηται. ἑπόμενον δ' ἂν εἴη νῦν καὶ περὶ τῶν συνηρημένων κλίσεων διαλαβεῖν, ἵνα τὸ περὶ ὀνόματος τέλος [illegible]

ab ipsis sola composita per o paruum scribuntur, ut aurẽsis, magnanim⁹. qdã aũt & qdã hebraica ĩdeclinabilia notarũt per o paruum scripta. vt nabuchodonosor. bolor. uomor. cholo. godomor, & hęc quidem de in r, & nunc autem de in s, dicamus. In as neutra breue as habentia vbiq;, si quidem habent as purum, vel cum r, in tos faciunt genitiuum communiter, & in aos Ionice, & in os attice, ut hęc caro huius carnis. hæc senectus, huius senectutis de quib⁹ in quinta contractorum dicemus, & in las autem in atos faciunt genitiuum, ut hoc sal huius salis. hic ignis sacer huius ignis sacri. Si autem ante as aliam ꝯsonantẽ habẽt indeclinabilia sunt, ut hoc corp⁹ hoc lumen. idolũ. promontoriũ. poculum, nisi poetica licentia ut Homericum illud, aureis autem pateris Ionice, pro pateris. In es neutrum unum habemus. hæc farina huius farinæ idest farina. In es adiectiua entia ꝑpriorũ masculinorũ seruãt declinationẽ, vt nobile. h⁹ nobilis. In os neutra contracta entia in us per mixtionem faciunt genitiuũ, ut hic finis huius finis. quorum formatio in prima contractorum dicetur. Notabis aũt vtilitas & voluptas indeclinabilia. In os aũt participalia impariliter flectuntur. hoc uerberatũ huius rati. In os neutra duo sunt circunflexa, quæ per tos faciunt genitiuum, ut hoc lumen h⁹ nis. hæc auris h⁹ris. vnde hęc auricula, h⁹ culæ sed debitũ huius ri. atticum. In us neutrum. hæc auris habemus indeclinabile est aũt & hęc auris, hui⁹ auris. vñ & aures. De simplicibus autem declinationibus, & formatione casuum ipsorum & terminationum generum vt possibile nobis in præsenti infortunatissimo tempore dictum est Sequens autem sit nunc & de contractis declinationibus tractare, vt de nomine finem habeat.

Περὶ τῶν πέντε κλίσεων τῶν συνῃρημένων ὀνομάτων.
Τμῆμα ἕκτον.

Τῶν ὀνομάτων ὡς εἴρηται, τὰ μὲν ἁπλᾶ καὶ ἀπαθῆ καλοῦνται ὅσα μὴ ἐπιδέχονται πάθος, συναίρεσιν λέγω, καὶ κρᾶσιν. τὰ δὲ συνῃρημένα, καὶ ἐμπαθῆ, ὅσα τὸ πάθος ἐπιδέχονται. τούτων δὲ τὰ μὲν, καλοῦνται ὁλοπαθῆ, ὅσα ἰσοσύλλαβα ὄντα, τὸ πάθος ἐν πάσαις ταῖς πτώσεσιν ἐπιδέχονται, ὡς τὰ εἰς οος. οἷον, νόος, νοῦς, περὶ ὧν εἴρηται. τὰ δὲ, ὀλιγοπαθῆ, καὶ πολυπαθῆ, ὅσα περιττοσύλλαβα ὄντα, ἐν ὀλίγαις ἢ πλείοσι πτώσεσι τὸ πάθος δέχονται, ὡς τὰ εἰς υς, καὶ εἰς ους. περὶ ὧν εἴρηται. χωρὶς δὲ τούτων εἰσὶν ἃ περιττοσύλλαβα ὄντα ἁπλῶς, συναίρεσιν καὶ κρᾶσιν ἐπιδέχονται, καί τινα ἰδιώματα. ὅθεν καὶ συνῃρημένα ἰδίως προσηγορεύθησαν. διαιροῦνται δὲ εἰς πολυπαθῆ, καὶ ὅσα ἐν πλείοσι ταῖς πτώσεσι συναιροῦνται. ὀλιγοπαθῆ, ὅσα ἐν ὀλίγαις. τούτων ὡς ἔγνωκας, πέντε κλίσεις εἰσὶ, περὶ ὧν ἐρῶ ἀρχόμενος ἀπὸ τῆς πρώτης.

Περὶ τῆς πρώτης κλίσεως τῶν συνῃρημένων.

Ἡ πρώτη κλίσις τῶν πολυπαθῶν συνῃρημένων τρεῖς καταλήξεις ἔχει. μίαν εἰς ης ἀρσενικῶν, καὶ θηλυκῶν, καὶ κοινῶν ὀνομάτων. οἷον, ὁ Δημοσθένης. ἡ τριήρης. ὁ καὶ ἡ ἀληθής. δύο δὲ οὐδετέρων εἰς ες καὶ εἰς ος. οἷον, τὸ ἀληθές. τὸ τεῖχος. Τὰ εἰς ης κύρια παρ' οὐδετέρων ἐν τῷ τέλει συντεθειμένα εἰς ους κατὰ κρᾶσιν ποιοῦσι τὴν γενικήν. οἷον, Δημοσθένης. Διογένης. Ἀριστοτέλης. Πολυνείκης. Ἔτι τὰ εἰς ης κύρια συντιθέμενα ἀπὸ ῥημάτων. οἷον, Πολυδάκης. Ἀριστοφάνης. Διομήδης. Διοπείθης. Ἔτι τὰ ἀπὸ τοῦ κρατῶ. οἷον, Σωκράτης. Ἱπποκράτης. Ἰσοκράτης. Ἔτι τὰ εἰς ης κοινὰ, ἐπίθετα, διγενῆ, καὶ οὐδέτερον εἰς ες ἔχοντα. οἷον, ἀγενής. ἀσεβής. κακοήθης. Ἔτι τὰ διὰ τοῦ ωρης, καὶ ηρης, καὶ ωδης. Ἀλλὰ περὶ μὲν τούτων ἀκριβέστερον ἐν τῇ δευτέρᾳ καταλήξει εἴρηται. Ὁ νῦν δὲ σχηματιστέον ἐστὶ τὰ τῆς πρώτης κλίσεως. Δημοσθένης πόθεν παράγεται; ἀπὸ τοῦ δῆμος καὶ τοῦ σθένους.

De quinq; declinationibus contractorum nominum. Sectio sexta.

Nominum vt dictũ est, aliqua quidẽ simplicia & impassa vocantur quęcũq; ñ suscipiũt passionẽ cõtractionem dico & mixtionem. sed contracta, & patiẽtia quęcunq; passionem suscipiunt, horum autem aliqua vocantur paucipatientia q̃cũq; parisyllaba entia passionẽ ĩ oibus casibus suscipiũt. vt in oos, vtimens, de quibus dictũ est. Aliq̃ aũt paucipassa, & multipassa quæcũq; ĩparisyllaba entia in paucis vel pluribus casibus passionẽ suscipiũt. vt in ys & in us, de quibus dictum est præter hæc, sunt quæ imparisyllaba entia simpliciter contractionẽ & mixtionẽ suscipiũt & quasdã ꝓprietates, vnde & cõtracta peculiariter appellata sũt. Diuidit ãt ĩ multipassa quęcunq; in pluribus casibus contrahuntr, & paucipassa quæcũq; in paucis, horum vt cognitum est, quinq; flexus sunt, de quibus dicam incipiens a primo.

De prima declinatione contractorum.

Prima flexio multipassorum contractorum tres terminationes hẽt vnã in is masculinorũ & fœmininorũ & cõium nominũ. vt osthenes. hęc triremis. hic & hæc vetex. duas autem neutrorũ in es & ĩ os vt hic murus. In is propria a neutris in fine composita in ũs per cõmixtionẽ faciũt gtũm vt Demosthenes. Diogenes. Aristoteles. Polynices. Etiam in is ꝓpria composita a verbis vt Pollux. Aristophanes. Diomedes. Diopetes. Etiam a teneo vt Sociates. Hippocrates. Isocrates. Etiam in is cõia adiectiua bigenera neatrum in es habentia vt nobilis. pius vitiosus. Etiam quæ per eris, & iris & odis. Sed de his diligentius in secunda terminatione dictum est. Nunc autem formanda sunt quæ primę flexionis. hic demosthenes vnde deducitur? a populo & robore

Ἡ γενική· τοῦ Δημοσθένεος ἰωνικῶς, καὶ κράσει Δημοσθένους κοινῶς καὶ ἀττικῶς. τὸ γὰρ ε καὶ ο εἰς ου κιρνᾶται. Ἡ δοτική· τῷ Δημοσθένεϊ ἰωνικῶς ἀπὸ τῆς γενικῆς, τροπῇ τοῦ ος εἰς ι· καὶ κατὰ συναίρεσιν, Δημοσθένει. κοινῶς γὰρ τὸ ε καὶ ι εἰς ει δίφθογγον συναιρεῖται. τὸ δὲ παρὰ Πινδάρῳ ἐν ὕμνῳ Ἀγησιδάμου παρ᾽ ἀκλεῖ δίεκα, κατὰ τὴν συγκοπὴν ἐγένετο ἀπὸ τοῦ ἀκλεέϊ. Ἡ αἰτιατική· τὸν Δημοσθένεα ἰωνικῶς ἀπὸ τῆς δοτικῆς, τροπῇ τοῦ ι εἰς α, καὶ κράσει, Δημοσθένη, τὸ γὰρ ε καὶ α εἰς η ἐν τῇ ἑνικῇ αἰτιατικῇ κιρνᾶται. καὶ ἀττικῶς Δημοσθένην. οἱ γὰρ ἀττικοὶ ἐπὶ τῶν εἰς ης κυρίων εἰς ους ἐχόντων τὴν γενικήν, εἰς ην ποιοῦσι τὴν αἰτιατικήν, τὸν Δημοσθένην, τὸν Ἀριστοφάνην, τὸν Διομήδην λέγοντες. ἐπὶ δὲ τῶν ἐπιθέτων διγενῶν, εἰς η μόνον· οἷον, τὸν δυστυχῆ. τὸν ἀληθῆ. Σημείωσαι δὲ καὶ τοῦτο, ὅτι ὅτε πρὸ τοῦ ε τῶν τοιούτων ἰωνικῶν αἰτιατικῶν εὑρίσκεται σύμφωνον, τότε μόνον ἡ κρᾶσις γίνεται εἰς η. οἷον, τὸν ἀληθέα, καὶ ἀληθῆ. τὸν ἀσεβέα, καὶ ἀσεβῆ. ὅτε δὲ εὑρίσκεται φωνῆεν, γίνεται ἡ κρᾶσις καὶ εἰς α. οἷον, τὸν ἀφυέα, καὶ ἀφυῆ, καὶ ἀφυᾶ, τὸν ὑγιέα, καὶ ὑγιῆ, καὶ ὑγιᾶ. τὸ δὲ πολλάκις ῥηθὲν ἐκεῖνο ὁμηρικὸν

Δυσκλέα ἄργος ἱκέσθαι ἐπεὶ πολὺν ὤλεσα λαόν,

ἀπὸ τοῦ δυσκλεέα κατὰ συγκοπὴν ἐγένετο διὰ τὸ μέτρον. Ἡ κλητική· ὦ Δημόσθενες. τὰ γὰρ εἰς ης συγκείμενα κοινῶς, εἰς ες ποιοῦσι τὴν γενικήν. οἷον, ὦ Δημόσθενες. ὦ Διόμηδες. ὦ Ἀριστόφανες. καὶ τὰ μὲν κύρια καὶ ἐπίθετα βαρύτονα προπαροξύτονον ἔχουσι τὴν κλητικήν. οἷον, ὦ Ἀριστότελες, ὦ μεγάκητες. τὰ δὲ ἐπίθετα ὀξύτονα, ὀξύτονον. οἷον, ὦ εὐσεβές, ὦ ἀσεβές. ὦ ἀληθές. οἱ ἀθηναῖοι δὲ ἐπὶ τῶν εἰς ης κυρίων εἰς η ποιοῦσι τὴν κλητικήν. οἷον, ὦ Δημοσθένη, ὦ Ἀριστοφάνη. ἐπὶ δὲ τῶν ἀπὸ τοῦ κλέος συντεθειμένων, ὁμοίαν ποιοῦσι τῇ ὀνομαστικῇ. οἷον, ὦ Ἡρακλῆς. καὶ ἐπὶ τῶν ἐπιθέτων σπανίως οἷον, ὦ ἀληθής. Ἡ ὀνομαστικὴ δυϊκὴ καὶ ἡ κλητική, ἀπὸ τῆς δοτικῆς κατὰ τροπὴν τοῦ ι εἰς ε. τῷ Δημοσθένεϊ, τὼ Δημοσθένεε, ὦ Δημοσθένεε ἰωνικῶς, καὶ κατὰ κρᾶσιν κοινῶς, Δημοσθένη· τὰ γὰρ δύο εε ἐνταῦθα εἰς η κιρνῶνται. σπανιώτατα δὲ εἰς

Gtūs huius Demosthenis ionice, & mixtione sthenis communiter, & attice. nam e & o in u miscentur. Datiuus hi Demosthenes ionice a genitiuo mutatione os in i & per synerasin Demosthenes. cõiter. n. e & i in ei diphthongũ contrahunt. illud at apud Pindarum in hymno. agesidami apud gloriosam dircem per concisionem factum est, a glorioso. accusatiuus hunc Demosthenẽ ionice a datiuo mutatione iota in a & per mixtionẽ sthenẽ. Nã e & a in ita in singulari accusatiuo miscentur, & attice Demosthenẽ. nã attici in is propriis nes habentibus genitiuum, in in faciunt Actũm. hunc Demosthenem. hunc Aristophanem. hũc Diomedẽ dicẽtes. In adiectiuis bigñibus in ita solũ vt infortunatum uerum. nota autem & hoc, q quando ante e huiusmodi ionicorum actũm inuenitur cõsonãs, tunc solum mixtio fit in ita, vt verum & verum. pium & piũ. Quando aũt inuenitur cõsonans fit mixtio in ita & in a vt ingeniosum, & ingeniosum, & ingeniosum. sanum, & sanum. Sed sæpe dictum illud Homericum inglorium argos ire postquam multũ perdidi populum inglorio per concisionem factum est propter metrũ. Vtūs o Demosthenes. Nam in is contracta cõiter in es faciunt vocatiuum, vt o Demosthenes. o Diomedes. Aristophanes & propterea, & adiectiua grauisona propenacutum habent vocatiuum, vt Aristoteles ingens. Adiectiua autem acutisona, acutisonum, vt o pie o vere. hi Athenienses autem in is propriis in ita faciunt nominatiuum, vt o Demosthene. o Aristophane. In iis aũt, quæ a gloria cõponunt similẽ faciunt ntõ, vt o Hercules, & in adiectiuis similiter, vt o vere. Nominatiuus dualis, & vocatiuus a datiuo, mutatione iota in e, huic Demostheni hi Demosthenes o Demosthe. ionice, & per mixtionem cõiter thenes. nam duo e hic in ita miscentur. Rarissime autem in

pro impellebat. nominabat pro nabat. Cum autem verbum incipit a tribus his mutabilibus vocalibus attici faciunt propriũ præteritum actiuum passiuum, & medium ne indigeant præteritorum a vocali incipientium, principales duas literas præsentis apponentes communi præterito, & tertiam syllabam, si longa fuerit, plerunq; corripientes, in qua trisyllabis, vngo vnxi communiter, & vnxi attice. venio veni. veni communiter, & attice veni. fero tuli. & tuli. iuro iuraui, & iuraui. vngor vnctus sum, & vnctus sum. in quibusdam aũt solum apponitur e in præterito imperfecto & præteritum, vt videbam videbam. vidi, vidi, vidi. emo emebã emi. sed itellexit et xit, et dixi poetica. sunt vero q̃dã quorũ tertia corripitur. erraui erraui. contextus sum. firmaui a firmo firmaui ad differentiam litigaui a litigo factum. sed si verbum incipit a diphthongo, vel a mutabili, vel ab immutabili, siq̃dẽ ab immutabili videlicet. eu. ei u nulla mutatio fit in præteritis, vt dormio. ebam. et ebam attice. assimilo. assimilabã, et milabã attice. meio. meiebã. sed si incipit a mutabili videlicet αι. αου. οι. fit eadem mutatio mutatarum vocalium. si ab αι, vertitur a in ita, & illud i subscribitur, vnde & ita diphthongus est abusiua. eleuo uabã aui ram. aui indefinitũ primũ non subscriptum ab eleuabo futuri factus. similiter et quæ ab ipso. eleuabo abo aui, sine i, sed si ab au, vertitur a in ita. stabulor abar atus sum. atus fuerã. atus sum. sed si ab οι vertitur o purum in o ... gnum et i subscribitur. misereor. ebar. misertus sum. præter notata immutabilia. solus sum. solus fui. ... est solus fui. ploro. aui. ebrio. aui. uinum emo. ebam. concito. aui auguror. abar. auguror. abar. auguror. abar. temonem rego regebam

οἰκονομῶ, ᾠκονόμουν. οἰακοστροφῶ, οἰακοστρόφουν. ἔνιοι δὲ καὶ τὸ οἰδαίνω καὶ οἰκουρῶ ἐσημειώσαντο. Εἰ δὲ ἀπὸ συμφώνου ἄρχεται τὸ ῥῆμα, ὁ παρατατικὸς καὶ ἀόριστος πρῶτος καὶ δεύτερος προσλαμβάνουσιν ε, ὅπερ αὔξησιν συλλαβικὴν καλοῦμεν. γράφω. ἔγραφον. ἔγραψα. ἔγραφον. οἱ δὲ ἀττικοὶ αὔξησιν ἐπαυξήσει ποιοῦντες, ἠδυνάμην, ἀντὶ ἐδυνάμην, καὶ ἠβουλόμην, ἀντὶ ἐβουλόμην, καὶ ἤμελλον, ἀντὶ ἔμελλον λέγουσιν. Ὅτε δὲ ὁ παρατατικὸς ἄρχεται ἀπὸ μακρᾶς φύσει, ὡς ἐπὶ τῶν ἀπὸ φωνήεντος ἀρχομένων, ἀπὸ τῆς αὐτῆς ἄρχεται καὶ ὁ παρακείμενος. ἠγόραζον, ἠγόρακα. ὠνόμαζον, ὠνόμακα. Ὅτε δὲ ἄρχεται ἀπὸ μακρᾶς θέσει, ὡς ἐπὶ τῶν ἀπὸ δύο συμφώνων ἀρχομένων, ἀπὸ τῆς αὐτῆς ἄρχεται καὶ ὁ παρακείμενος. οἷον, ἔφθειρον, ἔφθαρκα. ἔσπειρον, ἔσπαρκα. Ὅτε δὲ ὁ παρατατικὸς ἄρχεται ἀπὸ βραχείας ἢ κοινῆς, ὡς ἐπὶ τῶν ἀπὸ συμφώνου ἀρχομένων, ἀναδιπλασιάζεται ὁ παρακείμενος διὰ τοῦ αὐτοῦ πρώτου συμφώνου τοῦ ἐνεστῶτος μετὰ τοῦ ε. ἔτυπτον, τέτυφα. ἔλεγον, λέλεχα. ἔγραφον, γέγραφα. ἔπλυνον, πέπλυκα. χωρὶς τῶν ἀρχομένων ἀπὸ γν, καὶ γρ. γνωρίζω, ἐγνώριζον. ἐγνώρικα. γρηγορῶ, ἐγρηγόρουν. ἐγρηγόρηκα. διὰ γὰρ κακοφωνίαν τῶν δύο γγ οὐκ ἀναδιπλασιάζονται. καὶ πλὴν τῶν ἀρχομένων ἀπὸ ρ διὰ τὴν αὐτὴν αἰτίαν. ῥαπίζω, ἐρράπικα. διπλοῦν δὲ τὸ ρ ἐν τούτοις παρὰ τοῖς ῥήτορσι. παρὰ ποιηταῖς δὲ πολλάκις διὰ τὸ μέτρον ἐκβάλλεται τὸ ἓν ἐν τοῖς παρασχημένοις. τὸ δὲ ῥερυπωμένα ἀντὶ ἐρρυπωμένα, κατὰ μετάθεσιν καὶ ῥεραπισμένῳ νώτῳ, ἀντὶ ἐρραπισμένῳ. καὶ ῥερῖφθαι ἔπος, ἀντὶ ἐρρῖφθαι παρὰ Πινδάρῳ. καὶ ἄλλα πολλὰ διὰ τὸ μέτρον ἐγένετο. καὶ πλὴν τῶν ἀρχομένων ἀπὸ διπλῶν, ζ ξ ψ. ζῶ, ἔζηκα. ξέω, ἔξεκα. ψάλλω, ἔψαλκα. Τὰ δὲ ἀπὸ δασέων θ φ χ. ἀρχόμενα, ἀναδιπλασιάζονται μὲν, τρέπονται δὲ τὰ δασέα εἰς τὰ ἀντιστοιχοῦντα ψιλά. τὸ μὲν θ, εἰς τ τρέπεται. θεωρῶ, τεθεώρηκα. τὸ φ, εἰς π. φωνῶ, πεφώνηκα. τὸ δὲ χ, εἰς κ, χανῶ, κεχώνακα. Ὅτε δὲ ὁ ἐνεστὼς ἄρχεται ἀπὸ λ, ἢ μ, οἱ ἀττικοὶ

temonem verto. vertebã temonẽ verto. bã. qdã vero & tumeo, & dormituor notauerunt. ſed ſi a conſonante incipit verbum præteritum & indefinitum primum & ſecundum aſſumunt e, quod augumentum ſyllabicum vocamus. ſcribo bebam ſcripſi. ſcripſi. ſed attici augumentum ſupra augumentum facientes poterã pro poteram, & volebam pro volebam, & debui pro debui dicunt. quando vero præteritum incipit a lõga natura, vt in a vocali incipientibus ab eadem incipit & ptũm perfectum emebam. emi. nominabam nominaui. ſed quando incipit a longa poſitione, vt in a duabus conſonantibus incipientibus, ab eadẽ incipit & preteritum perfectum, vt corrũpebam corrupi: ſeminabam aui. Cum autem ptũm perfectum incipit a breui, vel communi, vt in a cõſonante incipientibꝰ reduplicatur ptũm perfectum per eandem primam conſonantem præſentis cum e. verberabã auí. dicebã dixi. ſcribebam ſcripſi. lauabam laui. preter incipientia a gn, & gr. cognoſco. cognoſcebã cognoui. vigilo vigilabam. vigilaui. propter enim inuocalitatẽ duorum gamma non duplicantur, & præter incipiẽtia ab r. propter eandem cauſam. depalmo. depalmaui duplex aũt r in iſtis apud rhetores. apud poetas autem ſepe propter metrum abiicitur vnum in prete ritis, ſed ſordida pro ſordida per tranſpoſitionem. & depalmato humero, pro depalmato, & iactum eſſe verbũ pro iactum eſſe apud Pindarũ, & alia poetica pp metrũ factum eſt, & præter incipientia a duplicibus z x pſ. viua. vixi. polio polui. cano cecini. ab aſpiratis aũt th ph ch. incipientia duplicãtur quidem, ſed mutant aſpiratas in proclementeres tenues. th. quidẽ in t vertitur cõteplor contemplatus ſum ph. in p. occido, occidi. ſed ch. in c. conflo. conflaui. quãdo vero præſens incipit ab l vel m attici

ποιοῦσιν ἴδιον παρακείμενον ἐκβολῇ τοῦ πρώτου ἀμεταβόλου, καὶ προσλήψει τοῦ ι. λήβω, λήψω, λέληφα κοινῶς, καὶ εἴληφα ἀττικῶς. μέρομαι, μεροῦμαι μέμαρμαι, καὶ εἵμαρμαι. ὅθεν καὶ εἱμαρμένη. Ὅτι δὲ ὁ παρακείμενος ἄρχεται ἀπὸ συμφώνου, μετὰ τοῦ ἀναδιπλασιασμοῦ βραχεῖαν ἔχει τὴν ἄρχουσαν, τέτυφα. ἢ κοινὴν, δύο συμφώνων ἑπομένων. ὧν τὸ μὲν πρῶτον, ἄφωνον. τὸ δὲ δεύτερον ἀμετάβολον. γέγραφα, καὶ πέπλυκα. σεσημείωται τὸ μέμνημαι, κέκτημαι, καὶ ἔκτημαι. ἄρηται. πέπαμαι, πέπακα, εἰ καὶ μὴ ἔχουσιν ἀμετάβολον μετὰ τὸ ἄφωνον, ὅμως ἀναδιπλασιάζονται ὡς τὰ ἀπὸ τὰ κοινὴν συλλαβήν. Ἐπεὶ μὲν ὁ μέλλων ἄρχεται ἀπὸ συμφώνου ἰσοσυλλαβεῖ αὐτῷ ὁ κοινὸς παρακείμενος, ἀγοράσω. ἠγόρακα. ὀμόσω, ὤμοκα. εἰ δὲ ἀπὸ συμφώνου, περιττεύει. τύψω, τέτυφα, ποιήσω, πεποίηκα. Ὁ ὑπερσυντέλικος ἐν τοῖς ἀπὸ φωνήεντος ἀρχομένοις ἰσοσυλλαβεῖ καὶ ὁμοχρονεῖ τῷ παρακειμένῳ. ἠγόρακα, ἠγοράκειν. ἔφθακα, ἐφθάκειν. ἐν δὲ τοῖς ἀπὸ συμφώνου ἀρχομένοις ὑπὲρ τὰς τοῦ παρακειμένου συλλαβὰς, προσλαμβάνει ε αὔξησιν συλλαβικήν. τέτυφα, ἐτετύφειν. γέγραφα, ἐγεγράφειν. μεγεθύνεται δὲ πολλάκις ἐν τοῖς ἀττικοῖς τοῖς ἀπὸ βραχέος ἀρχομένοις. ὀμώμοκα, ὠμωμόκειν. ἀκήκοα, ἠκηκόειν. τὰ δὲ ἐλήλυκα, ἐλελύκειν, ἐλήλυθα, ἐληλύθειν, ἀλήλιφα, ἀλλίφειν, οὐ μεγεθύνονται. καὶ ταῦτα μὲν ἐκ τοῦ πολυμαθοῦς Ἡρωδιανοῦ περὶ τῶν παρακειμένων γενικῶς· νῦν δὲ εἰδικῶς περὶ πάντων τῶν χρόνων τεχνολογητέον.

Περὶ ἐνεστῶτος.

Ὁ ἐνεστὼς, τύπτω. Τὸ τυς ψιλόν. τινὰ γὰρ τῶν εἰς πτω τῷ υ παραλήγουσι. τύπτω. κρύπτω. κύπτω. δρύπτω. Ἐπὶ τοῦ τυς ὀξεῖα. μακρὸν γὰρ πρὸ μακροῦ παροξύνεται. Τὸ πτω; μέγα. πᾶν γὰρ ῥῆμα εἰς ω εἴτε βαρύτονον, εἴτε περισπώμενον, διὰ τοῦ ω μεγάλου γράφεται. ἔστι δὲ καὶ τυπτέω ῶ περισπώμενον, τυπτήσω ἀττικῶς. Τὸ δεύτερον τύπτεις, ἀπὸ τοῦ πρώτου, ἀμοιβῇ τοῦ ω εἰς ει

faciunt suum præteritum perfectum abiectione primæ immutabilis, & assumptione. i. accipio. accipiam accepi communiter, & accepi attice. sortiar sortiar. sortitus sum & sortitus sum, vnde & fas. Quando autem prçteritum imperfectum incipit a cõsonãte cum reduplicatione, breuem habet primam. verberaui, vel cõmunem duabus cõsonantibus sequẽtibus. quorũ prima muta, sed secunda liquida. scripsi laui. notatum est memini. possedi & possedi inuentum est, volo, cecidi. quamuis non habeant liquidam post mutam. tamen reduplicantur tanq̃ facientia communem syllabam. Item si futurũ incipit a cõsonante æquat syllabis ipsum cõmune præteritũ perfect. emam emi iurabo. iuraui. sed si a consonante, abundat. verberabo raui. faciam feci. præteritum plusquãperf. in a vocali incipientibus æquat syllabis, & temporibus præteritum pfectum. emi emerã. corrupi. corruperam. In a consonante autem incipiẽtibus supra prçteriti perfecti syllabas, assumit e augumentum syllabicum verberaui raueram. scripsi scripseram. Producitur autem sæpe in atticis a breui incipientibus. iuraui iuraueram. audiui audiueram. sed veni veneram, veni veneram. vnxi vnxeram, non producuntur. & hçc vero ex multiscio Herodiano de præteritis generaliter, nunc vero specialiter de oibus tpibus artificiose dicendum.

De præsenti.

Prçsens verbero. Illud ti? tenue. Quædam enim in pto y penultimant verbero. abscondo. inclino. lanio supra ti? acutus, longa enim ante longam penacuitur. Illud pto? magnũ omne.n. verbũ in ω siue grauisonum, siue circũflexum per o magnũ scribitur. est vero & verbero circunflexum. verberabo attice. secunda verberas a prima mutatione o in is,

καὶ αἰολικῶς τύπτεις, τῆς ει εἰς η τρεπομένης. οἱ δὲ δωριεῖς τὸ ι τῆς διφθόγγου ἐκβάλλοντες τύπτες λέγουσιν. ὅθεν καὶ Θεόκριτος, Αδὺ δὲ καὶ τὺ συρίσδες, ἀντὶ συρίζεις. τὰ δὲ δεύτερα καὶ τρίτα τῶν ὁριστικῶν, διὰ τῆς ει διφθόγγου γράφεται. τὰ δὲ τῶν εὐκτικῶν, διὰ τῆς οι διφθόγγου. τὰ δὲ τῶν ὑποτακτικῶν, διὰ τοῦ η ὑπογεγραμμένου. Τὸ τρίτον τύπτει, ἀπὸ τοῦ δευτέρου, ἐκβολῇ τοῦ σ. καὶ αἰολικῶς, τύπτη διὰ τοῦ η. Τὸ δυϊκὸν πρῶτον, οὐκ ἔστιν ὅτε τὸ πληθυντικὸν πρῶτον πρόσωπον εἰς μεν λήγει. Τὸ δεύτερον καὶ τρίτον ὁμοφώνως ἀπὸ τοῦ πληθυντικοῦ δευτέρου ἀμοιβῇ τοῦ τε εἰς τον, τύπτετε, τύπτετον, τύπτετον. οἱ δὲ αἰολεῖς ἀριθμὸν δυϊκὸν οὐκ εἶχον. οὓς καλῶς ποιήσαντες οἱ ῥωμαῖοι ἐμιμήσαντο. οἱ δὲ ἀθηναῖοι ἔφθειρον. ὅθεν καὶ ὁ δυϊκὸς ἀριθμὸς ἀπὸ τοῦ πληθυντικοῦ σχηματίζεται. εἰ δὲ βούλει, καὶ ἀπὸ τοῦ ἑνικοῦ σχηματίσαι. ὁμοφωνοῦσι δὲ τὰ δυϊκά, ὡς εἴρηται, ὅτε τὸ πληθυντικὸν τρίτον πρόσωπον εἰς ιν εἰς αι λήγει. Τὸ πληθυντικὸν πρῶτον ἀπὸ τοῦ ἑνικοῦ πρώτου, συστολῇ τοῦ ω εἰς ο, καὶ προσθέσει τοῦ μεν. τύπτω, τύπτομεν. καὶ δωρικῶς, τύπτομες, τροπῇ τοῦ ν εἰς σ. Τὸ πληθυντικὸν δεύτερον ἀπὸ τοῦ πρώτου, τροπῇ τοῦ ο εἰς ε, καὶ τοῦ μεν εἰς τε. τύπτομεν, τύπτετε. Τὸ τρίτον τύπτουσιν, ὁμοφώνως τῇ δοτικῇ πληθυντικῇ τῆς μετοχῆς ἀπ' αὐτῆς γινόμενον, ἢ ἀπὸ τῶν δυϊκῶν, ἀμοιβῇ τοῦ ετον εἰς ουσι. καὶ δωρικῶς, τύπτοντι, ὥσπερ πλέκοντι παρὰ Πινδάρῳ, ἀντὶ πλέκουσι. καὶ βοῶντι, ἀντὶ βοῶσι. καὶ γελῶντι, ἀντὶ γελῶσι. Τὰ δὲ εἰς σι καὶ εἰς ε τρίτα πρόσωπα ἑπομένου μὲν φωνήεντος, ἐφέλκουσι. συμφώνου δέ, οὔ. ἀττικῶς δέ, καὶ συμφώνου ἐπιφερομένου. ἰωνικῶς δέ, οὔ.

Περὶ παρατατικοῦ.

Ο παρατατικὸς ἀπὸ τοῦ ἐνεστῶτος, ἀμοιβῇ τοῦ ω εἰς ο, καὶ προσθέσει τοῦ ε τῆς συλλαβικῆς αὐξήσεως, ὅτε τὸ ῥῆμα ἀπὸ συμφώνου ἄρχεται, τύπτω, ἔτυπτον. ἢ ἀπὸ τῆς γενικῆς μετοχικῆς, ἐκβολῇ τοῦ τος, τύπτοντος

& æolice verberas eicta in ita mutantia. sed dores
iota diphthongi eiicientes verberas dicunt, vnde
& theocrit⁹. suauiter vero & tu fistularis pro fistula canis
Secundæ vero & tertiç indicatiuorū p e iota dipht.
scribuntur. sed optatiuorum per o iota diphthongū.
Subiunctiuorum autem per ita subscriptum habentem.
tertia verberat a secunda abiectione s, &
æolice verberat per ita dualis prima non est,
quia pluralis prima persona in men desinit.
Secunda & tertia conuociter a plurali secunda
mutatione te in ton. verberate verberate berent.
sed æoles numerum dualem non habent, quos
bifacientes Romani imitati sunt. Athenienses vero
inuenerunt. vnde & dualis numerus a plurali
formatur. sed si uis a singulari formabis
consonant autem dualia, vt dictum est. quando pluralis
tertia persona in iota vel in æ desinit pluralis pri-
ma, a singulari prima correptione o in o & appositiōe
men verbero verberamus, & dorice verberamus,
mutatione n in s. pluralis secunda a prima
mutatione o in e, & men in te. verberauimus ratis.
tertia vertebant, conuociter datiuo plurali
participii ab eo facta, vel a dualibus,
mutatione eton, in us, & dorice verberant, vt
plicant apud Pindarum pro plicant. & clamant pro
clamant, & rident pro rident, sed in si & in æ tertiæ
personæ sequente vocali trahunt, consonante
vero nō. sed attice & consonātes illata. Ionice vero nō.

De preterito imperfecto.

Præteritū imperfectū a præsenti mutatione o in o, &
appositione syllabici augumenti. quando verbum
a consonante incipit. verbero verberabam. vel
a genitiuo participii abiectione tos verberantis,

ἔτυπτον. καὶ κατ᾽ ἀφαίρεσιν, τύπτον παρὰ ποιηταῖς.
Τὸ δεύτερον ἔτυπτες ἀπὸ τοῦ πρώτου, τροπῇ τοῦ ο εἰς ε.
Τὸ τρίτον ἔτυπτεν, ἀπὸ τοῦ δευτέρου, ἐκβολῇ τοῦ σ. καὶ κατ᾽ Ἴω-
νας τύπτεσκεν. οἱ γὰρ αὐτοὶ ἀφαιροῦντες τὸ ε τῆς αὐξήσεως,
καὶ προστιθέντες τῷ τρίτῳ προσώπῳ τοῦ παρατατικοῦ καὶ
ἀορίστου δευτέρου τῶν βαρυτόνων πρὸ τοῦ ε σκ, τύπτεσκε.
λέγουσι, καὶ λέγεσκε, καὶ λάβεσκεν. ὁμοίως καὶ τῷ τρίτῳ
τῆς πρώτης συζυγίας τῶν περισπωμένων, καὶ τῆς πρώτης
τῶν εἰς μι. ποίεσκε. τίθεσκεν. ὁ δὲ παρατατικὸς τῆς δευτέρας
συζυγίας τῶν περισπωμένων τὸ α ἔχει. μυκῶ, ἐμύκων,
μύκεσκεν. ὡσαύτως καὶ ὁ παρατατικὸς καὶ ἀόριστος
δεύτερος τῶν εἰς μι. ἵστημι, ἵστης, ἔστην, ἔστης, στάσκε.
τὰ δὲ τῆς τρίτης τῶν περισπωμένων καὶ τῶν εἰς μι, τὸ ο μικρὸν
ἔχουσιν. ἐχρύσουν, χρύσοσκεν. ἐδίδων, δίδοσκε. τὰ δὲ τῆς
τετάρτης τῶν εἰς μι, συστέλλει μόνον τὸ δίχρονον πρὸ τοῦ σκε.
ἐζάγνυν, ζάγνυσκεν. ἔδυν, δύσκεν. ὁ δὲ ἀόριστος πρῶτος
βαρύτονος, καὶ περισπώμενος, εἴτε τῶν εἰς μι, τὸ α ὀφειλόμενον
ἔχει ἐν τῷ τρίτῳ. οἷον, πλάσασκε. γράψασκε ποιήσασκε. βοήσασκε.
χρυσώσασκε. καὶ ταῦτα μὲν οἱ Ἴωνες. οἱ δὲ ποιηταὶ, κατὰ
μίμησιν τούτων καὶ τοῖς τρισὶ προσώποις προστιθέασι σκ,
χαίρεσκον, χαίρεσκες, χαῖρε λέγοντες. Τὸ δυϊκὸν
δεύτερον ὁμοίως ἀπὸ τοῦ δευτέρου πληθυντικοῦ, ἀμοιβῇ τοῦ τε
εἰς τον. τύπτετε, τύπτετον. Τὸ δυϊκὸν τρίτον
τυπτέτην ἀνομοιοκαταλήκτως τοῦ τρίτου τοῦ πληθυντικοῦ, οὔτε
εἰς ι, οὔτε εἰς ας λήγοντος. Τὸ πληθυντικὸν πρῶτον ἀπὸ τοῦ ἑνικοῦ
πρώτου προσθέσει με. ἔτυπτον, ἐτύπτομεν. καὶ δωρικῶς, ἐτύ-
πτομες. Τὸ δεύτερον ἀπὸ τοῦ πρώτου ἀμοιβῇ τοῦ μεν εἰς τε,
καὶ τοῦ ο εἰς ε, ἐτύπτομεν, ἐτύπτετε. Τὸ τρίτον πληθυντικὸν,
ἔτυπτον ὁμοφώνως τῷ ἑνικῷ πρώτῳ. ὅτε γὰρ ἡ μετοχὴ
τοῦ παρῳχημένου εἰς ως λήγει ὀξυτονουμένη, τότε τὸ
πληθυντικὸν τρίτον ἰσοσυλλαβεῖ τῷ πρώτῳ. τετύφαμεν,
τετύφασιν, ἐτετύφειμεν, ἐτετύφεισαν, ὅτι ὁ τετυφώς.
ὅτε δὲ μὴ, τὸ τρίτον ἐλλείπει τοῦ πρώτου μιᾷ συλλαβῇ.
ἐτύπτομεν, ἔτυπτον. ἐτύψαμεν, ἔτυψαν

verberabā & per ablationem verberabā apud poetas. ſecunda verberabas a prima. mutatione on in es. tertia verberabat a ſecunda abiectione s. & ſm Iones verberabat, nam ipſi auferentes e augumenti, & apponentes tertiæ perſonæ præteriti imperfecti, & indefiniti ſecundi grauiſonorum, ante e ſc, verberabat dicunt, & legebat, & accepit ſimiliter, & tertię primæ coniugationis circunflexorum, & primæ in mi faciebat, ponebat. ſed præteritum imperf. ſecūdæ coniugationis circūflexorum a habet. mugio mugiebá mugiebat ſimiliter & ptūm perfectum, & indefinitum ſecundum in miſto ſtas. ſtabam ſtabas ſtabat. Sed tertiæ circunflexorum, & in mio paruum habent. inaurabam inaurabat. dabam dabat. Sed quartæ in mi corripiunt bitempus ante ſce iugabat iugabat. ingrediebat́ ebat́. Indefinitū āt primū grauiſonum. & circunflexum, ſiue in mi a debens habere in tertia, vt formauit. ſcripſit. fecit. clamauit. inaurauit. & hæc quidem Iones. poetæ autem ſm mutationem horum, & tertiis perſonis apponunt ſce. valebam valebas valebat dicentes. Dualis ſecunda ſimiliter a ſecunda plurali mutatione te in ton verberatis. verberatis duo. dualis tertia verberabant diſſimili deſinenter, tertię pluralis neq; in i, neq; in æ deſinente. Pluralis prima a ſingulari prima appoſitione me, verberabā, bamus & dorice, verberabamus. Secunda a prima cōmutatione men in te, & o in e verberabamus. batis. Tertia pluralis verberabant cōſonāter ſingulari primæ. Qñ eni participium præteriti in os deſinit acutiſonum, tunc pluralis tertia æquat ſyllabis tertiam, verberauimus, verberauerunt, verberaueramus. uerant. quia verberás. cum vero non, tertia deficit a prima vna ſyllaba, verberabamus, verberabant. verberauimus. rauerunt.

ἐτύπομεν, ἔτυπον. σχηματίζεται δὲ ἀπὸ τῆς μετοχικῆς γενικῆς, ἐκβολῇ τοῦ τος.

Περὶ παρακειμένου.

Ὁ παρακείμενος ἀπὸ τοῦ μέλλοντος, τύψω, τέτυφα· ὅτε γὰρ ὁ μέλλων, τὸ ψ, ὁ παρακείμενος τὸ φ ἔχει. ὅτε δὲ τὸ ξ, ὁ παρακείμενος τὸ χ. ὅτε δὲ ἐκεῖνος τὸ σ, ὁ παρακείμενος τὸ κ. ὅτε δὲ ὁ μέλλων πρὸ τοῦ ω ἀμετάβολον ἔχει, τότε καὶ ὁ παρακείμενος αὐτὸ ἔχει πρὸ τοῦ κα. οἷον, ψαλῶ, ἔψαλκα. κερῶ, κέκαρκα. μολυνῶ, μεμόλυγκα, τοῦ ν εἰς γ τραπέντος διὰ τὴν ἐπιφορὰν τοῦ κ. πλὴν τῶν σεσημειωμένων ἡμαρτημένων, νενέμηκα. δεδέμηκα. βεβρέμηκα. κεκάμηκα. τετέμηκα. τετρέμηκα. τοῦ η πλεονάσαντος διὰ τὸ μηδέποτε τὸ μ πρὸ τοῦ κ εὑρίσκεσθαι. ἐξαιροῦνται τὰ εἰς νω δισύλλαβα ἢ ι ἢ διφθόγγῳ ἢ υ παραλήγοντα, ἀποβάλλοντα τὸ ἀμετάβολον πρὸ τοῦ κ. κρίνω, κέκρικα. κτείνω, κέκτακα. πλύνω, πέπλυκα. παρὰ ποιηταῖς δὲ προστίθεται, ὅθ' ἐκλίνθη, καὶ διακριθήμεναι. ἤδη. Ἔτι ὁ παρακείμενος τὴν αὐτὴν τῷ μέλλοντι παραλήγουσαν ἔχει. τύψω, τέτυφα. γράψω, γέγραφα. πλὴν τῶν δισυλλάβων τῆς τετάρτης συζυγίας καθ' ἡμᾶς τῷ ε παραληγόντων, ἐν τούτοις τρέπεται τὸ ε εἰς α ἐν τῷ παρακειμένῳ. σπερῶ, ἔσπαρκα. στελῶ, ἔσταλκα. καὶ ἔτι χωρὶς τῶν δισυλλάβων τῆς πρώτης καὶ δευτέρας συζυγίας τῷ ε παραληγόντων, ἐν τούτοις γὰρ τρέπεται κατὰ ἀττικοὺς τὸ ε εἰς ο. οἷον, πέμψω, πέπεμφα κοινῶς, καὶ πέπομφα ἀττικῶς. στρέψω, ἔστρεφα, καὶ ἔστροφα. θρέψω, τέθρεφα καὶ τέτροφα. βρέξω, βέβρεχα, καὶ βέβροχα. λέξω, λέλεχα, καὶ λέλοχα ψα δ' αἰολικῶς. Τοῦ δὲ τέτυφα, καὶ κέκυφα τὸ κυ μακρὸν, ἀπὸ τοῦ μέλλοντος. τοῦ δὲ τέθυκα καὶ λέλυκα βραχὺ, καίπερ τοῦ θύσω καὶ λύσω ἐκτεινομένου.

Ὁ δὲ εἰς κα παρακείμενος μακρᾷ παραληγόμενος, ἢ ἀποβάλλει τὸ κ, συστέλλει τὴν παραλήγουσαν ἔθει ἰωνικῷ. βέβηκα, βέβαα, τέθνηκα, τέθναα. δέδοικα, δέδοια. γέγηνα, γέγαα. καὶ ἰωνικῶς τετύφεα, ὡς περιεστήκεα, ἀντὶ ἕστηκα. Τὸ δεύτερον τέτυφας, ἀπὸ τοῦ πρώτου, προσθέσει σ. τέτυφα, τέτυφας. Τὸ τρίτον ἀπὸ τοῦ δευτέρου ἀποβολῇ τοῦ σ, τροπῇ τοῦ α εἰς ε. Τὰ δυϊκὰ, τετύφατον, τετύφατον,

verberauimus rauerunt. formatur autem a participio genitiui, abiectione tos.

De præterito perfecto.

Præteritum perfectum a futuro verberabo beraui. cum. n. futurum pſ. ptũm perf. ph habet. Cum aũt x, præteritum perfectũ ch. cũ illud s, ptũm perfectũ c. Cum vero futurum ante ω immutabilem habet tunc & ptũm perfectum ipſum habet ante ca, vt canam, cecini tondebo, totondi. polluam. pollui. n in g verſo propter illationem c. præter notata errata tribui ædificaui ſtrepui laboraui incidi tremui, ita ſuperabundante quia nunq̃ m ante c inuenitur. Excipiuntur in no biſyllaba vel i vel ei diphtho. vel y penultimantia abiicientia immutabilē ante c iudicio iudicaui. occido occidi. lauo laui: apud poetas autem apponitur. is vero inclinatus eſt & diſcretum eſſe iam. Etiam ptũm perfectum eandem futuro penultimam habet, verberabo verberaui. ſcribā ſcripſi, præter biſyllaba quartæ coniugationis apud nos e penultimantia. In his vertitur é in a in præterito perfecto. ſeminabo aui, mittam miſi. & etiā præter biſyllaba primæ & ſecundæ coniugationis e penultimantia. In his enim vertitur ſm atticos e in o vt mittam miſi communiter, & miſi attice. vertam verti, & verti nutriam nutriui & nutriui. irrigabo irrigaui, & irrigaui. dicam dixi & dixi falſo æolice, ſed verberaui, & inflexui illud cy longũ a futuro, ſed ſacrificaui, & ſolui breue. quamuis ſacrificabo & ſoluam longo. In ca aũt ptm̃ perf. lõga penultimãs. ſi abiicit cappa corripit penultimam more Ionico. iui, iui, interii, interii. timui timui. genui genui. & Ionice verberaui, ſi cut ſteti pro ſteti. ſecunda verberaſti a prima appoſitione s. verberaui rauiſti. Tertia a ſecunda vel prima mutatione a in e. Duales verberaſtis. verberaſtis.

ὁμοφώνως ἐκ τοῦ πληθυντικοῦ δ᾽ ἀτέρου, ὁμοίως τῷ ἐνεστῶτι, ἢ ἀπὸ τοῦ ἑνικοῦ πρώτου προσθέσει τον. Τὸ πληθυντικοῦ πρῶτον τετύφαμεν, ἀπὸ τοῦ ἑνικοῦ πρώτου προσθέσει μεν. καὶ δωρικῶς τετύφαμες, ὥσπερ, Τὸν πάνα δεδοίκαμες. Τὸ δεύτερον ἀπὸ τοῦ πρώτου, ἀμοιβῇ τοῦ μεν εἰς τε, τετύφαμεν, τετύφατε. Τὸ τρίτον εἰς, σι, τετύφασι, τοῦ σι βραχέος ὄντος καὶ τοῦ α μακροῦ. τὰ γὰρ εἰς ασι τρίτα, ἐκτείνουσι τὸ α. τετύφασι τετύπασι. πλὴν τοῦ λελόγχασι, καὶ ἑτέρων παρὰ ποιηταῖς διὰ τὸ μέτρον συνεσταλμένων. οἱ δὲ δωριεῖς ἑστήκαντι λέγουσιν, ἀντὶ ἑστήκασι. καὶ ᾠδήκαντι, ἀντὶ ᾠδήκασι.

Περὶ τοῦ μέσου παρακειμένου.

Ο μέσος παρακείμενος τέτυπα, διὰ τοῦ ω ῥηματικοῦ τοῦ ἀπὸ τοῦ ἐνεστῶτος. περὶ οὗ οὕτω εἰδέναι δεῖ, ὅτε ὁ ἐνεστὼς δι᾽ ἑνὸς ἁπλοῦ συμφώνου ἐκφέρεται, διὰ τοῦ αὐτοῦ καὶ ὁ μέσος κοινὸς παρακείμενος. οἷον, λέγω, λέλογα. πείθω, πέποιθα. λείπω, λέλοιπα. ὅτε δὲ ὁ ἐνεστὼς διὰ δύο συμφώνων ἐκφέρεται, τότε ὁ μέσος παρακείμενος φυλάττει τὸ σύμφωνον τοῦ ῥηματικοῦ, ὅπερ ἀπὸ τοῦ ἐνεστῶτος παράγεται. ἀπὸ τοῦ κλέπτω, κλοπὴ τὸ ῥηματικὸν, ὁ μέσος παρακείμενος, κέκλοπα. ἀπὸ τοῦ τύπτω, τύπος τὸ ῥηματικὸν, ὁ μέσος παρακείμενος. τέτυπα. ἀπὸ τοῦ βλάπτω ἢ βλάβω, βλάβη, ὁ μέσος παρακείμενος, βέβλαβα. εἰ δὲ τὸ ῥηματικὸν δύο σύμφωνα ἔχει ἀπὸ τοῦ ἐνεστῶτος, φυλάττει αὐτὰ καὶ ὁ μέσος παρακείμενος. οἷον, ῥέγκω, ῥόγκος, ὁ μέσος παρακείμενος, ἔρρογκα. Ὅτε δὲ ὁ ἐνεστὼς πρὸ τοῦ ω ζ ἢ δύο σσ ἔχων εἰς ξω τὸν μέλλοντα ποιεῖ, τότε ὁ μέσος παρακείμενος τὸ γ ἔχει. κράζω, κράξω, κέκραγα. πλήσσω, πλήξω, πέπληγα. Ὅτε δὲ ὁ ἐνεστὼς πρὸ τοῦ ω ζ ἔχων εἰς σω τὸν μέλλοντα ποιεῖ, τότε ὁ μέσος παρακείμενος τὸ δ ἔχει. φράζω, φράσω, πέφραδα. Ὅτε δὲ ὁ ἐνεστὼς καθαρῶς προφέρεται, καὶ ὁ μέσος παρακείμενος ὁμοίως, ἀκούω, ἤκουα. παραλήγουσαν δὲ τὴν αὐτὴν ἔχει ὁ μέσος τῷ πρώτῳ τέτυφα, τέτυπα. πέπληχα, πέπληγα. Ὅτε δὲ ἐν δισυλλάβῳ μέλλοντι αἱρεθῇ ε, εἰ μὲν μόνον, τρέπεται εἰς ο μικρὸν

conuociter ex plurali secunda similiter præsenti, vel a singulari prima appositione ton. Pluralis prima verberauimus a singulari prima appositione men, & dorice verberauimus, sicut pana timemus Secunda a prima mutatione men in te. verberauimus vistis. Tertia in si verberauerunt si breue existente, à a longo. In asi enim tertiæ producunt a verberarũt, verberarunt. præter sortiti sunt, & alia apud poetas pp metrum correpta. Sed dores steterunt dicunt, pro steterunt, & tumuerunt, pto tumuerunt.

De medio præterito perfecto.

Medium ptm̃ perfectum. verberaui per p. verbale quod a p̃nti, de quo sic scire oportet. quando præsens per vnam simplicem consonantem profertur per eandẽ & mediũ cõmune præteritum perfectum, vt dico dixi. persuadeo psuasi, relinquo reliqui. cum vero præsens per duas consonantes profertur, tunc medium præteritum perfectum seruat consonantẽ verbalis quod a præsenti deducitur, a furor futurum, verbale medium prçteritum perfect. furatus sum. A verbero forma verbale medium præteritum imperfe. verberaui, a noceo, uel noceo nocumentum. medium ptũm impf. nocui, sed si verbale duas consonãtes habet a prçsenti, seruat ipsas & medium ptũm perfectũ. vt sterto stertitio medium prçteritum perfectũ stertui. Cum vero præsens ante o z, vel duo ss. habens in xo futurũ facit, tũc medium ptũm perf. g. habet, clamo clamabo clamaui. Percutio percutiã percussi, cum vero præsens ante o z habens in zo futurum facit, tunc medium ptũm perf. d habet, dico dicam dixi. quando aũt præsens pure profertur & medium ptũm perfectum similiter, audio audiui, penultimam vero eandem habet mediũ primo. verberaui. raui percussi. percussi, cum vero in bisyllabo futuro inuentum fuerit e si solum, vertitur in o paruum

ἐν τῷ μέσῳ παρακειμένῳ λέξω, λέλογα. τέξω, τέτοκα. γενῶ. γέγονα. εἰ δὲ ἐν τῇ ει διφθόγγῳ, ὁμοίως τὸ ε τρέπεται εἰς ο, καὶ τὸ ι προσγράφεται. πείθω, πείσω, πέπεικα, πέποιθα. εἴδω, εἴσω, εἶκα, οἶδα, οἶδας, οἴδαθαι, καὶ οἶθα. Τὰ δὲ ἡσέει λ δισύλλαβα, τηροῦσι τὸ ε ἐν τῷ μέσῳ παρακειμένῳ μέλω. μελῶ, μέμελα. καὶ τροπῇ τοῦ ε εἰς η μέμηλα. ἔτει μεμηλώς. τέλω, τελῶ, τέτελα. Οτε δὲ ὁ ἐνεστὼς διὰ δύο μεταβόλων ἐκφέρεται, τότε ὁ μέσος παρακείμενος τὸ πρῶτον ἀμετάβολον ἔχει. κάμνω, κέκαμα. τέμνω, τέτεμα. Οτε δὲ ὁ ἐνεστὼς τῇ αι διφθόγγῳ παραλήγει, τότε τρέπεται τὸ α τῆς διφθόγγου εἰς η ἐν τῷ μέσῳ παρακειμένῳ, καὶ τὸ ι ὑπογράφεται. φαίνω, πέφηνα. χαίνω, κέχηνα. Οτε δὲ ὁ μέλλων περιπλάει τοῦ ἐνεστῶτος μιᾷ συλλαβῇ, τότε καὶ ὁ παρακείμενος τοῦ μέσου περιπλάει. ἀνωγῶ. ἀνωγήσω, ἠνώγηκα, ἤνωγα. δουπῶ, δουπήσω, δεδούπηκα, δέδουπα. κτυπῶ, κτυπήσω, ἐκτύπηκα, ἔκτυπα. Ετι πολλάκις οἱ αὐτοὶ παρακείμενοι καὶ μέσοι, γέγραφα, εἴληφα. Ετι τό τε ἐπιλιμπάνουσιν οἱ μέσοι παρακείμενοι, ἡνίκα ὁ ἐνεργητικὸς παρακείμενος. ἀρεθῇ τρισύλλαβος ἀπὸ περισπωμένου θέματος, ἀπὸ δύο συμφώνων ἢ ἑνὸς ἀρχόμενος, θλῶ, θλάσω. τέθλακα. κλῶ, κλάσω κέκλακα. δρῶ, δράσω, δέδρακα. ζῶ, ζήσω, ἔζηκα. καὶ ἁπλῶς εἰπεῖν, ἐπὶ τῶν περισπωμένων οὔτε μέσοι παρακείμενοι εὑρίσκονται, οὔτε δεύτεροι ἀόριστοι, πλὴν τῶν σεσημειωμένων τῆς πρώτης καὶ δευτέρας συζυγίας. Επεὶ μὲν τῆς πέμπτης κατὰ παλαιοὺς τῶν βαρυτόνων, οὐ πολλοί. ἐπεὶ δὲ τῆς ἕκτης, οὐδαμῶς, πλὴν τοῦ ἀκούω. Επεὶ τῶν εἰς μι οὐκ εἰσὶ μέσοι παρακείμενοι. ἀόριστοι δὲ δεύτεροι λέγονται, τὸ ἔθην, τὸ ἔστην, τὸ ἔδων. Τὸ δεύτερον τέτυπας. τὸ τρίτον, τέτυπε. καὶ τἄλλα ὁμοίως τῷ τέτυφα. ὁ δὲ μέσος παρακείμενος καὶ μέσος ὑπερσυντέλικος ποτὲ μὲν ἐνέργειαν σημαίνουσι, ποτὲ δὲ πάθος, ποτὲ δὲ ἀμφότερον.

Περὶ ὑπερσυντελίκου.

Ο ὑπερσυντέλικος ἐτετύφειν ἀπὸ τοῦ παρακειμένου, ἀμοιβῇ τοῦ

in medio prçterito perf. dicam dixi. pariam peperi
gigno gignã genui. sed si in ei diphth similiter e vertit
in o,& iota adscribitur. persuadeo persuadeo asi persua
si. scio. sciam. sciui. sciui sciuisti uisti & sciuisti. sed in vnũ
bisyllaba seruant e in medio prçterit. perfecto curo
curabo curaui,& mutatione e in ita curaui, vnde qui
curauit. perficio perficiam. perfeci. cum vero præsens
per dues liquidas profertur, tunc medium prçteritũ
perfectum primam liquidam habet. laboro. laboraui.
incido incidi, sed quando præsens æ diphthongo
penultimat, tunc vertitur a diphthongi in i in medio
præterito perfecto,& i subscribitur. ostendo ostendi
hio hiaui. Cum autem futurum superat præsens vna
syllaba, tunc & ptũ perfectum medium superat, iubeo
iubebo iussi. strepo, strepam strepui stre-
pui. strepo strepam strepui strepui. Item sæ-
pe ipsa præterita perfecta,& media scripsi. accepi. Itẽ
tunc deficiunt media præterita perfecta, quando actiuũ
ptũ perf. inuentum fuerit bisyllabũ a circũflexo posito
a duabus cõsonãtibus, vel vna incipiens frango frãgã
fregi frango,gã,fregi. facio faciam feci. viuo viuam
vixi. & breuiter dicam in circunflexis neq; media
præterita imperfecta inueniunt, neq; secũda indefinita
præter notata primæ & secundæ entia,
item in quintæ secundum antiquos grauisonis
non multa. sed in sextæ minime. præter audio.
Itẽ in mi nõ sunt media pręterita pfecta. sed indefi
nita secunda inuenta sunt. posui. fleti comedi. secunda
verberasti. tertia verberauit,& alii similiter verberaui.
sed secundum præteritum perfectũ,& medium plusquã
perf aliquando actionem significent, aliquando vero
passionem. aliquando vero vtrunq;.

De plusquamperfecto.

Plusqperfectũ. verberabã a ptõ perfecto mutatione

α εἰς εἶν, προστεθέντος καὶ τοῦ ε τῆς αὐξήσεως, ὅτε τὸ ῥῆμα ἀπὸ συμφώνου ἄρχεται, τέτυφα, ἐτετύφειν. οἱ δὲ ἴωνες καὶ οἱ ποιηταὶ χωρὶς τῆς αὐξήσεως προφέρουσιν. Ἐπεὶ ἴωνες τὸ ει εἰς εα διαλύοντες, ἐτετύφεα, καὶ ἐπεποιήκεα. λέγουσιν. οἱ δὲ ἀθηναῖοι συναιροῦντες τὸ διαλυθὲν, ἐτετύφη λέγουσιν. ὅθεν καὶ τὸ ἐκεχήνη διὰ τοῦ η εἴρηται γεγραμμένον, καὶ ι προσγεγραμμένου. καὶ τὸ ᾔδεα, ᾔδεε λέγεται ἰωνικῶς, ὥσπερ τετύφεε, καὶ γεγόνεε. καὶ κατὰ κρᾶσιν ἀττικῶς ᾔδη ἐν πρώτῳ καὶ τρίτῳ προσώπῳ. οἱ αὐτοὶ ἐπὶ πρώτου προσώπου χωρὶς ν ᾔδει γράφουσι. καὶ οἱ δωριεῖς τὰ τρίτα πρόσωπα διὰ τοῦ η, ὀπώπη παρὰ Θεοκρίτῳ, ἀντὶ ὀπώπει, Καὶ πόκα τῆνος ἔλαιον ἐν ὀφθαλμοῖσιν ὀπώπη. Τὸ δεύτερον ἐτετύφεις ἀπὸ τοῦ πρώτου, τροπῇ τοῦ ν εἰς σ. Τὸ τρίτον ἐτετύφει χωρὶς ν παρὰ τοῖς κοινοῖς, ἀπὸ τοῦ δευτέρου ἐκβολῇ τοῦ σ. καὶ ἰωνικῶς, ὡς εἴρηται, τετύφεε. καὶ γεγόνεε παρ' Ἡροδότῳ, ἀντὶ ἐγεγόνει. τὸ δὲ ᾔδειν, ἐπὶ πρώτου καὶ τρίτου προσώπου ὥς φασιν. ὅθεν ἀπειλήφειν παρ' Ἀριστοφάνει, καὶ προσήειν, καὶ εἱστήκειν παρ' Ὁμήρῳ, καὶ ἐβεβλήκειν, καὶ ἤσκειν ἤρια καλά, ἀντὶ ἐκαλλώπιζεν, ἐπὶ τρίτου, ὥσπερ καὶ ἐπὶ πρώτου. Τὸ δυϊκὸν δεύτερον ἐτετύφειτον, ἐκ τοῦ ἐτετύφειτε. Τὸ τρίτον ἐτετυφείτην, ἀπὸ τοῦ δευτέρου δυϊκοῦ. Τὸ πληθυντικὸν πρῶτον ἐτετύφειμεν, ἀπὸ τοῦ ἐτετύφειν προσθέσει μεν. Τὸ δεύτερον ἐτετύφειτε, ἀπὸ τοῦ πρώτου, τροπῇ τοῦ μεν εἰς τε. Τὸ τρίτον, ἐτετύφησαν, ἀπὸ τοῦ πρώτου, τροπῇ τοῦ μεν εἰς σαν. τὸ δὲ ᾔδησαν, καὶ παρειλήφεσαν, καὶ ἀκηκόεσαν, καὶ ἄλλα πλεῖστα τῶν ἀττικῶν, χωρὶς ι. βοιωτῶν δὲ καὶ τὸ ἐτετύφεα ἀντὶ ἐτετύφειν, καὶ ἑστήκεα ἀντὶ ἑστήκειν, καὶ τὸ εἱστήκειμεν, εἱστήκετε, εἱστήκεσαν χωρὶς τοῦ ι. Φυλάττει δὲ ὁ πρῶτος ὑπερσυντέλικος καὶ μέσος τὰ τῶν παρακειμένων, τέτυφα, ἐτετύφειν. τέτυπα, ἐτετύπειν. πλὴν τῶν σεσημειωμένων οἶδα, ᾔδειν, καὶ ᾔδη τὸ ποιητικόν. καὶ εἶκα, μέσος ἧκα, καὶ μέσος ὑπερσυντέλικος, ἥκειν. ὅθεν τὸ ἐφήκειν, προσήκειν. ἕστηκα, εἱστήκειν. ἔολπα, ἐώλπειν. ἔοργα, ἐώργειν. ἔοικα,

a in in appoſito & e augumento, quando verbum a conſonante incipit. Verberaui verberabam. ſed iones & poetæ ſine augumento proferunt. Item Iones ei in ea reſoluentes verberaueram, & feceram dicunt. ſed Athenienſes contrahentes reſolutum verberaueram dicunt. vnde & hiaui per ita inuentum eſt ſcriptum, & iota ſubſcriptum, & viderat viderat dicitur ionice, vt verberauerat. & factus erat, & p cõmixtionem attice videram in prima & tertia perſona. Iidem in prima perſona ſine n videram ſcribunt & dores tertias perſonas per ita, viderat apud Theocritum pro viderat. & quando ille oleũ in oculis viderat? ſecunda verberaueras a prima mutatione n in s. Tertia verberauerat ſine n apud communes, a ſecũda abiectiõe s, & Ionice vt dictũ eſt verberauerat & factꝰ fuerat apud Herodotũ ꝓ factꝰ fuerat. ſed videiã in prima & ſecũda pſona, vt dicũt. vnde acceperã apud Ariſtophanẽ, & adiuerã, & ſteterã, apd Home. & ieccrã, & curabat lanas pulchras, pro pulchras faciebat. In tertia, vt & in prima. dualis ſecunda, verberaueratis duo ex verberaueratis, tertia beraucrant a ſecunda duali. Pluralis prima, verberaueramus, a verberauerã appoſitione me. Tertia verberaueratis a prima mutatione men in te. Tertia verberauerant a prima mutatione men in ſan. ſed ſciuerant, & aſſumpſerant, & audiuerant & alia plurima attica ſine i. bœotorum autẽ, & verberarã pro verberaram. & ſteteram, pro ſteteram, & ſteteramus. atis. ſteterant ſine iota. ſeruat autem primum ptũm pluſq̃ pf. & medium quæ ſunt ptórum pfectorũ. verberaui. beraui. ueram. præter notata ſciui, ſciueram. & ſciueram quod poeticum, & iui med.ũ iui, & mediũ ptĩ pluſq̃perf. iuerã vñ & iniuerã, adiuerã ſteterã. ſperaui ſperauerã. ꝓhibui ꝓhibueram. viſus

ἐῴκειν. Ὁ μέσος ὑπερσυντέλικος ἐτετύπειν, [illegible] πει, διὰ τοῦ π κατὰ τὸν παρακείμενον σχηματιζόμενος. φυλάττει δὲ ἀεὶ τὸ σύμφωνον τοῦ μέσου παρακειμένου, τέτυπα, ἐτετύπειν. τέτηκα, ἐτετήκειν.

Περὶ ἀορίστου πρώτου.

Ὁ ἀόριστος πρῶτος ἔτυψα, ἀπὸ τοῦ μέλλοντος πρώτου, τροπῇ τοῦ ω εἰς α καὶ προσθέσει τοῦ συνήθους ε τῆς συλλαβικῆς αὐξήσεως, ὁπότε τὸ ῥῆμα ἄρχεται ἀπὸ συμφώνου. ὅτε δὲ ἀπὸ φωνήεντος, γίνεται αὔξησις χρονική, καὶ τότε ἰσοσυλλαβεῖ δὲ τῷ μέλλοντι, ἀγοράσω, ἠγόρασα. Παραλήγει ἢ ἢ φύσει μακρᾷ ὡς ἐποίησα. ἢ θέσει ὡς ἔπλεξα, ἢ φύσει καὶ θέσει, ὡς ἤμειψα, ἢ θέσει παρὰ ποιηταῖς διὰ τὸ μέτρον, ὡς ἐτέλεσσα. ἔχει δὲ τελικὰ ἡμίφωνα ἑπτά. ψ. οἷον, ἔτυψα. ξ, οἷον, ἔλεξα. σ, οἷον, ἐποίησα. λ, οἷον, ἔστειλα. μ, οἷον, ἔνειμα. ν οἷον, ἔμεινα. ρ, οἷον, ἔσπειρα. Φυλάττει δὲ ἀεὶ τὸ σύμφωνον τοῦ μέλλοντος. οἷον, λέξω, ἔλεξα. πλὴν τῶν σεσημειωμένων, ἥσω, ἧκα, ἀντὶ ἧσα. ἤνεγκα, ἀντὶ ἤνεγξα. εἶπα, ἀντὶ εἶψα. ἔθηκα, ἀντὶ ἔθησα. ἔδωκα, ἀντὶ ἔδωσα. Ἐπὶ τὴν αὐτὴν παραλήγουσαν ἔχει τῷ μέλλοντι, ποιήσω, ἐποίησα. τελέσω, ἐτέλεσα. πλὴν τῶν ἀορίστων τῆς τετάρτης καθ᾽ ἡμᾶς συζυγίας μακρᾷ παραληγόντων. τοῦ γὰρ μέλλοντος τῶν αὐτῶν περισπωμένου ὄντος, καὶ βραχυπαραλήκτου, ὁ ἀόριστος προσλαμβάνει ι, ἢ τρέπει τὸ α εἰς η, νεμῶ, ἔνειμα. σπερῶ, ἔσπειρα. στελῶ, ἔστειλα. ψαλῶ, ἔψηλα. φανῶ, ἔφηνα. οἱ δὲ Ἴωνες τὸ η εἰς α τρέποντες ἔφανα ἀντὶ ἔφηνα, καὶ ἐμίανα ἀντὶ ἐμίηνα, καὶ ἔχανα, ἀντὶ ἔχηνα, καὶ ἐθέρμανα, ἀντὶ ἐθέρμηνα, καὶ ἐσήμανα, ἀντὶ ἐσήμηνα λέγουσιν, ᾧπερ χρῶνται καὶ Ἀθηναῖοι. Τὸ δεύτερον ἔτυψας ἀπὸ τοῦ πρώτου, προσθέσει σ. τὸ δὲ πρῶτον τοῦ ἀορίστου, βραχύ ἐστι. Τὸ τρίτον, ἔτυψε. καὶ τἄλλα δῆλα. ἐτύψατον, ἐτυψάτην. ἐτύψαμεν, ἐτύψατε, ἔτυψαν.

Περὶ δευτέρου ἀορίστου.

Ὁ δεύτερος ἀόριστος ἔτυπον, φωνῇ μόνον διαφέρων τοῦ πρώτου. λήγει δὲ εἰς ον, τὸ σύμφωνον τοῦ μέσου παρακειμένου

sum fueram. medium pteritũ plusqperfe verberaueram ras per p secundum præteritum perfectum formatum. seruat autem semper consonanté medii præteritiperfe. verberaui. verberaueram liquifeci liquefeceram.

De Indefinito primo.

Indefinitum primũ verberaui a futuro i. primo mutatõe in a, & appositione cõsueti e, syllabici augumẽti, quã do verbum incipit a consante, quando autem incipit a vocali fit augumentũ tẽporale, & tunc æquat syllabis futurũ, contionabor contionatus sum. penultimant vero vel natura longa, vt feci, vel positione vt plicui, vel natura, & positiõe vt cõmutaui, vel positiõe apđ poetas pp metrum vt perfici. habet vero finales semiuocalis septem. psi, vt verberaui. x, vt dixi. s, vt feci. I, vt misi. m, vt tribui. n, vt mansi. r, vt seminaui. seruat vero semper consonantem futuri, vt dicã, dixi. præter notata. ibo iui pro iui. tuli pro tuli. dixi, pro dixi. posui pro posui, dedi pro dedi. item eandem penultimam habet futuro faciam feci. perficiam perfeci. præter indefinita quartæ secundũ nos coniugationis lõga penultimãtia. nã futu rum forum circunflexo ente, & breui penultimante, indefinitum assumit i, vel mutata in i, tribuam. tribui. seram seui. mittam misi. canã cecini. apparebo apparui sed Iones ita in a vertẽtes apparui pro apparui & polłui pro pollui. & hiaui pro hiaui. & calefeci pro calefeci, & notaui pro notaui dicunt, quo vtuntur & Athenienses. secunda verberasti a prima positione s sed prima indefiniti. breuis est. Tertia verberauit, & alia manifesta. verberauistis rauerunt umus uistis verberauerunt.

De secundo Indefinito.

Secundũ indefinitũ verberaui voce solũ differens a primo desinit aũt in on, consonantẽ medii ptiperfe

φυλάττων, δίχρονῳ παραλήγων, ἔτυπον, ἔλαβον, ἔλιπον ἐν τοῖς βαρυτόνοις. ἐν δὲ τοῖς περισπωμένοις, καὶ μέσου διφθόγγῳ, καὶ ω. Ὅσα οὖν εἴρηται ἐπὶ τοῦ μέσου παρακειμένου, καὶ ἐπὶ τῶν δευτέρου ἀορίστου ἐνθήσεται, εἰ καὶ περιττὸν δόξει. εἰ μὲν οὖν ὁ ἐνεστὼς δι' ἑνὸς ἁπλοῦ συμφώνου ἐκφέρεται, διὰ τοῦ αὐτοῦ ἀμφότεροι. λείπω, λέλοιπα, ἔλιπον. φθείρω, ἔφθορα, ἔφθορον. εἰ δὲ ὁ ἐνεστὼς διὰ δύο συμφώνων ἐκφέρεται, δι' οὗ τὸ ῥηματικὸν ἐκφέρεται, διὰ τοῦ αὐτοῦ καὶ ἀμφότεροι. σκάπτω, σκαφή, ἔσκαφα, ἔσκαφον. εἰ δὲ διὰ τοῦ ξ ἢ δύο σσ ὁ ἐνεστὼς ἐκφέρεται, τότε ὁ μέσος παρακείμενος καὶ ἀόριστος δεύτερος ἀκολουθεῖ τῷ μέλλοντι. καὶ εἰ μὲν ὁ μέλλων διὰ τοῦ ξ ὥσπερ ὁ μέσος παρακείμενος διὰ τοῦ γ, οὕτω καὶ ὁ ἀόριστος δεύτερος, κράζω, κράξω, κέκραγα, ἔκραγον· νύσσω, νύξω, νένυγα, ἔνυγον. εἰ δὲ ὁ μέλλων διὰ τοῦ σ ὥσπερ ὁ μέσος παρακείμενος διὰ τοῦ δ, οὕτω καὶ ὁ ἀόριστος δεύτερος, φράζω, φράσω, πέφραδα, ἔφραδον. εἰ δὲ ὁ ἐνεστὼς διὰ δύο ἀμεταβόλων ἐκφέρεται, διὰ τοῦ πρώτου καὶ οὗτοι ἐκφέρονται. κάμνω, κέκαμα, ἔκαμον. τέμνω, τέταμα, ἔταμον. εἰ δὲ ὁ ἐνεστὼς διὰ καθαροῦ τοῦ ω ἐκφέρεται, καὶ αὐτοὶ καθαρῶς ἐκφέρονται. ἀκούω, ἤκουα, ἤκοον. Ἔτι ὁ ἀόριστος δεύτερος ἀπὸ βαρυτόνων θεμάτων γινόμενος, βραχὺ παραληκτεῖ, τύπτω, ἔτυπον. πήθω, ἔπαθον. τάχω, ἔτυχον. διὸ μὲν ὁ ἐνεστὼς ἔχει τὴν ει δίφθογγον, ἀποβάλλεται τὸ ι αὐτῆς ἐν τῷ δευτέρῳ ἀορίστῳ. φάγω, ἔφυγον. πάθω, ἔπυθον. εἰ δὲ ὁ ἐνεστὼς ἔχει τὴν αι, ἀποβάλλεται τὸ ι αὐτῆς ἐν τῷ δευτέρῳ ἀορίστῳ, καίω, ἔκαον, φαίνω, ἔφανον. εἰ δὲ αυ, ἀποβάλλεται τὸ υ, παύω, ἔπαον. τὸ ε. εἰ δὲ ου, τὸ υ, ἀκούω, ἤκοον. εἰ δὲ ει διφθόγγῳ, λείπω, ἔλιπον. εἰ δὲ η, τρέπεται εἰς α, λήβω, ἔλαβον. χωρὶς τῶν δισυλλάβων τῆς πέμπτης συζυγίας τῶν βαρυτόνων, ἐν οἷς ἀποβάλλεται τὸ ι ἐν τῷ μέλλοντι, καὶ τὸ ε εἰς α τρέπεται ἐν τῷ δευτέρῳ ἀορίστῳ, κείρω, κερῶ, ἔκαρον. σπείρω, σπερῶ, ἔσπαρον. ἐν δὲ τοῖς ὑπερδισυλλάβοις τὸ ι μόνον ἐκβάλλεται. ἐγείρω, ἤγερον. ἀείρω, ἄερον. ὀφείλω, ὄφελον.

seruans bitempore penultimans, verberaui. accepi. reliqui in grauisonis. In circunflexis autem & diphthongo & ω. quçcũq; igitur dicta sunt in medio præteritoperfe & in sec:ndo indefinito dicentur, quãq̃ superfluum videtur. si igitur pñs per vnam simplicem cõsonantẽ effertur, per eandẽ vtraq;. linquo liqui, liqui. corrumpo corrupi corrupi. si autem præsens per duas consonantes effertur, per quam verbale, profertur, per eandem & vtraq;. fodio. fossio. fodi. fodi. si autem per x, vel duo ss præsens profertur, tunc medium ptm̃ perf. & indefinitum secundum sequitur futurum. & si futurum per x, sicut medium præteritum perfectum per g, sic & indefinitum 6m, clamo clamabo clamaui clamaui. stimulo labo. laui. laui. si autem futurum per s sicut medium ptm̃ perf. per d, sic & indefinitum secundum. dico, dicam, dixi. dixi. si aũt præsens per duas immutabiles pfert. per primam & ipsa proferuntur. laboro laboraui laboraui. Incido incidi incidi. Si autem pñs per purum ω profertur, & ipsa pure proferuntur. audio audiui audiui. Etiam indefinitum 6m a grauisonis positis factum, in breuem desinit. verbero, verberaui. patior passus sum, sortior sortit⁹ sũ. Ideo si pñs hẽt eu diphth. abiicitur e ipsius in secundo indefinito. fugio fugiui. interrogo gaui. sed si præsens habet æ abiicitur i ipsius in secundo indefinito. vro, ussi. ostendo, ostendi. sed si au, abiicitur y. sedo, sedaui. sed si u, y, audio audiui. sed si ei diphthongum e relinquo reliqui. sed si ita vertitur in a, accipio. accepi. sine bisyllabis quintæ coniugationis grauisonorum; In quibus abiicitur i in futuro & e in auertitur in secũdo indefinito, tondeo, tondebo, totondi, semino abo. aui. sed in suberbisyllabis i solum eiicitur. excito taui. eleuo, aui. debeo debui.

Ἔτι καθόλου ὅτε τὸ ε αἱρεθῇ ἐν δισυλλάβοις ἐνεστῶσιν ἢ μόνον, ἢ μετὰ τοῦ ι ἐν διφθόγγῳ ει, ὡς ἐπὶ τὸ πλεῖστον τὸ ε τρέπεται εἰς α, εἴτε ἀμετάβολον προηγεῖται τοῦ ε, εἴτε ἐπιφέρεται, κείρω, ἔκαρον. φθείρω, ἔφθαρον. στέλλω, ἔσταλον, ὅθεν ἐστάλη. δέρω, ἔδαρον. ὅθεν ἐδάρη. τέμνω, ἔταμον. πέρθω, ἔπαρθον καὶ ἔπραθον κατὰ μετάθεσιν. δέρκω, ἔδαρκον, καὶ ἔδρακον. δρέμω, ἔδραμον, καὶ δραμῶ. ὅθεν τὸ δεδράμηκα. κλέπτω, ἔκλαπον. πλέκω, ἔπλακον. τρέπω, ἔτραπον. τρέφω, ἔτραφον, ὡς ἐπὶ τὸ πλεῖστον εἴρηται, διὰ τὰ σεσημειωμένα λέγω ἔλεγον. φλέγω, ἔφλεγον. Ἔτι ὁ ἀόριστος ὁ δεύτερος ἀπὸ μὲν βαρυτόνου θέματος γινόμενος ἰσοσυλλαβεῖ τῷ πρώτῳ. τύπτω, ἔτυψα. ἔτυπον. λείπω ἔλειψα, ἔλιπον. ἀπὸ δὲ περισπωμένου, ἐλλείψει τοῦ πρώτου μιᾷ συλλαβῇ. δουπῶ, ἐδούπησα, ἔδουπον. μυκῶ, ἐμύκησα, ἔμυκον. καὶ ὅτε ὁ μέλλων ἰσοσυλλαβεῖ τῷ ἐνεστῶτι, τότε καὶ αὐτὸς τῷ πρώτῳ. ὅτε δὲ ὁ μέλλων περιττεύει, καὶ αὐτὸς ἐλλείπει. Τούτων οὕτως ἐχόντων ἀνεύρηνται ἀόριστοι δεύτεροι ἀνάριθμοι μακροπαραληκτοῦντες καὶ δισύλλαβοι μὲν βαρύτονοι, τὸ ἦκον. ἆρον. εἶδον. εἶπον. ἦλθον. εἷλον. εἶχον. εἷλκον. ἦγον. ἦδον, ὅθεν τὸ ἕαδε. ὧν οἱ μὲν, τῷ λόγῳ τῆς ἀρχούσης. οἱ δὲ, προσθέσει τοῦ ι. ὁ δὲ ἦλθον, ἀπὸ τοῦ ἤλυθον κατὰ συγκοπήν. περισπώμενοι δὲ ὑπερδισύλλαβοι οὗτοι, μακρᾷ φύσει ἢ θέσει παραλήγοντες, χραισμῶ, ἔχραισμον. δουπῶ, ἔδουπον. κτυπῶ, ἔκτυπον. τυπῶ, ἔτυπον. μυκῶ, ἔμικον. ὀλισθῶ, ὤλισθον. βλαστῶ, ἔβλαστον. ἁμαρτῶ, ἥμαρτον. ἀνωγῶ, ἤνωγον. ἀλαλκῶ, ἤλαλκον. ἔστι καὶ ὁ ἔπεφνον βαρύτονος ἀπὸ τοῦ φῶ, φένω, ἔφενον, καὶ ἔφνον. καὶ ὁ ἤνεγκον, ἀπὸ τοῦ ἐνέγκω. καὶ ὁ ἔδαρθον, τοῦ ἔπαρδον. ἔδαρκον. καὶ ὁ ἔπληγον σωματικῶς ἀπὸ πλήσσω. ἔπλαγον δὲ ψυχικῶς. τὸ δὲ Κατεπλήγη φίλον ἦτορ, ὁ ποιητὴς ἐπὶ ψυχικῆς διαθέσεως διὰ τὸ μέτρον ἔθηκεν. Ἔτι ὥσπερ φησὶν ὁ φιλόπονος τὰ ἔχοντα δύο σύμφωνα περισπώμενα, μακρὰν τὴν παραλήγουσαν ἔχουσι φύσει, ἢ θέσει, χραισμῶ, ἔχραισμον. βλαστῶ, ἔβλαστον. τὰ δὲ μὴ ἔχοντα δύο σύμφωνα, βραχεῖαν, μυκῶ, ἔμυκον, τυπῶ,

Itē i uniuersū cū e īuentū fuerit ī bisyllabis pñtib⁹ uel solū uel cū i in diphthongo ei vt plurimum e vertitur in a siue liquida præcedit e, siue infertur, tōdeo totōdi corrūpo corrupi. mitto misi. ūñ missus est. excorio, aui, uñ exoriatus est. incido incidi. populo aui & populaui pertranspositionem. aspicio. aspexi. & aspexi. curro cucurri, & curram. vnde cucurri. futor atus sum, plico plicui, verto verti. nutrio nutriui, vt plurimū dictū est propter notata dico dicebam, ardeo ardebam. Item indefinitum secundū a graui secundo posito factum æquat syllabis primum verbero raui. raui. relinquo reliqui. reliqui. sed a. circunflexo erit minus primo vna syllaba. strepo strepui strepui. mugio giui. giui. & quando futurū æquat syllabis pñs, tunc & ipm primum. quādo autem futurū superat, & ipsum deficit. his sic habentib⁹ inuenta sunt indefinita scda bñ numerāda lōga penultimantia & bisyllaba grauisona veni. inueni. vidi. & veni accepi. habui. traxi duxi placui. vñ & placuit. quorum aliqua ratione incipientis, aliqua appositione i. sed veni a veni per syncopen. circunflexa vero superbisyllaba, hæc lōga natura, vel positione penultimantia iuuo iuui. strepo strepui, strepo strepui. imprimo. impressi. mugio giui labor psus sum. germino aui. pecco peccaui. iubeo iussi, auxilior atus sum, est & interfeci grauisonum ab interficio cio, interfeci & interfeci, & tuli a fero, & dormiui. pepedi. vidi. vidi. & percussus sum corporaliter a percutio, percussus sum autem animaliter. sed pcussum est amicum, cor poeta in animali affectione propter metrum posuit. Itē vt dicit Philoponus habentia duas consonantes, circunflexa longam penultimam habēt natura, vel positione. iuuo iuui. germino aui. Sed nō habentia duas cōsonātes, breuē. mugio giui. iprimo

ἔτυπον. ὅμως δὲ τὸ δουπῶ ἔδουπον ποιεῖ, καὶ τὸ ἀνωγῶ, ἤνωγον. Τὸ δεύτερον ἔτυπες. Τὸ τρίτον, ἔτυπε. ἐτύπετον, ἐτυπέτην. ἐτύπομεν, ἐτύπετε, ἔτυπον κατὰ τὸν παρατατικόν. τὸ δὲ ἶξον ἀντὶ τοῦ ἶκον, βοιωτῶν. τὸ δὲ εἴδοσαν σε ὕδατα, καὶ ἤλθοσαν, καὶ ἐμάθοσαν, καὶ τὰ τοιαῦτα, χαλκιδικῆς εἰσὶ διαλέκτου εἰς ὁμοιότητα τοῦ ἔδοσαν.

Περὶ τοῦ πρώτου μέλλοντος.

Ὁ μέλλων πρῶτος ἀπὸ τοῦ ἐνεστῶτος, καὶ συνάρχεται αὐτῷ, τὰς αὐτὰς συλλαβὰς ἔχων, εἴτε ἀπὸ φωνήεντος ἄρχεται, εἴτε ἀπὸ συμφώνου βαρύτονος ὤν. οἷον, ἀγοράζω, ἀγοράσω. τύπτω, τύψω. γράφω. γράψω. Τὰ δὲ εἰς ἓν λ βαρύτονα, περισπώμενα μέλλοντα ποιοῦσι. μέλω, μελήσω. θέλω, θελήσω. ὀφείλω, ὀφειλήσω. ἔτι τὸ αὔξω, αὐξήσω, καὶ ἕψω, ἑψήσω; καὶ ἀλέξω, ἀλεξήσω, ὅτι παρὰ παλαιοῖς περισπώμενα ὄντα, οἱ ἀθηναῖοι βαρύτονα πεποιήκασιν. Ἔτι πάντα τὰ περισπώμενα, ποιῶ, ποιήσω. βοῶ, βοήσω. χρυσῶ, χρυσώσω. τοὐναντίον δὲ ἐπὶ τοῖς εἰς μι γίνεται, ἐκβαλλομένου τοῦ διπλασιασμοῦ, τίθημι, θήσω. δίδωμι, δώσω. Φυλάττει δὲ ὁ μέλλων τὴν παραλήγουσαν τοῦ ἰδίου ἐνεστῶτος, τύπτω, τύψω. γράφω, γράψω. λείπω, λείψω. πλὴν τῶν τῆς τετάρτης καὶ πέμπτης συζυγίας τῶν βαρυτόνων. τούτων γὰρ οἱ μέλλοντες τῆς διφθόγγου ἀποβάλλουσιν ἓν ἀμετάβολον, ἢ τὸ ι τῆς διφθόγγου, ἵνα τὴν παραλήγουσαν συστείλωσι, ψάλλω, ψαλῶ. φαίνω, φανῶ. σπείρω, σπερῶ. καὶ ἔτι πλὴν τῶν σεσημειωμένων, πλέω, πλεύσω. ῥέω, ῥεύσω. χέω, χεύσω. τούτων γὰρ οἱ μέλλοντες προσλαμβάνουσιν υ, ἀπὸ ἀρχαίων ἐνεστώτων γινόμενοι, χεύω, ῥεύω. ἔτι καὶ καίω, καύσω, καὶ κλαίω, κλαύσω ἀπὸ τοῦ καύω, καὶ κλαύω. ἢ ὅτι τῶν ἀθηναίων ἐκβαλλόντων τὸ ι τοῦ ἐνεστῶτος, κάω καὶ κλάω λεγόντων, διὸ πλεονάζει τὸ υ ἐν τῷ μέλλοντι. Ἔτι οἱ ἀθηναῖοι ἐπὶ τῶν ζω βαρυτόνων ὑπερδισυλλάβων, βραχὺ φύσει τὸ ι ἐχόντων, ἀποβολῇ τοῦ σ περισπώμενον μέλλοντα ποιοῦσιν. οἷον, νομίζω νομίσω κοινῶς, καὶ νομιῶ ἀττικῶς. βαδίζω. βαδίσω, καὶ βαδιῶ, καὶ βαδιοῦμαι ἄρκται. ἀγωνίζομαι, ἀγωνίσομαι,

impressi tamen strepo strepui facit, & iubeo iussi, secunda impressisti. tertia impressit. impresistis. runt. simus. impressistis. sserunt. sed ptūm imperfectū. sed veni pro veni, Bœotorum. sed viderunt te aquæ, & venerunt & didicerunt, & talia chalcidicæ sunt linguæ ad similitudinem dederunt.

De primo futuro.

Futurum primum a præsenti & coincipit ipsi easdē syllabas habens siue a vocali incipit, siue a cō sonante grauisonum ens, vt cōtionor tionabor, verbero rabo. scribo scribam, sed in vnum l grauisona superans futurum faciunt. curo curabo. volo volam. debeo debebo. Item augeo augebo, & elixo elixabo. & auxilior auxiliabor, qa apud antiquos circunflexa entia Athenienses grauisona fecerunt. Etiam omnia circunflexa, facio faciam. clamo clamabo. deauro deaurabo. contrarium autem in in mi fit abiecta reduplicatione. pono ponam. do dabo. seruat autem futurum penultimā proprii futuri. verbero verberabo. scribo scribā. relinquo relinquā. præter ea quintę sm nos coniugationis grauisonorum. horum enim futura abiiciunt vnam immutabilem, vel iota diphthongi, vt penultimam corripiant. cano canam. appareo apparebo. fero feram. & etiam præter notata. nauigo nauigabo. fluo fluam. fundo fundam. horum enim futura assumunt y. ab antiquis præsentibus facta. fundo. fluo. Etiam & vro vram, & fleo flebo ab vro & fleo. vel quia atheniensibus abiicientibus i præsentis, vro, & fleo dicentibus superabundat y in futuro. Etiam Athenienses in in zo grauisonis supra duas syllabas breui natura iota habentibus abiectione s circunflexum futurum faciūt, vt puto putabo cōmuniter & putabo attice. vado vadā & vadam, & vadam inuentum est. certo certabo.

ἀγωνιοῦμαι. τὸ δὲ δανείζω διὰ διφθόγγου γραφόμενον, δανείσω ποιεῖ, καὶ οὐ δανειῶ, ὥσπερ ποτέ τις τῶν ἀμαθῶν πλουσίων εἶπε παρ' Ἀθηναίοις ἐκκλησιάζουσι περὶ δανείου, Ἐγὼ δανειῶ ὑμῖν ὦ ἄνδρες Ἀθηναῖοι χρήματα. ὅπερ ἀκούσαντες, καὶ θορυβήσαντες. οὐ μόνον τὸν λόγον αὐτοῦ, ἀλλ' οὐδὲ τὸ δάνειον ἀπεδέξαντο, ἕως τίς παραστὰς εἶπεν ἐκείνῳ, δανείσω εἰπέ. καὶ τότε ἐκείνου δανείσω εἰπόντος ὑμῖν χρήματα, ἀπεδέξαντο καὶ ἐτίμησαν. Ὁμοίως καὶ οἱ δωριεῖς τοὺς βαρυτόνους, καὶ περισπωμένους μέλλοντας περισπῶσι, τυψῶ, καὶ ποιησῶ λέγοντες. οἱ δὲ αἰολεῖς τοὐναντίον τοὺς περισπωμένους μέλλοντας βαρύνουσι, προστιθέντες σ, κείρω, κερῶ κέρσω. φθείρω, φθερῶ, φθέρσω.

Ἔτι σεσημείωται τὸ τρέφω, θρέψω, καὶ τρέχω, θρέξω, τὰ συναρχόμενα τοῖς ἐνεστῶσιν. Ἔτι τὸ ἕξω διαφέρει ἔχω κατὰ τὸ πνεῦμα, εἰς διαφορὰν τοῦ ἔξω ἐπιρρήματος ἔχει ψιλουμένου. Ἔτι πᾶς μέλλων πρὸ τοῦ ω, ἢ ψ ἢ ξ, ἢ σ, ὡς εἴρηται, ἢ ἕν τι τῶν τεσσάρων ἀμεταβόλων. Ἔτι πᾶς μέλλων βαρύτονος πλὴν τῶν τῆς τετάρτης συζυγίας, ἢ ἴσην τὴν παραλήγουσαν ἔχει τῷ ἐνεστῶτι, ἢ μείζονα, τύπτω. τύψω. λέγω. λέξω. οὐδέποτε δὲ ἐλάττονα. πλὴν τοῦ πνίγω, πνίξω. ἐρύκω, ἐρύξω. ταῦτα γὰρ ἐν μὲν τῷ ἐνεστῶτι, καὶ μακρὸν καὶ βραχὺ τὸ δίχρονον ἔχει. ἐν δὲ τῷ μέλλοντι, ἀεὶ μακρόν. Τὸ δεύτερον, τύψεις. Τὸ τρίτον, τύψει. τύψετον. τύψετον. τύψομεν. τύψετε. τύψουσι, κατὰ τὸ τύπτω.

Περὶ μέλλοντος δευτέρου.

Ὁ μέλλων δεύτερος τυπῶ περισπώμενος, ἀπὸ τοῦ δευτέρου ἀορίστου, ἀμοιβῇ τοῦ ον εἰς ω, καὶ ἐκβολῇ τῆς ἀρχούσης, ὅθεν καὶ τὸ σύμφωνον αὐτοῦ φυλάττει. συνάρχεται δὲ τῷ πρώτῳ τῇ μόνῃ φωνῇ διαφέρων αὐτοῦ. Τὸ δεύτερον τυπεῖς, τὸ τρίτον τυπεῖ περισπωμένως. τυπεῖτον, τυπεῖτον, ὁμοίως τοῖς ἄλλοις. τυποῦμεν. τυπεῖτε. τυποῦσι. καὶ ταῦτα μὲν περὶ τῶν ὁριστικῶν. περὶ δὲ τῶν προστακτικῶν, καὶ τῶν ἄλλων ἐγκλίσεων, καθεξῆς ῥητέον.

tertabo. Sed mutuo per diphthongũ ſcriptũ mutuabo facit & nõ mutuabo. ſicut olim quidam indoctus diues dixit apud Athenienſes contionantes de mutuo. Ego mutuabo vobis o viri athenienſes pecunias, quod cũ audiuiſſent & tumultuati eſſent nõ ſolũ verbũ eius, ſed neq; mutuũ ſuſceperũt, donec quidã aſſiſtens dixit illi. mutuabo dic, & tunc illo mutuabo dicente vobis pecunias, ſuſceperunt, & honorarunt. ſimiliter & dores grauiſona & circunflexa futura circunflectunt. Verberabo, & faciam dicentes. æoles aũt contrarium, circunflexa futura grauant, apponentes s, tondeo tondebo tondebo. corrumpo corrũpam, corrumpam. Itẽ notatum eſt nutrio nutriam & curro curram non coincipientia præſentibus. Etiam habebo differt ab habeo ſecundum ſpiritum ad differentiam extra aduerbii attenuati. Etiã oẽ futurũ ante o, uel pſ hẽt vel x, vel s vt dictum eſt, vel vnam quãlibet quatuor immutabiliũ Etiam omne futurũ grauiſonũ prę ter quæ ſunt quartæ coniugationis, vel æqualẽ penultimã hẽt ſiti, vel maiorem. verbero verberabo. dico dicam. nunquam autem minorem, præter ſuffoco, ſuffocabo, prohibeo. ꝓhibebo. hęc. n. in præſenti, & longum, & breue bitempus hẽnt, ſed in futuro ſemper longum. Secũda verberabis. Tertia verberabit. verberabitis bũt, verberabimus bitis bunt. ſecundum verbero.

De futuro ſecundo.

Futurum ſm verberabo circunflexum a ſecundo indefinito mutatione on in o, & abiectione primæ, vnde & conſonantẽ ipſius ſeruat. coincipit vero primo ſola voce differens ab eo. ſecunda verberabis. tertia verberabit circunflexe verberabimus. rabunt. ſimiliter aliis verberabimus bitis verberabunt, & hęc vero de Indicatiuis. ſed de imperatiuis, & aliis modis deinceps dicendum.

Περὶ προστακτικῶν.

Ὁ ἐνεστὼς καὶ παρατατικὸς τοῦ προστακτικοῦ, τὸ δεύτερον τύπτε ἀπὸ τοῦ ἔτυπτε τρίτου προσώπου τοῦ παρατατικοῦ, ἐκβολῇ τῆς ἀρχούσης. Τὸ τρίτον τυπτέτω, ἀπὸ τοῦ δευτέρου, προσθέσει τω. πρῶτον δὲ πρόσωπον ἐν τοῖς προστακτικοῖς οὐκ ἔστιν. οὐδεὶς γὰρ προστάττει ἑαυτόν. Τὸ δυϊκὸν δεύτερον τύπτετον διὰ τοῦ ο μικροῦ, ἀπὸ τοῦ τύπτει, προσθέσει τον. Τὸ τρίτον τυπτέτων διὰ τοῦ ω μεγάλου, ἀπὸ τοῦ ἑνικοῦ τρίτου, προσθέσει ν, ἢ καὶ ἀπὸ τοῦ δυϊκοῦ δευτέρου εἰ βούλει. Τὸ πληθυντικὸν δεύτερον τύπτετε, ἀπὸ τοῦ ἑνικοῦ δευτέρου. Τὸ τρίτον τυπτέτωσαν, ἀπὸ τοῦ τυπτέτω, προσλήψει σαν. καὶ ἀττικῶς, τυπτόντων. καὶ τυψάντων, ἀντὶ τυψάτωσαν διὰ τὸ ν. οἱ γὰρ ἀττικοὶ τὸ πληθυντικὸν τρίτον ἐνεργητικὸν προφέρουσιν ὁμοφώνως τῇ γενικῇ πληθυντικῇ τῆς μετοχῆς ἐπὶ τῶν προστακτικῶν ἀπὸ ἐνεργητικῶν γινομένων, καὶ τὸ μ κλητικὸν ἐχόντων. μ δὲ κλητικὸν λέγεται παρὰ τοῖς παλαιοῖς ὅπερ ἔχουσι πάντα τὰ πρῶτα πρόσωπα πληθυντικὰ τῶν ὁριστικῶν χρόνων πρὸ τοῦ εν, τύπτομεν, ἐτύπτομεν. Καὶ οὕτω μὲν σχηματίσεις πᾶν προστακτικὸν εἰς ε ἀπὸ τῆς ἰδίας ἀρχῆς. ἀπὸ τοῦ τέτυφα παρακειμένου καὶ ὑπερσυντελικοῦ, τέτυφε, τετυφέτω. τετύφετον, τετυφέτων. τετύφετε, τετυφέτωσαν. ἀπὸ τοῦ τέτυπε, μέσος παρακείμενος, καὶ μέσος ὑπερσυντελικός, τέτυπε, τετυπέτω. ἀπὸ τοῦ ἔτυπεν ἀορίστου δευτέρου, τύπε, τυπέτω. εἰπὲ, εἰπέτω, καὶ εἶπον, εἰπέτω παρὰ Μενάνδρῳ. καὶ τὸ λάβον ἀντὶ λαβὲ, καὶ ἄνελον ἀντὶ ἄνελε, καὶ αὐτὸ νῖκα συρακουσίων ἐστί. τὸ δὲ τοῦ πρώτου ἀορίστου ὤφειλε καὶ αὐτὸ τύψε κατὰ τὴν ἀκολουθίαν τῶν ἄλλων, ἀλλ᾽ ὥς φασι συρακουσίων δωριέων ἔθει γέγονε, τοῦ ε εἰς ον μεταβληθέντος. καὶ λέγομεν, τύψον, τυψάτω. τύψατον, τυψάτων. τύψατε, τυψάτωσαν, καὶ τυψάντων διὰ τὸ α, ὃ φιλεῖ ὁ ἀόριστος. πάντα δὲ τὰ τῶν παρῳχημένων, σημασίαν μέλλοντος ἔχουσι. καλοῦνται δὲ ἀφ᾽ ὧν παράγονται. ὁ δὲ μέλλων ἀμοιρεῖ προστακτικοῦ, διότι ὁ ἀόριστος πρῶτος αὐτὸ προήρπασε. τὸ δὲ ὁμηρικὸν ἐκεῖνο, Οἶσον θεῖον γένος, ἀντὶ κόμισον, ἀφ᾽ οὗ τὸ Οἶσε τε

principiis formantur. a verberor præsens & præteritum imperfectum verberatus commutatione mæ in menos. fœmi. verberata. neutrum verberatum a masculino vltima mutata. eodem modo & alia tempora ptm̄ pf. & plusquā perfectum a verberatus fui. verberatus verberata verberatum. aoristus primus passiuus a verberatus fui, verberatus rata. verberatum à a verberatus fui. aoristus secundus. verberatus verberata. verberatum. futurum primum a verberabor verberandus, verberanda. verberandum, a verberabor verberandus verberanda verberandum. a verberabor. paulopost futurum. verberandus verberanda. verberandum. medius aoristus primus a verberatus fui. verberatus. verberata verberatum. medius aoristus secundus a verberatus fui. verberatus verberata verberatum. medium futurum primum. a verberabor verberandus verberanda dum, medium futurum secundum a verberabor verberandus verberanda verberandum. & hæc quidē sufficiunt de grauisono verbo a veterib⁹ iterrogamētis in cōpendio tracta. de declinatione aūt aliorū verborū grauisonorū superfluū existimaui dicere, qm̄ inueniuntur per se scripta neq; de declinatione temporaria, vel inclinatiua proprium dicere sciens. n. personalē, & illas potuit inuenire facile. onus aūt supra onus introductitiis ferè molestum est. sed & de circunflexis & in mi. breuissime dicamus.

De circunflexis verbis.

Circunflexa verba ab in o purum grauisonis fiunt per cōmixtionē circunflexe. quare & circunflexa dicuntur. a facio ionico, facio Clamo clamo inauro inauro. hæc aūt æoles, vt scriptum est, in mi faciunt. intelligo ꝑ intelligo, amo ꝑ amo laudo apud Hesiodū ꝑ laudo. horū ꝯiugatōes tres, vt ꝑdictū est, quorū prima

διὰ τοῦ εω πρωτοθέτως ἐν τῇ παραληγούσῃ τοῦ μέλλοντος καὶ τῶν ἄλλων χρόνων πλὴν τοῦ παρατατικοῦ τὸ η ἢ τὸ ε ἔχει οὕτως. Ὅτε ὁ ἐνεστὼς τούτων μακρᾷ φύσει ἢ θέσει παραλήγει, τότε ὁ μέλλων τῷ η παραλήγει, μιᾷ συλλαβῇ περιττεύων τοῦ ἰδίου περισπωμένου ἐνεστῶτος. ποιῶ, ποιήσω. αἱρῶ, αἱρήσω. οἰκῶ, οἰκήσω. τηρῶ, τηρήσω. ἀντλῶ, ἀντλήσω. ἐξαιρεῖται τὸ ἀρκῶ, ἀρκέσω. νεικῶ, νεικέσω. αἰδῶ, αἰδέσω. αἰνῶ, αἰνέσω. ὅθεν ἐπαινῶ, ἐπαινέσω κοινῶς. παρὰ δὲ τοῖς παλαιοῖς αἰνήσω, καὶ ἐπαινήσω. ὅθεν καὶ ὁ ποιητής, Μῦθον ἐπαινήσαντες ὀδυσσῆος θείοιο. Ἔτι καὶ τὰ μονοσύλλαβα εἰς η, χῶ, χήσω. ῥῶ. ῥήσω καὶ τὰ εἰς ἓν λ. θέλω, θελήσω. μέλω, μελήσω. Ὅτε δὲ ὁ ἐνεστὼς βραχείᾳ παραλήγει, τότε ὁ μέλλων ὁτὲ μὲν, τῷ η παραλήγει. φιλῶ, φιλήσω. νοῶ, νοήσω. φθονῶ, φθονήσω. ὁτὲ δὲ τῷ ε, τελῶ, τελέσω. καλῶ, καλέσω. ὀλῶ, ὀλέσω. ἐνίοτε δὲ καὶ ἀμφότερα. φορῶ, φορήσω, καὶ φορέσω. πονῶ, πονήσω ψυχικῶς, καὶ πονέσω σωματικῶς. τὸ φρονῶ, φρονήσω, καὶ φρονέσω. χωρῶ, χωρήσω, καὶ χωρέσω. ἀεὶ δὲ η φυλάττει καὶ ὁ παρακείμενος, καὶ ὁ ὑπερσυντέλικος, καὶ ὁ ἀόριστος. μέσοι δὲ παρακείμενοι καὶ ἀόριστοι δεύτεροι οὐκ εἰσὶ πλὴν τῶν σεσημειωμένων τῆς πρώτης καὶ δευτέρας συζυγίας αὐτῶν. δουπῶ, δουπήσω, δεδούπηκα πρῶτος, δέδουπα, μέσος, μιᾷ συλλαβῇ ἐλλείπων τοῦ πρώτου. ἀόριστος δεύτερος, ἔδουπον. κτυπῶ, κτυπήσω, ἐκτύπηκα πρῶτος, ἔκτυπα μέσος. ἔκτυπον ἀόριστος β. ἀνωγῶ, ἀνωγήσω, ἠνώγηκα. ἤνωγα. ἤνωγον. μυκῶ, μυκήσω. μεμύκηκα. μέμυκα. ἔμυκον. χραισμῶ, ἔχραισμον ἀόριστος δεύτερος. ὀλισθῶ, ὄλισθον. ἁμαρτῶ, ἥμαρτον. αἱρῶ, βλαστῶ, ἔβλαστον. ἀλαλκῶ, ἤλαλκον. τούτων δὲ οἱ δεύτεροι ἀόριστοι φύσει ἢ θέσει μακρᾷ παραλήγουσι τοὐναντίον τοῖς βαρυτόνοις. καὶ τὰ μὲν πρωτόθετα ἰωνικὰ καὶ ποιητικὰ, ὁμοίως τοῖς βαρυτόνοις κλίνονται, ποιέω. ποιέεις. ποιέει. τὰ δὲ δεύτερα ἐκ τῆς κράσεως περισπώμενα, ἰδίαν ἔλαχον κλίσιν κατὰ ἐν τῷ ἐνεστῶτι καὶ παρατατικῷ. ἐν δὲ τοῖς ἄλλοις χρόνοις ὡσαύτως τοῖς βαρυτόνοις κλίνεται. ὥστε εἴ τις οἶδε κλίνειν καλῶς τὸ τύπτω καὶ τύπτομαι θεμέλιον εἶναι

per eo primitiue in penultima futuri & ...orum temporum præterq̄ ptí impfecti i, vel e hēt sic. ...ū præsens horū longa natura aut positiōe penultimat. tunc futurum i penultimat vna syllaba excedens proprium circūflexū p̄sens facio faciā inuenio inueniā, habito habitabo. seruo. bo. certo certabo, excipitur sufficio sufficiā, altercor, cabor. pudeo, pudebo, laudo laudabo, vnde laudo laudabo cōmuniter. apud veteres ...t laudabo & laudabo. vnde & poeta, verbū laudātes ...xis diuini. Etiam & solisyllaba in i teneo tenebo. dico dicā & quæ in vnū l. volo volam. curo curabo. cum autem præsens breui penultimat, tunc futurum interdū qdē i penultimat amo amabo, intelligo. ligam. ...deo. debo. cum autem e finio finiam. voco. vocabo perdo perdam. interdum vero & vtraq;. fero feram & ferā, laboro laborabo aialiter. & laborabo corporaliter. sapio sapiam, & sapiam. Capio capiam, & capiam. i. ...tem seruat & ptūm perf. & plusq̄ perf. & aoristus. ...dia autem præterita pfecta & aoristi secundi nō sunt præterquam notata primæ & secundæ coniugationis ...orum. strepo strepam strepui primus strepui medius vna syllaba deficiens a primo, aoristus secundus strepui pulso pulsabo pulsaui primus. pulsaui medius pulsaui aoristus secūdus iubeo iubebo iussi iussi iussi. mugio mugiam, mugii, mugii, mugii, iuuo, iuui aoristus secundus, labor, lapsus sū, pecco peccaui, inuenio iueni, germino germinaui, opitulor, latus sū. horū āt scdi aor. natura aut positione lōga penultimant contrarie grauisonis, & primitiua quidē ionica & poetica, similī grauisonis declinantur. facio facis facit. at secunda oratoria circūflexa propriā sortita sunt declinationē pmixtionē in præsenti & ptō imperfecto, in aliis autem temporibus similī grauisonis declinantur, vt siquis nouit declinare bene verbero & verberor, fundamentum existentia

πάντων τῶν ῥημάτων, ἀπόνως καὶ ταῦτα κλινεῖ. ὁ δὲ ἐκείνων ὀλιγωρῶν, καὶ τούτων ἄπειρος ἔσται, καὶ ὁ κόπος τὰ αὐτοῦ κενὸς ἔσται. χωρὶς γὰρ ἀρχῶν καὶ θεμελίων τὰ πάντα κενά.

Κράσεις τῆς πρώτης.

Αἱ δὲ κράσεις τῆς πρώτης συζυγίας ἐν ὁριστικοῖς, προστακτικοῖς, εὐκτικοῖς, ὑποτακτικοῖς, ἀπαρεμφάτοις, καὶ μετοχαῖς, οὑτωσὶ γίνονται. Τὸ ε καὶ ω, εἰς ω κιρνᾶται. Τὸ ε καὶ ει, εἰς ει. Τὰ δύο εε, εἰς ει. Τὸ ε καὶ ο, εἰς ου. Τὸ ε καὶ ου, εἰς ου. Τὸ ε καὶ οι, εἰς οι. Τὸ ε καὶ η, εἰς η. Ποιέω, ῶ. ποιέεις, εῖς. ποιέει, εῖ. Ἐποίεον, ουν. Ὁ ὑπερσυντέλικος, ἐπεποιήκειν. Ὁ ἀόριστος, ἐποίησα. Ὁ μέλλων, ποιήσω. χρονικῶς μόνον ἐν τούτοις καὶ ἐγκλητικῶς, ἵνα μὴ τὸ πάρεργον μεῖζον τοῦ ἔργου γένοιτο. ἡ κλίσις γὰρ τούτων πολλοῖς τε ἄλλοις εἴρηται, κἀμοὶ ἐν τῷ πρώτῳ, ὅ, τε σχηματισμὸς ὁ αὐτὸς τοῖς βαρυτόνοις. Ποίεε, ει. ποιεέτω. ποιείτω. Πεποίηκε, πεποιηκέτω. Ποίησον, ποιησάτω. Τὸ εὐκτικὸν, ποιέοιμι, ποιοῖμι. καὶ τροπῇ τοῦ μι εἰς ην αἰολικῶς, ποιοίην, ης, η. οὕτω καὶ βοάοιμι, βοῷμι., βοῴην, ης, η, καὶ χρυσόοιμι, χρυσοῖμι, χρυσῴην, ης, η. πεποιήκοιμι. ποιήσαιμι. ποιήσοιμι. Ὑποτακτικὰ, ἐὰν ποιέω, ῶ. ποιέης, ῇς. ποιέῃ, ῇ. Ἐὰν πεποιήκω. Ἐὰν ποιήσω, ἀντὶ μέλλοντος. Ποιέειν, εῖν. πεποιηκέναι. ποιῆσαι. ποιήσειν. Ὁ ποιέων. ῶν. Ἡ ποιέουσα. ποιοῦσα. Τὸ ποιέον, οῦν. ὁ πεποιηκώς. ὁ ποιήσας. ὁ ποιήσων.

Παθητικά.

Ποιέομαι, ποιοῦμαι, τὸ παθητικόν. ποιέῃ, ῇ. ποιέεται, εῖται. ἐποιεόμην. ἐποιούμην. πεποίημαι. σαι. ται. τὸ πληθυντικὸν τρίτον πεποίηνται κοινῶς, καὶ ἰωνικῶς πεποιέαται, ἀπὸ τοῦ τρίτου τοῦ ἑνικοῦ, τροπῇ τοῦ η εἰς ε, καὶ πλεονασμῷ τοῦ α. πᾶν γὰρ τρίτον ἑνικὸν τοῦ παθητικοῦ παρακειμένου ἔχον πρὸ τοῦ τ φωνῆεν μακρὸν, τρέπον αὐτὸ εἰς βραχὺ, τὸ ἰωνικὸν τρίτον ποιεῖ, προστεθέντος καὶ α, πεποίηται, πεποιέαται. διὸ οἱ περισπώμενοι μακρᾷ παραλήγοντες, ταύτην συστέλλουσιν εἰς τὴν ὀφειλομένην συστολὴν, βεβόηνται, βεβοέαται.

omniū verborum, illaboriose & hæc declinabit. qui āt illa negligit & horum inexpertus erit, & labor ipsius inanis erit, sine principiis enim & fundamentis omnia inania.

Mixtio prima.

Mixtiones primę cōiugationis in indicatiuis, impatiuis optatiuis, subiunctiuis, infinitiuis & participiis sic fiunt. e & o in o. miscetur. e & ei in ei. duo ee in ei, & o, in u. e & u in u. e & oi, in oi. e & i in i. facio. cio. facis. cis. facit. cit. faciebā. bam. faciebas. bas faciebat. bat. ptūm perf. feci. Præteritum plusquā perfectum feceram. aoristus feci. futurum faciam temporaliter solum in his. & inclinatiue, ne quod est extra rem maius re fiat declinatio eorum horum multis aliis dicta est, & mihi in primo & formatio eadem grauisonis. fac fac faciat faciat. feceris. fecerit. facito facito. optatiuum. facerem facerem. & mutatione mi in in æolice, facerē res ret, sic & clamarem. arem. clamarem. res. ret. & inaurarem inaurarem rarem. res. ret fecissem. fecerim. fecerim, faciam. Subiunctiua si faciam. am. facias. as. faciat at, si fecissem, si fecero, pro futuro facere facere. fecisse fecisse factum. ire, faciens faciens. faciens tis faciens faciens. qui fecit. qui fecit facturus.

Passiua.

Fio fio passiuum fis fis fit fit. fiebam fiebam. factus sum. es. est. pluralis tertia facti sunt communiter & ionice facti sunt, a tertia singulari mutatione i in e & multiplicatione a. omnis enim tertia singularis passiui pręteripfecti hūs ante t vocalem longam mutans ipsam in breuē, ionicā tertiā facit addito & a. factum est. facta sunt, propter qd circunflexi longa penultimantes hanc corripiunt in debitam correptionem, clamarum est clamata sunt

κεχρύσωται, κεχρυσώαται. εἰ δὲ βούλει, καὶ ἀπὸ τοῦ τρίτου πληθυντικοῦ, ἀμοιβῇ τοῦ ν εἰς α, ὥσπερ τύψηνται. τετύφαται, πεποίηνται, πεποιέαται, τῆς ὀφειλομένης συστολῆς γινομένης. ἐπεποιήμην, πεποιήσομαι. ἐποιήθην, ποιηθήσομαι. ἐποιησάμην, ποιήσομαι. Ποιέου, οῦ. πεποίησο. ποιήθητι. ποίησαι. ποιεοίμην, ποιοίμην. πεποιοίμην. ποιηθείην. ποιηθησοίμην. ποιησαίμην. ποιησοίμην. ἐὰν ποιέωμαι, ῶμαι. ἐὰν πεποιῶμαι. ἐὰν ποιηθῶ. ἐὰν ποιήσωμαι, ἀντὶ μέλλοντος πάντοτε. Ποιέεσθαι, εῖσθαι. πεποιῆσθαι. ποιηθῆναι. ποιήσασθαι. ποιήσεσθαι. ὁ ποιεόμενος, ούμενος. ὁ πεποιημένος. ὁ ποιηθείς. ὁ ποιησάμενος. ὁ ποιησόμενος. Σημείωσαι δὲ τὰ δισύλλαβα ἐν δευτέρῳ καὶ τρίτῳ προσώπῳ συναίρεσιν μὴ πάσχειν, νέω, νέεις, εῖς. νέει, εῖ. πλέω, πλέεις, εῖς. πλέει, εῖ. ῥέω, ῥέεις, εῖς. ῥέει. χέω, χέεις, εῖς. χέει, εῖ. καὶ ἐν τοῖς παθητικοῖς ἐν τρίτῳ πληθυντικῷ ἔεται. καὶ τὸ δεῖται μετὰ τούτων. Δευτέρα ἐστὶν ἡ διὰ τοῦ α προφερομένη, ἐν τῇ παραληγούσῃ τοῦ μέλλοντος καὶ τῶν ἄλλων χρόνων τὸ α ἢ τὸ η ἔχει, οὕτως εἰσίν. Ὅτε δὲ ὁ ἐνεστὼς αὐτῶν πρὸ τοῦ ω ἐπὶ ι ἔχει τότε ὁ μέλλων τῷ α παραλήγει. ἐῶ, ἐάσω. θεῶ, θεάσω. αἰνιῶ, αἰνιάσω. ἐρυθριῶ, ἐρυθριάσω. ἀλλοιῶ, ἀλλοιάσω κοινῶς, καὶ ἀλλοιήσω ἰωνικῶς. Ἔτι τὰ παραληγόμενα τῷ ο, ἀκροῶ, ἀκροάσω. ἐξαιρεῖται βοῶ, βοήσω. γοῶ, γοήσω. ἀλοῶ, ἀλοήσω, καὶ ἀλοάσω. Ἔτι τὰ εἰς ρω ὑπὲρ μίαν συλλαβὴν, περῶ, περάσω. φυρῶ, φυράσω. γηρῶ, γηράσω. ξυρῶ δὲ, ξυρεῖς. Ξυρεῖ γὰρ ἐν χρῷ τοῦτο. Ἔτι τὰ εἰς λω ὑπὲρ μίαν συλλαβὴν τῷ ε παραληγόμενα, γελῶ, γελάσω. ἐλῶ, ἐλάσω. Ἔτι τὰ εἰς ρω καὶ λω μονοσύλλαβα, μὴ ποιοῦντα παράγωγα εἰς μι, δρῶ, δράσω. κλῶ, κλάσω, φλῶ, φλάσω. θλῶ, θλάσω. Ἔτι ὅτε ὁ ἐνεστὼς τῷ υ παραλήγει, τότε καὶ ὁ μέλλων τῷ η, ἐγγυῶ, ἐγγυήσω. λυῶ, λυήσω. δυῶ, δυήσω. Ἔτι τὰ εἰς λω μόνον ἢ μετὰ συμφώνου κατὰ σύλληψιν, εἴτε κατὰ διάστασιν, συλῶ, συλήσω. κραιπαλῶ, κραιπαλήσω. ὁμιλῶ, ὁμιλήσω. ποδαγρῶ, ποδαγρήσω. χολῶ, χολήσω. μελαγχολῶ, μελαγχολήσω. ἀσχολῶ, ἀσχολήσω. πλὴν τοῦ χαλῶ, χαλάσω. ἱλῶ, ἱλάσω. Ἔτι τὰ εἰς ρω καὶ λω παράγωγα εἰς μι.

inauratum est inaurata sunt. si autem uis & a tertia
commutatione n.in a vt verberent verberent.
facti sunt, debita correptione facta factus
fiam factus fui fiam. factus fui
fias as, factus sis factus sis, factus sis.
fierem factus fuissem. fuerim. fiam.
fuissem fiam si fiam.am. si factus fuerim.
fuissem. si fiam pro futuro semper.
factum esse factū fuisse factum fuisse factum iri.
fiens. factus factus factus.
Nota autem bissyllaba in secunda &
persona contractionem non pati,eo is is it it,
nauigas as. nauigat at. fluo fluis is. fluit. fluit.
fundis is.it.it & in passiuis in tertia, nauigatur
& indige cum is secunda est per ao
in penultima futuri & aliorum
a aut i habet hoc modo.cum pręsens ipori
e aut i habet tunc futurū a penultimat.sino sinā
spectabo,tristo tristabo. erubeo erubebo. altero
communiter & alterabo ionice. Etiam penultiman
audio audiā.excipit Clamo clamabo fleo flebo
abo & triturabo, etiam in rho supra vnam
,trancio tranciā,misceeo miscebo,senescosenescā.
radis radit.n in cute hoc.etiā in lo supra vnā
e penultimantia.rideo ridebo. ago agam.
rho & lo solisyllaba non facientia deriuatiua
facio faciā.frāgo frangā. rūpo.rūpā frango frāgā.
præsens.y.penultimat, tunc & futurum i.
debo. seditioni trado.sed tradā,eturbo.bo,ēt in
cū cōsonante p comprehensionem, aut per
,spolio spoliabo. crapulor crapulabor. minor
podagror podagrabor, bilio biliam insanio
negocior negociabor. prater q laxo laxabo,
propitiabo,etiam in to & lo deriuatiua in mi

ποιοῦντα, χρῶ, χρήσω. ὅτι χρῆμι. πρῶ, πρήσω, ὅτι πρῆμι. τλῶ, τλήσω, ὅτι τλῆμι. Ἔτι τὰ εἰς ἄλλο τι σύμφωνον λήγοντα, σμῶ, σμήσω, κνῶ, κνήσω. ζῶ, ζήσω. νικῶ, νικήσω. πεινῶ, πεινάσω. διψῶ, διψήσω. κυβερνῶ, κυβερνήσω. τιμῶ, τιμήσω. ἡβῶ, ἡβήσω. τρυφῶ, τρυφήσω. τρυγῶ, τρυγήσω. σιγῶ, σιγήσω. σιωπῶ, σιωπήσω. σπῶ, σπήσω, τὸ ἀκολουθῶ. σπῶ δὲ σπάσω, τὸ ἀνασπῶ, ἀνασπάσω. Αἱ κράσεις τῆς δευτέρας συζυγίας εἰσὶν αὗται ἐν πᾶσι τοῖς ἐνεργητικοῖς καὶ παθητικοῖς. Τὸ α καὶ ω, εἰς ω κιρνᾶται. τὸ α καὶ ε ἐν ει διφθόγγῳ, εἰς ᾳ ὑπογεγραμμένον. τὸ α καὶ ε, εἰς α μακρόν. τὸ α καὶ ο, εἰς ω καὶ τὸ α καὶ ου, εἰς ω. τὸ α καὶ ειν, εἰς αν. Τὸ α καὶ ῃ, εἰς ᾳ ὑπογεγραμμένον. Τὸ α καὶ η, εἰς α. Ὁριστικά. Βοάω, ῶ. βοάεις, ᾷς μετὰ τοῦ προσγεγραμμένου ι. ὡσαύτως καὶ τὸ βοάει, ᾷ. ἐβόαον, ων. ἐβόαες, ας. ἐβόαε α. βεβόηκα. ἐβεβοήκειν. ἐβόησα. βοήσω. Βόαε, α. βοαέτω, άτω. βεβόηκε. κέτω. βόησον. σάτω. Βοάοιμι, ῷμι. βοάοις, ῷς. βοάοι, ῷ μετὰ τοῦ ι. καὶ αἰολικῶς, βοῴην, ης, η. βεβοήκοιμι. βοήσαιμι. βοήσεια. βοήσοιμι. Ἐὰν βοάω, ῶ. βοάῃς, ᾷς. ᾷ ὁμοίως τοῖς ὁριστικοῖς. Ἐὰν βεβοήκω. Ἐὰν βοήσω. Βοάειν, ᾶν. βεβοηκέναι. βοῆσαι. βοήσειν. Ὁ βοάων, ῶν. ὁ βεβοηκώς. ὁ βοήσας. ὁ βοήσων. Βοάομαι, ῶμαι. βοάῃ, ᾷ. βοάεται, ᾶται. ἐβοαόμην, ώμην. βεβόημαι. ἐβεβοήμην. ἐβοήθην. βοηθήσομαι. ἐβοησάμην. βοήσομαι. Βοάου, ῶ. βεβόησο. βοήθητι. βόησαι. Βοαοίμην, ῴμην. βεβοῄμην. βοηθείην. βοησαίμην. βοησοίμην. Ἐὰν βοάωμαι, ῶμαι. ἐὰν βεβοῶμαι. ἐὰν βοηθῶ. ἐὰν βοήσωμαι. Βοάεσθαι, ᾶσθαι. βεβοῆσθαι. βοηθῆναι. βοήσασθαι. βοήσεσθαι. Ὁ βοαόμενος, ώμενος. ὁ βεβοημένος. ὁ βοηθείς. ὁ βοησάμενος. ὁ βοησόμενος. Τρίτη ἐστὶν ἡ διὰ τοῦ ου προφερομένη, ἐν τῇ παραληγούσῃ τοῦ μέλλοντος καὶ τῶν ἄλλων χρόνων τῷ ω μεγάλῳ παραλήγει ὡς ἐπὶ τὸ πλεῖστον. ἐν ὀλίγοις δὲ τῷ ο μικρῷ οὕτωσιν· Ὅτε τὰ τῆς τρίτης ἔμικτα ἔχουσι τὸ προεπικείμενον ἔμικτον; τότε τὸ ω μέγα ἀρέσκει ἐν τῇ παραληγούσῃ τοῦ μέλλοντος. χρυσόω, ῶ, χρυσώσω, ὅτι χρυσόω.

faciētia, vtor vtar. qm̄ vtar incēdo incendā. qm̄ incēdo. fero ferā. qm̄ fero. etiā in aliā aliquā consonātē desinētia, tergo tergā scalpo scalpā viuo viuā vinco vincam, esurio esuriam sitio am. guberno gubernabo honoro honorabo pubesco scam. delitior ābor. vindemio demiabo. sileo, lebo. taceo. ebo. sector sectabor. in sequor, vello autem vellam vello s. vellam. Cōmixtiōes secundæ coniugationis sunt hæ in omnibus actiuis, & passiuis a. & o. in o. miscetur. & e. in ei. diphthongum, in a subscriptum. a & e. in a longū. a & o in c. & a. &. u. in o. a. & in in an. a & oi in o subscriptū. a & i in a. indicatiua clamo mio clamas clamas cum ascripto i similiter & clamat at clamabā bam. clamabas bas, clamabat. bat. clamauí clamarā mauí. abo. clama. a. clamet. met. clamet met. clama clamet. clamarē. clamarē. clamares res. clamaret ret. cū & æolice, clamarē res. ret. clamauerim. clamauissem. clamauissē. clamem si clamem. mem clames es. clamet met, similiter in indicatiuis. si clamauissē. si clamauero. clamare re. clamauisse clamauisse, clamatū ire clamans ans, clamans. vociferatus, clamaturus, clamor mor, clamaris. aris. clamat. at. clamabar. bar. clamatus sum, clamatus sum, clamabor, clamatus sū clamabor. clamare. clamatus sis. clamator. mator. clamarer rer. clamatus essē, clamatus fuissem, clamat⁹ essē, clamer, si clamer mer. si clamatus sim. si clamat⁹ fuero. si clamatus fuero. clamari ari. clamatū fuisse, clamatum fuisse, clamatū esse clamatum iri. clamatus. tus. clamatus. clamatus. clamatus, clamandus. tertia est quæ per oo profertur in penultima futuri & aliorum temporum o magno penultimat vtplurimū in paucis autem o paruo sic cum tertiæ verba habent præpositum verbale, tunc o magnum inuenies in penultima futuri, inauro. ro. inaurabo, quoniam aurum.

ἀργυρόω, ῶ, ἀργυρώσω, ὅτι ἄργυρ☉. γυψῶ, γυψώσω, ὅτι γύψ☉. χειρῶ, χειρώσω. ὅτι χείρ. πυρῶ, πυρώσω, ὅτι πῦρ. στεφανῶ, στεφανώσω, ὅτι στέφαν☉. ὀρθῶ, ὀρθώσω, ὅτι ὀρθός. στρεβλῶ, στρεβλώσω, ὅτι στρεβλός. κακῶ, κακώσω, ὅτι κακός. ταπεινῶ, ταπεινώσω, ὅτι ταπεινός. καὶ ἄλλα πάμπολλα. πλὴν ὀλίγων τινῶν τῶν ἐχόντων τὸ ο μικρόν. ἀρῶ, ἀρόσω. ὀμῶ, ὀμόσω. οἰῶ, οἰόσω. βόα, ῶ, βώσω. ὅπερ καὶ ἐν τοῖς ἄλλοις χρόνοις ἐστὶν ἰδεῖν. Αἱ δὲ κράσεις τῆς τρίτης οὕτως ἔχουσι. Τὸ ο καὶ ω. εἰς ω κιρνᾶται. Τὸ ο καὶ οι, εἰς οι. Τὸ ο καὶ ε, εἰς ου. Τὰ δύο οο, εἰς ου. Τὸ ο καὶ ει, εἰς ου. Τὸ ο καὶ η, εἰς οι. χρυσόω, ῶ. χρυσόεις. οῖς. χρυσόει, οῖ. ἐχρύσοον, ουν. κεχρύσωκα. ἐκεχρυσώκειν. ἐχρύσωσα. χρυσώσω. Χρύσοε, ου. κεχρύσωκε. χρύσωσον. Χρυσόοιμι, οῖμι. κεχρυσώκοιμι. χρυσώσαιμι. χρυσώσοιμι. Ἐὰν χρυσόω, ῶ. χρυσόῃς, οῖς. χρυσόῃ, οῖ. ὁμοίως τοῖς ὁριστικοῖς. Ἐὰν κεχρυσώκω. ἐὰν χρυσώσω. Χρυσόειν, οῦν. κεχρυσωκέναι. χρυσῶσαι. χρυσώσειν. Ὁ χρυσόων, ῶν. ὁ κεχρυσωκώς. ὁ χρυσώσας. ὁ χρυσώσων. Χρυσόομαι, οῦμαι. ἐχρυσοόμην, ούμην. κεχρύσωμαι. ἐκεχρυσώμην. ἐχρυσώθην. ἐχρυσωσάμην. χρυσώσομαι. Χρυσόου, οῦ. κεχρύσωσο. χρυσώθητι. χρύσωσαι. Χρυσοοίμην, οίμην. κεχρυσωμένος εἴην, χρυσωθείην. χρυσωσαίμην. χρυσωσοίμην. Ἐὰν χρυσόωμαι, ῶμαι. Χρυσόῃ, οῖ. χρυσόηται, οῦται, καὶ χρυσῶται. Ἐὰν κεχρυσωμαι. Ἐὰν χρυσωθῶ. Ἐὰν χρυσώσωμαι. Χρυσόεσθαι, οῦσθαι. κεχρυσῶσθαι. χρυσωθῆναι. χρυσώσασθαι. χρυσώσεσθαι. Ὁ χρυσοόμενος, ούμενος. κεχρυσωμένος. ὁ χρυσωθείς. ὁ χρυσωσάμενος. ὁ χρυσωσόμενος.

Περὶ τῶν εἰς μι.

Τούτων οὕτως ἐχόντων, καὶ περὶ τῶν εἰς μι λέγωμεν, βραχύτατα, ὧν αἱ συζυγίαι, ὡς ἔγνωσαι, τέσσαρές εἰσι. πίπτουσιν ἡ πρώτη, ἀπὸ τῆς πρώτης τῶν περισπωμένων. τιθέω, ῶ, τίθημι. ἡ δευτέρα, ἀπὸ τῆς δευτέρας, ἱστάω, ῶ, ἵστημι. ἡ τρίτη, ἀπὸ τῆς τρίτης, διδόω, ῶ, δίδωμι. ἡ δὲ τετάρτη, ἀπὸ τῶν εἰς ω βαρυτόνων μέχρι παρατατικοῦ κλινομένη. ζευγνύω, ζεύγνυμι. πηγνύω, πήγνυμι. ὀλύω, ὄλυμι. καὶ ἡ μὲν πρώτη καὶ δευτέρα, τῷ η παραλήγει. ἡ δὲ τρίτη, τῷ ω. ἡ δὲ τετάρτη, τῷ υ.

deargento'to deargētā. qm̄ argentum. gypſo gypſabo. qm̄ gypſus. capio capiā. qm̄ manus, ſuccēdo ſuccēdam, qm̄ ignis corono, coronabo. qm̄ corona, erigo erigam. qm̄ rectus, torqueo torquebo. qm̄ tortus, lædo lædam. qm̄ malus, humilio humiliabo. quoniā humilis & alia multa, præter pauca quædam habentia o paruum, aro arabo, iuro iurabo, culpo culpabo paſcor o paſcar quod & in aliis tēporibus eſt videre. Cōmixtiones aūt tertiæ ſic habent o & e in o miſcetur. o & oi in oi. o & e in u, duo oo in u o & in in un. o & i in oi. inauro ro inauras ras, inaurat, rat. inaura/bam, bam, inaurani inaurauerani, inaurani inaurabo, inaura. ra. inaura inaurato, inaurarem, rem inaurauiſ/ſem, inaurauerim inaurauerim inaurem, ſi inaurem rē, inaures res, iauret ret, ſimulr̄ in īdicatiuis, ſi īaurauiſsē ſi inaurauero, inaurare re, inaurauiſſe inauraſſe, inauratū ac inaurās inaurās, inaurās inaurās, inauratur⁹, inauror inauror inaurabar bar, inauratus fui inautat⁹ fierā inau ratus ſum, inauratus fui inaurabor, inaurare rare, inaurat⁹ inaurator. inaurator. inaurarer. arer. inaurat⁹ fuiſsē, inau ratus fuiſſem. inauratus fuiſſē, inaurer, ſi inaurer rer inau rere re. inaureṫ. tur, & iaureṫ, ſi inaurat⁹ fuiſsē ſi inaurat⁹ ſim. ſi inauratus fuero. inaurari ri. inauratum fuiſſe. in/auratum eſſe, inauratum eſſe, inauratū iri, inauratus atus inauratus, inauratus, inauratus inaurandus.

De in mi.

His ita ſe habentibus, & de in mi dicamus breuiſsi me, quorū cōiugatiōes, vt cognitū ē quatuor ſunt, harū prima a prima circunflexorum, pono pono. pono ſecunda a ſecunda, ſiſto ſiſto ſiſto. tertia a tertia do do do. quarta autem ab yo grauiſo/nis vſq; ad ptūm inq̧ effectum declinata, iungo iungo, coagulo coagulo, perdo perdo. & prima quidem & ſecunda i penultimat. tertia autem o. quarta autē y

κοινὸν δ' αὐτοῖς ἐν τῷ μέλλοντι ἀποβάλλειν τὴν πρώτην
συλλαβήν. τίθημι, θήσω. ἵστημι, στήσω. δίδωμι, δώσω. καὶ
ἐν μὲν τοῖς ἐνεργητικοῖς, μακρὰ παραλήγειν. ἐν δὲ τοῖς παθη-
τικοῖς, βραχεῖα, τίθημι, τίθεμαι. ἵστημι, ἵσταμαι. δίδωμι,
δίδομαι. ζεύγνυμι, ζεύγνυμαι. εἰ μή που ποιητικὴ ἄδεια ἢ παι-
τίον ἐν τοῖς παθητικοῖς γένοιτο, ὡς τίθημαι. ἀκάχημαι. δίζημαι, καὶ
ἄλλα ἰωνικά. οἱ δὲ αἰολεῖς τίθαιμι, ἵσταιμι λέγουσι. καὶ τὰ μὲν
εἶσμι, ἐν μὲν τῷ ἐνεστῶτι καὶ παρατατικῷ καὶ ἀορίστῳ
δευτέρῳ, ἰδίαν ἔλαχον κλίσιν. ἐν δὲ τοῖς ἄλλοις χρό-
νοις, ὁμοιοτρόπως τοῖς βαρυτόνοις κλίνονται. ἃ πρὸ τῶν ἄλλων
δεῖ καλῶς μαθεῖν. σχηματίσεις δὲ αὐτῶν τὰ δεύτερα πρόσωπα
ἀπὸ τῶν πρώτων, τροπῇ τοῦ μι εἰς ς. τίθημι, τίθης. ἵστημι,
ἵστης. δίδωμι, δίδως. ζεύγνυμι, ζεύγνυς. τὰ δὲ τρίτα,
ἀπὸ τῶν δευτέρων, προσθέσει ι. τίθης, τίθησι, καὶ τίθητι
δωρικῶς. ἵστης, ἵστησι. δίδως, δίδωσι. ζεύγνυς, ζεύγνυσι. τὸ
δεύτερον καὶ τρίτον τῶν δυϊκῶν, ἀπὸ τοῦ δευτέρου πληθυντικοῦ
τροπῇ τοῦ ε εἰς ον, ὥσπερ καὶ τὰ βαρύτονα. τίθετε, τίθετον,
τίθετον. ἵστατε, ἵστατον, ἵστατον. δίδοτε, δίδοτον, δίδοτον. ζεύγνυτε,
ζεύγνυτον, ζεύγνυτον. Τὸ πληθυντικὸν πρῶτον ἀπὸ τοῦ ἑνικοῦ τῆς
πρώτου, μεταποιήσει τῆς ληγούσης, καὶ συστολῇ τῆς
παραληγούσης. ἢ ἀπὸ τῆς μετοχικῆς γενικῆς κατὰ παλ[illegible]
τίθεμεν. ἵσταμεν. δίδομεν. ζεύγνυμεν. Τὸ πληθυντικὸν
δεύτερον ἀπὸ τοῦ πρώτου, τροπῇ τοῦ μεν εἰς τε, τίθεμεν,
τίθετε. ἵστατε. δίδοτε. ζεύγνυτε. Τὸ πληθυντικὸν τρίτον
ὁμοφώνως ταῖς μετοχικαῖς δοτικαῖς πληθυντικαῖς. τιθεῖσι.
ἱστᾶσι. διδοῦσι. ζευγνῦσι. καὶ ἰωνικῶς, τιθέασι. διδόασι. ζευγνύ-
ασι. τὸ δὲ ἵστημι, ἱστάσι οὐκ δι' ἀφωνίαν. ἔτι καὶ ἱστᾶσι ἀττι-
κῶς ἐκ συναιρέσεως, καὶ ἀφιᾶσι, καὶ τὰ ὅμοια. Ὁ παρατατικὸς
ἀπὸ τοῦ ἐνεστῶτος, τροπῇ τοῦ μ εἰς ν, προσθέσει τῆς συνήθους
αὐξήσεως, τίθημι, ἐτίθην. ἵστημι, ἵστην. δίδωμι, ἐδίδων
ζεύγνυμι. ἐζεύγνυν. Τὸ δεύτερον ἀπὸ τοῦ πρώτου, τροπῇ τοῦ ν
εἰς ς. Τὸ τρίτον ἐκ τοῦ δευτέρου, ἐκβολῇ τοῦ ς. καὶ τὰ λοιπὰ
ὁμοιοτρόπως τῷ ἐνεστῶτι. Ὁ παρακείμενος ἀπὸ τοῦ μέλλοντος,
θήσω, τέθηκα. στήσω, ἕστακα. δώσω, δέδωκα. Ὁ ὑπερσυν-

commune autem ipsis in futuro abiicere primam syllabam, pono ponam, sisto sistam, do dabo. & in actiuis quidem longa penultimare, in passiuis autem, breui pono ponam, sisto sto do dor, iungo iungor, nisi alicubi poetica licentia contrarium in passiuis fiat, vt ponor, mœreo. quarro & alia ionica, æoles autem ponor sto dicunt, & in mi quidē in præsenti quidē & ptō imperfecto & aoristo secundo propriā sortita sūt declinationē, in aliis aūt tēporibus eodē mō grauisonis declinant, quæ ante alia oportet bn̄ didicisse. formabis aūt ipsorū secūdas psonas a primis mutatione mi in s. pono ponis. sisto, sistis. do das. iungo iungis, tertias autem a secundis, additione i. ponis ponit & ponit dorice, sistis sistit, das dat, iungis iungit. secunda & tertia dualium a secunda plurali, mutatione e in on, sicut & grauisona, ponitis ponitis ponunt, sistitis sistitis sistunt. datis datis dant. iungitis iungitis iungunt. pluralis prima a singulari prima transmutatione vltimæ & correptione penultimæ, vel a participali genitiuo fm veteres, ponimus sistimus damus iungimus. pluralis secunda a prima mutatione men in te ponimus ponitis sistitis datis iungitis. pluralis tertia simili voce participalibus datiuis pluralibus ponunt. sistunt. dant iungunt & ionice ponunt dant iungunt. at sisto, sistunt facit propter vocalitatem, ēt & eunt at tice ex contractione, & imittunt & similia, ptūm, impfc. a præsenti mutatione m in n. additione consueti augumenti pono, ponebam. sisto sistebam, do dabam, iungo iungebam. secunda a prima mutatione n in s. tertia a secunda abiectione s. & reliqua eodem modo præsenti præteritum perfectum a futuro, ponam posui stabo steti. dabo dedi, præteritum

τέλικος ἀπὸ τοῦ παρακειμένου κατὰ τὰ βαρύτονα, ἐτεθείκειν· ἑστάκειν. ἐδεδώκειν. τὸ δὲ τέθεικα καὶ ἐτεθείκειν, βοιωτικῶς τροπῇ τοῦ η εἰς ει. ὥσπερ εἵρωες, ἀντὶ ἥρωες, ὅθεν καὶ τὸ τέθειμαι διὰ ει. τὸ δὲ ἕστακα διὰ τοῦ α, εἰς διαφορὰν τοῦ ἕστηκα, ἀπὸ τοῦ ἑστήκω. Ὁ ἀόριστος πρῶτος, ἔθεικα. ἔστασα. ἔδωκα. τὸ δὲ ἔθηκα, ἀντὶ ἔθησα. καὶ ἔδωκα, ἀντὶ ἔδωσα ἔξω τοῦ κανόνος. μεθ᾽ ὧν καὶ τὸ ἧκα σεσημείωται ἐν τοῖς εἰς μι, ὥσπερ τὸ εἶπα, καὶ ἤνεγκα ἐν τοῖς βαρυτόνοις. Ὁ ἀόριστος δεύτερος, ἔθην, θῆς, θῆ, διὰ τοῦ η. τὰ δὲ λοιπὰ, διὰ τοῦ ε. ἔστην, στῆς. στῆ. ἔδων, δοὺς δῶ, διὰ τοῦ ω μεγάλου. τὰ δὲ λοιπὰ, διὰ τοῦ ο μικροῦ. μέλλων θήσω. στήσω. δώσω. Εἰδέναι δὲ δεῖ ὅτι τὰ εἰς μι ὑπερδισύλλαβα μὲν ὄντα, προπαροξύνονται. τίθημι. δίδωμι. δισύλλαβα δὲ, ὀξύνονται. εἰμί. φημί. ἠμί. ἐγκλινόμενα δὲ, ὀξύνονται. καὶ σύνθετα, προπαροξύνονται. σύμφημι. πάρειμι. τὸ δὲ εἶμι τὸ πορεύομαι, προπερισπᾶται. καὶ τὰ μὲν τῆς πρώτης καὶ δευτέρας. ἀνελλιπῆ. τὰ δὲ τῆς τρίτης πλὴν τοῦ δισυλλάβου, ἐλλιπῆ. τὰ δὲ τῆς τετάρτης, μέχρι παρατατικοῦ.

Τῶν δὲ προστακτικῶν τὰ μὲν, εἰς θι ἀπὸ τῆς γενικῆς τῶν ἰδίων μετοχῶν γίνονται ἐκβολῇ τοῦ ν, καὶ μεταποιήσει τῆς ἐσχάτης ψιλῆς εἰς θι. τιθέντος, τίθετι. ἀντὶ τίθεθι. τιθέτω. θέντος, καὶ θὲς, θέτω. ἱστάντος, ἵσταθι, ἱστάτω. στάντος, στῆθι, στήτω. διδόντος δίδοθι, διδότω. δόντος, δόθι, καὶ δὸς, δότω. ζευγνύντος, ζεύγνυθι ζευγνύτω. Τὰ δὲ εἰς ον καὶ εἰς ε, ὡς τὰ βαρύτονα. τέθηκε, τω. ἕστακε, ἑστακέτω. στῆσον, στησάτω. δέδωκε. τω.

Τῶν δὲ εὐκτικῶν τὰ μὲν, εἰς ην ὡς τὰ παθητικὰ τοῦ πρώτου καὶ δευτέρου ἀορίστου, τιθείην, ης, η. θείην. ἱσταίην, σταίην. διδοίην, δοίην. τὰ δὲ, εἰς μι ὡς τὰ βαρύτονα τεθείκοιμι, κοις, κοι. ἑστάκοιμι. στήσαιμι τὸ κοινόν, στήσεια τὸ αἰολικόν. δεδώκοιμι, θήσοιμι. στήσοιμι. δώσοιμι.

Τῶν δὲ ὑποτακτικῶν. τὰ μὲν περισπώμενα, ὡς τὰ παθητικὰ τοῦ πρώτου καὶ δευτέρου ἀορίστου ἐὰν τιθῶ, θῇς, θῇ. ἐὰν θῶ. ἐὰν ἱστῶ, ἱστᾷς, ἱστᾷ διὰ τοῦ α. ἐὰν στῶ, στῇς, στῇ. ἐὰν διδῶ. ἐὰν δῶ. τὰ δὲ παροξύτονα, ὡς τὰ βαρύτονα, ἐὰν τεθείκω. ἐὰν ἑστάκω ἐὰν στήσω. ἐὰν δεδώκω. Τῶν δὲ ἀπαρεμφάτων τὰ μὲν, εἰς ναι

plusq̃pfectum a ptū perfecto secūdū grauisona, posueram ... eteram dederam. posui autem & posueram boeotice ... tatione i in ei, sicut heroes pro heroes. vnde & ... situs sum per ei. at steti per a, ad differentiam steti. ... sto. aoristus primus, posui, steti dedi. posui autem ... p posui & dedi prodedi extra regulam. cum quibus ... mihi notatum est in iis quæ sunt in mi, sicut dixi & ... in grauisonis. aoristus secūdus, posui posuisti posuit ... per i. reliqua vero per e. steti. stetisti. stetit. dedi. dedisti. ... dit per o magnum. reliqua autem p o paruū, futurū ... nam sistam dabo. scire aūt oportet quod in mi super ... syllaba quidē existentia ante penacuuntur pono. do ... syllaba autem acuuntur. sum aio dico inclinata ... acuuntur & cōposita ante penacuūtur. assētior ad ... m, eo autē. idest proficiscor ante circunflectitur & pri ... & secundæ, defectiua. tertiæ vero præter do ... tiua. quartæ autem usq; ad præteritum perfectum. ... ratiuorum quæ in thi a genitiuo propriorum ... piorū fiunt abiectione n & trasmutatione vltimę ... ponentis pone. pro pone, ponat. ponētis ponito ... nito, ponat, stanti sta. stet stantis sta stet, dantis ... det dantis dato & dato det. iungentis. iunge ... gat. in on autem & in e vt grauisona, ... eris fuerit steteris. steterit. sistito sistat, dederis rit. ... tiuorum autem in in quidem vt passiua primi ... cundi aoristi. ponerem res. ret, posuerim ris rit, ... erem starem, darem dederim in mi vt grauisona ... issem sses sset. stetissem sisterem commune ... erem æolicum, dedissem, posuissem, sistam, dem. ... iunctiuorum autem circunflexa quidem vt passiua ... mi & secundi aoristi, si ponā as at. si posuerim ris rit. ... am sistas sistat, per a. sistem stes stet si det si dederit. ... penacuta vt grauisona, si posuissem si stetissem ... stetero, si dedissem. Infinitiuorū autē alia quidē in næ

τὰ δὲ, εἰς ειν· τιθέναι. τεθεικέναι. θεῖναι. ἱστάναι, ἑστακέναι, στῆσαι. στῆναι. διδόναι. δεδωκέναι. δοῦναι. ζευγνύναι, θήσειν, στήσειν, δώσειν, ἀπὸ τῶν ἰδίων ὁριστικῶν ὡς τὰ ἄλλα τοῖς. Τῶν δὲ μετοχῶν αἱ μὲν, εἰς εις. αἱ δὲ, εἰς ας, καὶ ας, καὶ ους, καὶ υς, τριγενῶς. ὁ τιθείς. ἡ τιθεῖσα. τὸ τιθέν. ὁ θείς. ὁ τεθεικώς. ὁ θήσων. ὁ ἱστάς. ὁ ἑστακώς. ὁ στάς. ὁ στήσων. ὁ διδούς. ὁ δεδωκώς. ὁ δούς. ὁ δώσων. ὁ ζευγνύς. Καὶ τὰ παθητικά, τίθεμαι, ἐτιθέμην, τέθειμαι, ἐτέθην. ἐθέμην. θήσομαι. καὶ τἆλλα κατὰ τὰ προγεγραμμένα ἐν διαφόροις ἐρωτήμασι καὶ ἐπιτομαῖς τῶν νεωτέρων, ὧν πρῶτος ὁ σοφὸς Μανουήλος ὁ Χρυσολωρᾶς ὁ πρῶτος φυτεύσας καὶ διδάξας ἐν Ἰταλίᾳ τὰ ἑλληνικά. οὗ τὸ βιβλίον οὐκ οἶδ' ὅπως τινὲς τῶν ἀμαθῶν συστείλαντες διέφθειραν. καὶ μετ' ἐκεῖνον μετὰ πολλὰ ἔτη ὁ πάντας ἄκρος Θεόδωρος ὁ γαζῆς τέσσαρα βιβλία συνέθηκε κάλλιστα πάντων καὶ ἐλλογιμώτατα. ἐπεὶ δὲ ἡ ἡμετέρα γραμματικὴ πολυμερὴς τυγχάνει, καὶ δύσκολος, καὶ οἷόν τι πέλαγος ἀχανές, οὐ δεῖ τοὺς ἀκροατὰς, μόνοις ἀρκεῖσθαι ταῖς ἐπιτομαῖς ὥσπερ σκιαγραφίαις οὔσαις ἀλλὰ μετ' ἐκείνας ζητεῖν τὰ ἀρισκόμενα παλαιὰ καὶ νέα ἐρωτήματα, ἀφ' ὧν καὶ αὐτὸς ταυτὶ ἠρυσάμην. καὶ ὅσα ἀκριβῶς ἀρίστως τὰ τέτταρα βιβλία Ἀπολλωνίου τοῦ δυσκόλου, Ἡρωδιανοῦ πλεῖστα. Συγγέλου τοῦ ἱεροσολυμίτου τὸ περὶ συντάξεως. Μαξίμου τοῦ πλανούδου τὸν διάλογον, καὶ τὸ περὶ συντάξεως, καὶ περὶ μεταβατικῶν, καὶ ἀμεταβάτων. Τρύφωνος καὶ Θεοδοσίου καὶ Χοιροβοσκοῦ τὰ ἀρισκόμενα. περὶ συνωνύμων ῥημάτων. περὶ τρόπων καὶ σχημάτων ποιητικῶν. περὶ παθῶν. περὶ πηλικότητος περιποιότητος καὶ ποσότητος. περὶ ὀρθογραφίας. περὶ σωμάτων. τὰ τοῦ Μοσχοπούλου πάντα. τὰς ἐκλογὰς τοῦ μαγίστρου. τὰς τοῦ φρυνίχου. τὰς τοῦ Ἁρποκρατίωνος καὶ τὸν Πολυδεύκην αὐτόν. τὰ περὶ μέτρων διάφορα, τὰ τοῦ Ἡφαιστίωνος. τὸ περὶ τόνων Ἡρωδιανοῦ καὶ Θεοδοσίου ὃ συνέτεμον ἐν βραχεῖ. τὰ λεξικά. τὰ ἐτυμολογικὰ καὶ τἆλλα ὅσα εἰς τὰς ἀρχὰς συντείνει, καὶ θεμέλια τῆς ἑλληνικῆς γλώττης. ἃ εἴ τις ἀκριβῶς οἶδε, θαρρείτω

alia vero in in, ponere posuisse posuisse, sistere stetisse statuisse. stare dare dedisse, dare iungere positum ire statum ire datū ire. a propriis indicatiuis vt grauisona. participiorū autē alia qdē in is alia vero i es & os & us & y trigeneriter ponens ponens ponēs ponens ponēs positurus sistens stās stás staturus. dans qui dedit dans daturus iungens & passiua ponor, positus sum positus sum positus sum ponar & alia secundum ante scripta in diuersis interrogamentis & compendiis iuniorū, quorum primus doctus Manuelus Chrysoloras, qui plantauit & docuit in italia græcas literas, cuius liber nescio quo pacto qdam ex imperitis contrahētes corrupere, & post illū multos post annos omnia optim⁹ Theodorus Gaza q̄tuor libros cōposuit pulcherimos, & eruditissimos. quoniā vero nostra grammatica uariaq; multa & difficilis, & veluti quoddā pelagus imensum, ... opus est auditores solis contentos esse compendiis, quam umbratiles pugnæ sint, sed post illa quærere ... inueniuntur vetera & noua interrogamēta, a qbus & hæc ipse hausi, & quæcunq; facile inuenta sunt. quatuor libri Apollonii dificilis. Herodiani ... Syngeli Hierosolymitę de constructione. Maxi ... blamidæ disputationem & de constructione & de transitiuis & itrāsitiuis verbis. Tryphonis & Theodosii & Chœrobosci quæ inueniūtur, de æquiuocis uerbis de inuersionib⁹ & figuris poeticis, de affectibus, de flatib⁹, de qualitate & quantitate, de recta scriptione, de pprie ... Moschopoli omnia. excepta Thomæ magistri. Phrynici Arpocrationis, ... lucem ipsum. De Carminibus varia & Hephæstionis, de sonis Herodiani & Thesodii ... contraxi in breue. dictionaria. nominū veriloga & alia quęcūq; ad principia spectāt, & fundamenta gręcæ linguę quæ siquis exacte nouit confidenter potest

πλεῦσαι τὸ ἐπίπονον τουτὶ πέλαγος. Ἔῤῥωσθε οἱ ἀναγινώσκοντες, καὶ μέμνησθε. καὶ εἴ τι σφαλερὸν εὕρηται ἐπιδιορθώσαντες, σύγγνωτε. ἀνθρώπινον γὰρ πάθος τὸ ἁμαρτάνειν. Τὸ μὲν περὶ ὀνόματος ἐξέδοτο ἐν μεδιολάνῳ, ἐπὶ Φραγκίσκου σφορτίου τοῦ ἡγεμόνος, ἀξιώσει Φιλίππου φέρουφίνου, καὶ Βαρθολομαίου τοῦ χάλκου, καὶ Βωιίνου τοῦ βομβρικίου, οἷς χαριζόμενος, καὶ τοὺς κανόνας τῶν ῥημάτων προσέθηκα τῇ τῶν ὀκτὼ μερῶν τοῦ λόγου ἐπιτομῇ τῇ πολλάκις ἐντυπωθείσῃ. οἳ τῇ ὑποθέσει ταύτῃ ἥρμοζον. Ἔτει ἀπὸ θεογονίας, χιλιοστῷ τετρακοσιοστῷ ἑξηκοστῷ τρίτῳ. τὸ δὲ περὶ ῥήματος, ἐσχεδιάσθη μὲν ἐκεῖ, ἐξέδοτο δὲ ἐνταῦθα ἐν μεσσήνῃ τῆς σικελίας. ἔτι καὶ τὸ περὶ συντάξεως τῶν ῥημάτων κατὰ λατίνους, καὶ ἄλλα τινά. Ἔτει χιλιοστῷ, τετρακοσιοστῷ, ἑξηκοστῷ ὀγδόῳ. Εἴη ἀτυχὲς ὥσπερ τὸ πρῶτον.

Κωνσταντίνου λασκάρεως τοῦ βυζαντίου περὶ ἀντωνυμιῶν κατὰ πᾶσαν διάλεκτον καὶ ποιητικὴν χρῆσιν.

Ἐπειδὴ καὶ τὸ τὰς ἀντωνυμίας ἀκριβῶς εἰδέναι πάνυ χρήσιμον τοῖς εἰσαγωγικοῖς τυγχάνει, ἀναγκαῖον ἡγησάμην περὶ αὐτῶν ἐν συνόψει διαλαβεῖν, οὐ μόνον κατὰ τὴν κοινὴν συνήθειαν ὥς τινες, ἀλλὰ κατὰ πᾶσαν διάλεκτον καὶ ποιητικὴν χρῆσιν, ἵνα μὴ περὶ αὐτῶν ἀμφισβητοῖεν οἱ τῶν ποιητῶν ἀκροαταὶ ἄλλας παρὰ τὰς συνήθεις εὑρίσκοντες. Ἀντωνυμία τοίνυν ἐστὶ μέρος λόγου πτωτικὸν ἀντὶ ὀνόματος παραλαμβανόμενον. τῶν γὰρ ὀνομάτων τρίτου προσώπου ἐμφαινόντων, αὕτη παρηνέχθη ἵνα τὰ πάντα δηλώσῃ. τῶν μὲν πτώσεων τοῦ ὀνόματος κεκοινωνηκυῖα, τῶν δὲ προσώπων τοῦ ῥήματος. παρέπεται δὲ ἀρκτικὰ εἴδη πέντε. πρωτότυπον. κτητικόν. δεικτικόν. ἀναφορικόν, καὶ σύνθετον περὶ ὧν λεκτέον. Πρωτότυποι εἰσὶ τρεῖς. Τοῦ πρώτου προσώπου ἡ ὀνομαστικὴ μὲν, ἐγὼ κοινῶς. ἀττικῶς δὲ, ἔγωγε. εἰώθασι γὰρ αὐτοὶ προσλαμβάνοντες παραπληρωματικοὺς συνδέσμους ἐπαίρειν ταῖς

nauigare laboriosum hoc pelagus, valete qui legitis, & memineritis,& siquid erroneum dictum fuerit emendantes, ignoscite, humana enim passio est peccare. De nomine quidē editum fuit in Mediolano tēpestate Francisci Sfortiæ Ducis, rogatu Philippi Feruffini & Bartholomæi Chalci & Bonini Bombritii, quibus gratificatus & regulas verborum addidi octo partium orationis compendio sæpenumero impresso,quæ argumēto huic cōgruebāt. Anno a dei ortu millesimo cccc lxiii. de verbo autem congestus quidem ibi, editus autem est hic in Messana Siciliæ etiam & de constructione verborum secundum Latinos & nonnulla alia, Anno millesimo quadringentesimo sexagesimo octauo. sit felix,vt primus.

Constantini Lascaris Byzantii De Pronominibus Secundum Omnem linguam & poeticum vsum.

Quoniam igitur & pronomina exacte scire longe vtile introductitiis existit, necessarium existimaui de ipsis in compendio tractare, non solum secūdum cōem consuetudinē,vt nonnulli,sed secundū omnē linguá,& poeticum vsum, ne de ipsis dubitent poetarum auditores alia præter consueta inuenientes. Pronomen igitur est pars orationis casualis pro nomine accepta.nominibus enim tertiam personam ostendentibus, hoc introductū est,vt omnia ostēdat. casuū quidē nominis particeps factū, personarum autē verbi . huius aūt principales species quinq; primitiuum,possessiuum. demóstratiuum,relatiuū,& compositū de qb⁹ dicēdū ē primitiua sunt tria. primæ personæ nominatiuus quidē,ego cōiter,attice u ero,ego qdē, soliti eni sunt ipsi assumentes repletiuas coniunctiones attollere

λέξεις. δωρικῶς δὲ, ἐγὼν, καὶ ἐγεγώνη. Ἡ γενικὴ, ἐμοῦ κοινῶς, καὶ μου χωρὶς τοῦ ε. ὡσαύτως καὶ ἐπὶ τῆς δοτικῆς καὶ αἰτιατικῆς κατ᾽ ἀφαίρεσιν, ἐγκλιτικῶς. Καὶ ἰωνικῶς ἐμέο. ὅπερ ποτὲ μὲν προσλαμβάνει τὸ ι, καὶ γίγνεται ἐμεῖο, ποτὲ δὲ θεν, καὶ γίγνεται ἐμέοθεν. καὶ κατὰ συγκοπὴν, ἐμέθεν. δωρικῶς δὲ καὶ αἰολικῶς, ἐμεῦ. Ἡ δοτικὴ, ἐμοὶ, καὶ μοί. Ἡ αἰτιατικὴ, ἐμὲ καὶ μέ. κλητικὴν δὲ ἡ τοῦ πρώτου προσώπου οὐκ ἔχει. οὐδεὶς γὰρ ἑαυτὸν καλεῖ. Ἡ ὀνομαστικὴ καὶ αἰτιατικὴ δυϊκὴ, νῶϊ, καὶ νώ. Ἡ γενικὴ, καὶ δοτικὴ, νῶϊν, καὶ νῷν. Ἡ ὀνομαστικὴ πληθυντικὴ, ἡμέες, ἡμεῖς. δωρικῶς δὲ καὶ αἰολικῶς, ἄμμες. οὗ κατ᾽ ἀναλογίαν ἡ ὀνομαστικὴ δυϊκὴ ἄμμε. Ἡ γενικὴ, ἡμέων, ἡμῶν, καὶ ἐπενθέσει τοῦ ι, ἡμείων. καὶ αἰολικῶς, ἀμμέων. Ἡ δοτικὴ, ἡμῖν περισπωμένως παρὰ τοῖς ῥήτορσιν. ὀξυτόνως δὲ παρὰ ποιηταῖς, ὅτε τὸ ι βραχὺ τυγχάνει. καὶ δωρικῶς ἄμιν, καὶ αἰολικῶς, ἄμμιν. Ἡ αἰτιατικὴ, ἡμέας, ἡμᾶς. καὶ αἰολικῶς, ἄμμε. Τοῦ δευτέρου προσώπου ἡ ὀνομαστικὴ, σὺ κοινῶς, καὶ δωρικῶς τὺ, καὶ τύνη. Ἡ γενικὴ κοινῶς σοῦ, καὶ ἰωνικῶς σέο, καὶ σεῖο ποιητικῶς, καὶ ἀττικῶς σεόθεν, καὶ σέθεν. δωρικῶς δὲ καὶ αἰολικῶς, τεῦ. Ἡ δοτικὴ, κοινῶς μὲν σοί. δωρικῶς δὲ, τοί. διαφέρει δὲ τῆς ὀνομαστικῆς ὅτι ἐκείνης μὲν τὸ σὺ διὰ τοῦ υ ψιλοῦ γράφεται, ταύτης δὲ τὸ διὰ τῆς οι διφθόγγου. Ἡ αἰτιατικὴ, σέ. καὶ δωρικῶς, τέ. Ἡ κλητικὴ, σύ. Ἡ ὀνομαστικὴ καὶ αἰτιατικὴ δυϊκὴ, σφῶϊ, καὶ σφώ. Ἡ γενικὴ καὶ δοτικὴ, σφῶϊν, καὶ σφῷν. Ἡ κλητικὴ, ὁμοίως τῇ ὀνομαστικῇ. Ἡ ὀνομαστικὴ πληθυντικὴ, ὑμέες, ὑμεῖς. καὶ δωρικῶς ὕμες, καὶ αἰολικῶς, ὔμμες. ἧς κατ᾽ ἀναλογίαν ἡ ὀνομαστικὴ δυϊκὴ ὔμμε. ἡ γενικὴ, ὑμέων, ὑμῶν, καὶ ὑμείων, καὶ αἰολικῶς, ὑμμέων. ἡ δοτικὴ ὑμῖν, περισπωμένη μὲν παρὰ τοῖς ῥήτορσιν, ὀξυτονουμένη δὲ πολλάκις παρὰ τοῖς τραγικοῖς ποιηταῖς, ὅτε τὸ ιν βραχύ ἐστι. καὶ δωρικῶς, ὕμιν καὶ αἰολικῶς ὔμμιν. ἡ αἰτιατικὴ, ὑμέας, ὑμᾶς. καὶ δωρικῶς καὶ αἰολικῶς ὔμμε. διαφέρουσι δὲ τὰ πληθυντικὰ τοῦ δευτέρου προσώπου τῶν πληθυντικῶν τοῦ πρώτου, ἐκεῖνα μὲν διὰ τοῦ η γράφονται ταῦτα δὲ διὰ τοῦ υ ψιλοῦ. ἡ κλητικὴ, ὑμεῖς. Τοῦ τρίτου

dictiones. dorice autem ego & ego. genitiuus mei communiter, & mei sine e, sic & in datiuo & accusatiuo per oblationem, inclinatiue, & ionice mei quod aliquando quidem assumit i. & fit mei, interdum vero then & fit mei & per concisionē, mei, dorice autem & æolice mei datiuus mihi. & mihi. accusatiuus me & me, vocatiuos autem qđ primæ est personę nō habet, nemo.n. seipsum vocat. nominatiuus, & accusatiuus dualis, nos & nos, gtūs & datiuus nostri & nobis. nominatiuus. pluralis, nos. nos. dorice aūt & æolice nos, cuius p correspondētiá, nominatiuus dualis nos, genitiuus nostrum nrī & interpositione i. nostri & æolice nostrum. datiuus, nobis circunflexe apud oratores, acutisone autē apud poetas cum i breue existit & dorice nobis & æolice nobis accusatiuus nos nos & æolice nos. secundæ personæ nominatiuus, tu cōiter & dorice tu & tu. genitiuus communiter tui & ionice tui & tui poetice, & attice & tui. dorice autem & æolice tui. datiuus cōiter quidem tibi dorice aūt tibi. differt autem a nominatiuo quia illius quidem tu per y tenue scribitur, huius autem per oe diphthongum. accusatiuus te & dorice te. vocatiuus tu. nominatiuus & accusatiuus dualis. vos & vos. genitiuus & datiuus, vobis & vestri, vocatiuus similiter nominatiuo. nominatiuus pluralis vos vos & dorice vos & æolice vos, cuius p correspōdentia nominatiuus dualis vos. genitiuus, vrm vestri& vrm & æolice vestri. datiuus vobis circunflexus quidem apud oratores, acutisonus autem sæpenumero apud tragicos poetas, cum in breue est, & dorice vobis, & æolice vobis, accusatiuus vos vos & dorice & aolice, vos. differunt autem pluralia secundæ personæ pluralium primæ, quia illa quidē per ita scribuntur, hæc autem per y tenue. vocatiuus o vos tertiæ

προσώπου ἡ ὀνομαστικὴ κατὰ παλαιοὺς ἵ, καὶ ὅς. ἡ γενικὴ, κοινῶς μὲν οὗ. ἰωνικῶς δὲ, ἕο, καὶ εἷο. ἀττικῶς, ἕθεν. καὶ δωρικῶς, εἷ. τὸ δὲ ἐμεῖο, καὶ σεῖο, καὶ εἷο, οὐ γίνονται ἀπὸ τῶν πρωτοτύπων, ἀλλ᾽ ἀπὸ τῶν κτητικῶν, ἐμοῦ, σοῦ, οὗ, ἐπεὶ ἰωνικῶς. ἡ δοτικὴ, οἷ. καὶ προσθέσει, ἑοῖ. ἡ αἰτιατικὴ, ἕ. ὅθεν ἕθεν, καὶ ἕε. κλητικὰς δὲ οὐκ ἔχει. οὐδεὶς γάρ τι αὐτὸν καλεῖ. Ἡ ὀνομαστικὴ καὶ αἰτιατικὴ δυϊκὴ, σφωὲ, σφὼ, ἥπερ ἀεὶ ἐπὶ αἰτιατικῆς λαμβάνεται. οἷον, Τίς τ᾽ ἄρ σφωε θεῶν, ἀντὶ αὐτούς. ἡ γενικὴ καὶ δοτικὴ, σφῶϊν, σφῷν, καὶ σφίν. Ἡ ὀνομαστικὴ πληθυντικὴ, σφέες σφεῖς, καὶ σφὲς δωρικῶς. ἡ γενικὴ, σφέων σφῶν, καὶ σφείων. ἡ δοτικὴ, σφίσι καὶ σφίν. ἡ αἰτιατικὴ, σφέας σφᾶς. Καὶ αὗται μὲν αἱ πρωτότυποι ἀντωνυμίαι, ἀφ᾽ ὧν παράγονται ὀκτὼ κτητικαὶ τριγενεῖς κλινόμεναι.

Κτητικαί.

Ἀπὸ τῆς ἐμοῦ γενικῆς τῆς πρωτοτύπου, παράγεται ἐμὸς, ἐμὴ, ἐμόν. Ἀπὸ τῆς σοῦ τοῦ δευτέρου προσώπου, σός. σή. σόν. αἳ καὶ ...κῶς, τεὸς, τεὰ, τεὸν λέγονται. Ἀπὸ τῆς οὗ γενικῆς τοῦ τρίτου, ἑὸς, ἑὴ, ἑόν. Ἀπὸ τῆς νῶϊ ὀνομαστικῆς δυϊκῆς τοῦ πρώτου προσώπου, νωΐτερος, νωϊτέρα. νωΐτερον. λέγονται δὲ ὅταν δύο μόνοι μετέχωσι τοῦ κτήματος. Ἀπὸ τῆς σφῶϊ ὀνομαστικῆς δυϊκῆς τοῦ δευτέρου προσώπου. σφωΐτερος, σφωϊτέρα, σφωΐτερον. ὡσαύτως καὶ αὗται ὅταν δύο μετέχωσι τοῦ κτήματος. Ἀπὸ τοῦ τρίτου προσώπου ἀντωνυμία οὐ παράγεται. οὐ γάρ ἐστιν ὀνομαστικὴ ἀφ᾽ ἧς παραχθήσεται. τὸ γὰρ σφωε, αἰτιατική ἐστιν. Ἀπὸ τῆς ἡμεῖς ὀνομαστικῆς τοῦ πρώτου προσώπου, ἡμέτερος, ἡμετέρα, ἡμέτερον. ἀπὸ τοῦ ὑμεῖς δευτέρου, ὑμέτερος, ὑμετέρα, ὑμέτερον. αὗται δὲ λέγονται ὅτε πολλοὶ μετέχουσι τοῦ κτήματος. Ἀπὸ τῆς σφεῖς σφεῖς τοῦ τρίτου, σφέτερος, σφετέρα, σφέτερον. παρὰ ποιηταῖς δέ εἰσι καὶ ἄλλαι κτητικαὶ ἀντωνυμίαι κατὰ τὴν ἀκολουθίαν τούτων, ἁμὸς, ἁμὴ, ἁμὸν, ἀντὶ ἡμέτερος, ἡμετέρα, ἡμέτερον. καὶ ὑμὸς, ὑμὴ, ὑμὸν, ἀντὶ ὑμέτερος, ὑμετέρα, ὑμέτερον. καὶ σφὸς, σφὴ, σφὸν, ἀντὶ σφέτερος, σφετέρα, σφέτερον. τούτων δὲ τὰς μὲν ἀρσενικὰς καὶ οὐδετέρας κατὰ τὴν τετάρτην τῶν ...λινῶς κλίσιν, τὰς δὲ θηλυκὰς, κατὰ τὴν δευτέραν.

personæ nominatiuus sc͞dū veteres si & si. gtūs cōiter
qdē sui, ionice autem, sui & sui. attice sui. & dorice
sui, at mei & tui & sui non fiunt a primiti/
uis, sed a possessiuis, mei tui sui more ionico,
datiuus sibi,& additione sibi accusatiuus se , vnde sui
& sese, vocatiuos aūt nō habet, nemo.n. absenté vocat.
nominatiuus & accusatiuus dualis se.se. q semper in
accusatiuo accipitur, vt quis igitur ipsos deorum,pro
ipsos. genitiuus & datiuus sibi sibi & sibi.
nominatiuus pluralis ipsi ipsi. & ipsi dorice.
genitiuus sui sui & sui. datiuus sibi & sibi.
accusatiuus se se, & hæc quidē primitiua prono
mina,a qb⁹ deriuant̄ octo possessiua trigener̄ declinata.

Possessiua.

A mei genitiuo primitiui deducitur meus mea
meum.a tui secūdæ personę,tuus tua tuū,quæ & poeti/
ce,tuus tua tuum dicuntur.a sui genitiuo tertię su⁹ sua
suum a nostri nominatiuo duali primæ personæ,noster
nostra nostrum. dicuntur auté cum duo soli participent
possessionem. a vos nominatiuo duali secundæ
personę vester vestra. vestrum. sic &
hæc cum participent possessionem. a tertia
persona pronomé non deriuatur.nō .n. est nominatiu⁹
a quo deduceretur, & enim vos accusatiuus est. a nos
nominatiuo primæ personæ, noster nostra, nostrum.
a vestri secunda, vester, vestra vestrum . hæc autem
dicunt̄ cum multi participant possessionem ab ipsi
ipsi tertia, suus sua. suum. apud poetas
auté sunt & alia possessiua pronomina secūdum cōse/
quentiam horum, noster nostra nostrum, p noster nostra
nostrum,& vester vestra vestrū,pro vester vestra vestrū,
& suus sua suum, pro suus sua suum. horum
autem masculina quidem & neutra per quartam
declinabis declinationem. fœminina vero p secundā.

Περὶ δεικτικῶν.

Δεικτικαὶ δέ εἰσι τριγενῶς κλινόμεναι οὕτω κοινῶς καὶ ἀττικῶς. Οὗτος καὶ προσχηματισμῷ, οὑτοσί. εἰώθασι γὰρ οἱ ἀττικοὶ προστιθέναι τὸ ι, ἵνα πλείω τὴν δεῖξιν ἐμφαίνωσιν. ἡ γενική, τούτου καὶ τουτουΐ. τούτῳ, καὶ τουτῳΐ. τοῦτον καὶ τουτονί. καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως. Αὕτη καὶ αὑτηΐ. ταύτης, καὶ ταυτησί. ταύτῃ, καὶ ταυτῃΐ. ταύτην, καὶ ταυτηνί. Τοῦτο, καὶ τουτοΐ, καὶ τουτὶ ἄμεινον. τούτου, καὶ τουτουΐ. τούτῳ, καὶ τουτῳΐ, τοῦτο τουτοΐ, καὶ τουτί. πληθυντικῶς, ταῦτα, καὶ ταυτὶ ἐπὶ ὀνομαστικῆς. καὶ αἰτιατικῆς. Ἐκεῖνος, ἐκεινοσί. ἐκείνη, ἐκεινηΐ. ἐκεῖνο, ἐκεινοΐ. λέγεται δὲ καὶ χωρὶς τοῦ ε κατ᾽ ἀφαίρεσιν ποιητικῶς. κεῖνος. κείνη. κεῖνο. οἱ δὲ δωριεῖς τρέποντες τὸ κ εἰς τ καὶ τὸ ε τῆς ει εἰς η, ὑπογράφοντες καὶ τὸ ι, τῆνος, τήνη, τῆνο, ἀντὶ κεῖνος, κείνη, κεῖνο λέγουσιν. ὧν τὰ μὲν ἀρσενικὰ καὶ οὐδέτερα, κατὰ τὴν τετάρτην κλίνεις κλίσιν. τὰ δὲ θηλυκά, κατὰ τὴν δευτέραν. Ἀπὸ δὲ τοῦ ὁ ἄρθρου, καὶ δέ, καὶ γε συνδέσμων, γίνεται ἀντωνυμικά, ὅδε, καὶ ὁδὶ ἀττικῶς. τοῦδε. τῷδε. τόνδε. ἥδε. τῆσδε. τῇδε. τήνδε. τόδε, καὶ τοδί. τοῦδε. τῷδε. τόδε, καὶ τὰ λοιπὰ ἀεὶ ταῖς πτώσεσι τῶν ἄρθρων προστιθεμένων τῶν συνδέσμων. Οὕτω καὶ ὅγε. τοῦγε. ἥγε. τῆς γε. τόγε. τοῦγε. Ἔτι ὁ, ἀντὶ οὗτος. Ὁ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας ἀχαιῶν. ἡ, ἀντὶ αὕτη. τὸ, ἀντὶ τοῦτο. Εὑρίσκεται δὲ καὶ δεῖνα ἐπὶ τρίτου προσώπου μόνον πάντα τὰ ἄρθρα προσλαμβάνουσα, ἣν μονοπρόσωπον καὶ ἀντωνυμίαν ἀόριστον τινὲς ἐκάλεσαν. Ὁ δεῖνα, τοῦ δεῖνος, καὶ δεῖνα, δεῖνατος. τῷ δεῖνι. τὸν δεῖνα. Ἡ δεῖνα, τῆς δεῖνος. τῇ δεῖνι. τὴν δεῖνα. Τὸ δεῖνα. τοῦ δεῖνος. τῷ δεῖνι. τὸ δεῖνα. Ἔτι καὶ παρὰ ποιηταῖς, ὁ δεὶς, τοῦ δεῖνος. τῷ δεῖνι. τὸν δεῖνα. καὶ τὰ λοιπά.

Περὶ ἀναφορικῆς.

Ἀναφορικὴ δὲ μία, ἥτις καὶ ἐπιταγματικὴ καλεῖται, διότι μετὰ πάσης πρωτοτύπου ἀντωνυμίας δύναται συντάττεσθαι δι᾽ ὅλων τῶν πτώσεων καὶ ἀριθμῶν. κλίνεται δὲ τριγενῶς οὕτω. Αὐτός. αὐτοῦ. αὐτῷ. αὐτόν. Αὐτή. αὐτῆς. αὐτῇ. αὐτήν. Αὐτό. αὐτοῦ. αὐτῷ. αὐτό. καὶ τὰ μὲν ἀρσενικὰ

De Demonstratiuis.

Demōstratiua āt sūt duo trigenere declinata sic cōiter. & attice hic & afformatione hicce. solent enim attici addere. i. vt maiorem demonstrationem ostendant. genitiuus huius huiusce, huic & huicce hunc & huncce & in reliquis eodem modo.hęc & hæcce.huius & huiusce huic & huicce. hanc & hancce. hoc & hocce & hocce melius. huius & huiusce. huic & huicce. hoc hocce & hocce pluraliter hæc & hæcce in nominatiuo & accusatiuo ille, ille, illa illa. illud illud. dicitur autem & sine e per ablationem poetice ille illa illud. dores autem vertentes e in t & e ei in i subscribentes &. i. ille illa illud pro ille illa illud dicunt, quorum masculina quidem & neutra per quartā declinabis declinationem. fœminina aūt per secundā ab hic aūt articulo & aūt & quidē cōiunctionibus fiūt. pronōialia, hic & hicce attice, huius huic hunc hæc huius huic hanc.hoc & hocce.huius huic hoc & hocci semper casibus articulorum additis coniunctionibus, & hic huius,hæc huius,hoc huius. etiam hic pro hic. hic.n.venit celeres ad naues græcorū.hęc pro hęc hoc pro hoc. inuenitur autem & hic in tertia persona solum omnia articula assumens quod solipersonale & pronomen indefinitum quidam vocarunt. hic h⁹ & hic huius huic hunc hæc huius huic. hanc hoc huius huic hoc. etiam & apud poetas hic huius huic hunc & reliqua.

De Relatiuo.

Relatiuum vero vnum,quod & subiunctiuū vocat, quū cum omni primitiuo pronomine potest construi per omnes casus & numeros. declinatur autem trigenere sic. ipse ipsius ipsi ipsum, ipsa ipsius ipsi ipsam, ipsum ipsius ipsi ipsum,& masculina quidem

καὶ οὐδέτερα, κατὰ τὴν τετάρτην κλίνονται κλίσιν·
τὰ δὲ θηλυκὰ, κατὰ τὴν δευτέραν. λαμβάνεται δὲ αὐτὸ σὺν τῷ
ἐγὼ, σὺ, ὅς, καὶ ἐκεῖνος. αὐτοῦ ἐμοῦ, αὐτοῦ σοῦ, αὐτοῦ οὗ,
καὶ ἐκείνου. καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως. ψιλοῦται δὲ αὐ-
τὸς, αὐτὴ, αὐτό. τὰ δὲ αὑτοῦ, αὑτῷ, αὑτὸν δασυνόμενα,
ἀπὸ τοῦ ἑαυτοῦ, ἑαυτῷ, ἑαυτὸν κατὰ ἀφαίρεσιν. ὅθεν καὶ
ἡ δασεῖα φυλάττεται.

Περὶ συνθέτων.

Σύνθετοι δὲ τρεῖς ἀπὸ τῶν πρωτοτύπων καὶ τοῦ αὐτὸς
γινόμεναι. περὶ ὧν εἰδέναι δεῖ, ὅτι οἱ ἀρχαῖοι μὴ ἔχοντες
συνθέτους ἀντωνυμίας, ἀνεπλήρουν τὴν χρείαν αὐτῶν διὰ
τῶν πρωτοτύπων, καὶ τῆς ἀναφορικῆς, ἐμοῦ αὐτοῦ λέγοντες,
σοῦ αὐτοῦ, οὗ αὐτοῦ. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως.
οἱ δὲ μεταγενέστεροι, συνέθηκαν. διὸ καὶ συνθέτους αὐτὰς
ὠνόμασαν. κλίνονται δὲ τριγενῶς ὀνοματικὴν μὴ ἔχουσαι,
διότι αὐτοπάθειαν σημαίνουσι. καλοῦνται δὲ καὶ ἀνακλαστικαὶ,
ἐπειδὴ ἐν τῷ αὐτῷ ἀνακεῖται τὸ ἐνεργοῦν, καὶ πάσχον. Καὶ
αἱ μὲν τοῦ πρώτου καὶ δευτέρου προσώπου, ἑνικῶς μόνον
κλίνονται. ἐμαυτοῦ. ἐμαυτῷ. ἐμαυτόν. ἐμαυτῆς.
ἐμαυτῇ. ἐμαυτήν. ἐμαυτοῦ. ἐμαυτῷ. ἐμαυτό. Σεαυτοῦ.
σεαυτῷ. σεαυτόν. σεαυτῆς. σεαυτῇ. σεαυτήν. σεαυτοῦ. σεαυτῷ.
σεαυτό. αἵτινες καὶ κατὰ κρᾶσιν, σαυτοῦ. σαυτῷ. σαυτόν.
καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως. λέγονται δὲ καὶ ἐν παραθέσει
ἀρχαίῳ ἔθει, σὲ αὐτὸν, ἀντὶ σὲ μόνον. σὲ αὐτὴν, ἀντὶ σὲ μόνην.
Θεοδόσιος δέ φησι τοὺς παλαιοὺς αὐτὰς κλίνειν ἐπὶ παντὸς
ἀριθμοῦ. Τοῦ δὲ τρίτου προσώπου, ἑαυτοῦ. ἑαυτῷ.
ἑαυτόν. ἑαυτῆς. ἑαυτῇ. ἑαυτήν. ἑαυτοῦ. ἑαυτῷ. ἑαυτό.
καὶ πληθυντικῶς παρὰ λόγον ἔθει ἀττικῷ, συνθέτως καὶ
διῃρημένως τριγενῶς. ἑαυτῶν. καὶ σφῶν αὐτῶν. ἑαυτοῖς, καὶ
σφίσιν αὐτοῖς. ἑαυτοὺς, καὶ σφᾶς αὐτούς. ὁμοίως ἑαυτῶν,
ἑαυταῖς. ἑαυτάς. ἑαυτῶν. ἑαυτοῖς. ἑαυτά. λαμβάνονται
δὲ καὶ ἀντὶ ἀλλήλων, ἀλλήλοις. ἀλλήλους.
Εἰσὶ δὲ καὶ παρὰ ποιηταῖς ἄλλαι ἀντωνυμίαι μονόπτωτοι

& neutra per quartam declinantur declinationem fœminina autem per secundam. accipitur autem ipse pro ego tu. ipse & ille ipsius mei ipsi⁹ tui ipsi⁹ipsi & illius, & in reliquis eodem modo. tenuat aũt semper ipse a ipsa ipsum, at sui sibi. se aspirata sui sibi se per ablationem, vnde & aspiratio seruatur.

De compositis.

Composita vero tria a primitiuis & ipse facta de quibus scire oportet quod veteres nõ habẽtes composita pronomina supplebant vsum ipsorum per primitiua & relatiuum, mei ipsius dicentes, tui ipsius, sui ipsius & in aliis eodem modo. posteriores aũt cõposuerũt, quare & cõposita ipsa nominanit. declinãtur ãt trigenere noĩatiuos ñ hñtia, qm̃ pse passionem significant. vocantur autem & refracta, quoniam in eodem intelligitur agens & patiens. & primæ quidem & secundæ personæ, singulariter solum declinantur, mei ipsius. mihi ipsi me ipsum. mei ipsius mihi ipsi me ipsa. meiipsius. mihiipsi me ipsum. tui ipsi⁹ tibi ipsi te ipsũ. tui ipsi⁹ tibi ipsi te ipsã tui ipsi⁹ tibiipsi te ipsum, quæ & p cõmixtionẽ tui ipsi⁹, tibi ipsi te ipsũ & in reliquis similiter, inuẽta sunt & in appositione veterimore te ipsum, pro te solum te ipsam p te solam. Theodosius autem ait veteres ipsa declinare in omni numero. tertiæ autem personæ. sui ipsius sibi ipsi se ipsũ. sui ipsius sibi ipsi se ipsã. sui ipsi⁹ sibi ipsi se ipsum, & pluraliter præter rationem more attico, composite & diuise trigenere sui ipsorum & sui ipsorum, sibi ipsis & sibi ipsis, se ipsos & se ipsos, similiter sui ipsorum, sibi ipsis se ipsas sui ipsorũ sibi ipsis se ipsa. accipiuntur autem & pro mutuorum mutuis mutuos. sunt autem & apud poetas alia pronomina vni⁹ casus

καὶ μυναδικαὶ καλούμεναι, ἐμίν, ἀντὶ ἐμοί. καὶ τὶν καὶ τεΐν, ἀντὶ σοί. καὶ σφέ, ἀντὶ αὐτόν, καὶ μίν, καὶ νίν, ἀντὶ αὐτὸν αὐτήν. αὐτό. καὶ ἔτι πληθυντικῶς ἀντὶ αὐτούς. αὐτάς. αὐτά. καὶ ἔτι δωρικῶς ψέ, ἀντὶ αὐτάς. καὶ ταῦτα μὲν ἐκ πολλῶν δι' ὠφέλειαν τῶν μαθητῶν, οἳ διὰ τὴν ἀπορίαν τῶν βιβλίων καὶ διδασκάλων ἀκριβῶς μανθάνειν τὰ τοιαῦτα οὐ δύνανται. Ἔρρωσθε οἱ ἀναγινώσκοντες, καὶ μέμνησθε. ἐν μεδιολάνῳ ἔτει χιλιοστῷ, τετρακοσιοστῷ, ἑξηκοστῷ.

Κωνσταντίνου Λασκάρεως τοῦ Βυζαντίου περὶ τῶν ὑπογεγραμμένων φωνηέντων. ἐν μεσσήνῃ τῆς σικελίας συνετέθητο.

Πολλῶν ὄντων καὶ χρησίμων τῆς πρακτικῆς γραμματικῆς, ἓν οἶμαι καὶ τὸ περὶ τῶν ὑπογεγραμμένων φωνηέντων εἰδέναι, καὶ τίνι λόγῳ ὑπογράφονται, μέρος ὂν ὀρθογραφίας καὶ ἐτυμολογίας. ὅπερ εἰ καὶ τοῖς πολλοῖς νῦν ὀλιγωρεῖται διὰ τὴν ἄγνοιαν, ὥσπερ καὶ ἄλλα πολλά, ὅμως τοῖς παλαιοῖς περὶ πολλοῦ ἦν εἰδέναι, καὶ χρῆσθαι. τουτὶ δὲ ἀπὸ τῆς γραφῆς τῶν παλαιῶν βίβλων καταμαθεῖν ἐστιν, οἷς οὐδὲν [illegible] νὸς δεῖ. εἰ γὰρ ἀχρεῖον ἦν, οὐκ ἂν προσέγραφον. οἱ γραμματικοὶ διεσπαρμένως λόγον ἐποίουν. ταῦτα τοίνυν δεῖν ᾠήθην τὰ παρ' ἄλλοις, καὶ ἐν τῷ μεγάλῳ ἐτυμολογικῷ γεγραμμένα, δι' ὠφέλειαν τῶν νέων διὰ βραχέων ἐπισημειώσασθαι, ἵν' ἀπόνως εἰδέναι ἔχοιεν περὶ τούτων, καὶ μὴ ἀεὶ ἔροιντο. εἰ δ' ἔνια ποιητικὰ ἢ ἑτερογλωσσα μὴ παραλέλειπται, οὐ θαυμάζειν χρή. οὐ γὰρ προυθέμην πάσης ἐπιμελείας περὶ πάντων εἰπεῖν, ἀλλ' αὐτὰ τὰ χρησιμώτερα περὶ τῶν μνημονευομένων, ἀφ' ὧν καὶ τὰ λοιπὰ ἀκριβῶς μαθεῖν ἔξεστι.

& solitaria vocata, mihi pro mihi, & tibi, & tibi pro tibi, & ipm, pro ipsum, & ipm, & ipm p ipm ipsam ipm & adhuc pluraliter pro ipsos ipsas ipsa. & etiã dorice, ipsas pro ipsas, & hęc quidem ex multis ob vtilitatem discipulorum, qui pp inopiam librorum & praeceptorum facile discere talia non possunt. Valete qui legitis, & memineritis, in Mediolano Anno millesimo quadringetesimo sexagesimo.

Constantini Lascaris Byzantii de subscriptis vocalibus, in Messene Siciliæ com positum fuerat.

Multis existẽtibus & vtilibus actiuæ grãmaticæ, vnũ optimo, & de subscriptis vocalibus scire, quæ & quaa ratione subscribũtur, partẽ existẽtẽ rectæ scriptõis & veri loquii, q & si multis nunc paruipenditur ob ignorantiam, sicut & alia multa, tamen veteribus multi erat scire & vti, hoc autem a scriptione & veteribus libris intelligere est, quibus nulla re opus est, si. n. inutile esset non adscriberent neq; grãmatici sparsi verbum facerent. ob hęc igitur oportere existimaui q apd alios, & q i magno etymologico scripta sunt propter vtilitatem iuuenum breuibus adnotare, vt illaboriose scire habeant de iis & non sp interrogent. Si aũt aliqua poetica aut oratoria omissa sunt, non admirari oportet, nõ. n. pro posui cum omni diligentia de omnibus dicere, sed inelaborate de memoratis, a quibus & reliqua facile discere licebit.

Περὶ τῶν ὑπογεγραμμένων φωνηέντων.

Τὰ νῦν ὑπογραφόμενα φωνήεντα οἷς οἱ παλαιοὶ παρέγραφον, ἀπὸ τῶν διφθόγγων τὸ εἶναι ἔχουσι. διὸ καὶ δίφθογγοι καταχρηστικῶς καλοῦνται. καὶ τὸ μὲν ᾳ ὑπογραφόμενον, δυνάμει αι τυγχάνει ὄν. ὡσαύτως καὶ τὸ ῃ ἀπὸ τὸ αι, τροπῇ τοῦ α εἰς η, καὶ τοῦ ι ὑπογραφομένου. τὸ δὲ ῳ ὑπογραφόμενον, δυνάμει οι τυγχάνει κατ᾽ ἔκτασιν τοῦ ο εἰς ω, καὶ τοῦ ι ὑπογραφομένου. ὅθεν ἔστιν εἰπεῖν τινὰ μὲν καθολικῷ κανόνι ὑπογράφεσθαι, τινὰ δ᾽ ἀφ᾽ ἐτυμολογίας. ἄλλα δὲ πάθει τινὶ, ἐκτάσει, ἢ κράσει, ἢ συναιρέσει, ἢ συναλοιφῇ, ἢ τροπῇ. ὀλίγα δ᾽ ἄλλα κατὰ παράδοσιν καὶ ὁμοίωσιν ἄλλων. περὶ ὧν λεκτέον ἀρξομένοις ἀπὸ τοῦ α.

Περὶ τοῦ α.

Παντὶ ᾳ δοτικῆς ἑνικῆς ὁποίου ἂν εἴη γένους ὑπογράφεται ι. τῷ αἰνείᾳ. τῷ πυθαγόρᾳ. τῇ μαίᾳ. τῇ μαρίᾳ. τῇ ἡμέρᾳ τῷ κρέᾳ, ἀπὸ τοῦ κρέαϊ κατὰ συναίρεσιν. ὅθεν καὶ οἱ λατῖνοι ἐν ταῖς ὁμοίαις δοτικαῖς διαιρέσει χρῶνται, αὐλαῒ, ἀντὶ αὐλῇ. Ἐπὶ παντὶ ᾳ τοῦ δευτέρου καὶ τρίτου προσώπου τῶν ὁριστικῶν καὶ ὑποτακτικῶν τῆς δευτέρας συζυγίας τῶν περισπωμένων ῥημάτων, βοάεις, βοᾷς. βοάει. βοᾷ. δράεις, δρᾷς δράει δρᾷ. τὸ γὰρ α καὶ ε εἰς α μακρὸν κιρνᾶται, καὶ τὸ ι ὑπογράφεται. ἐὰν βοάῃς, βοᾷς. ἐὰν βοάῃ, βοᾷ. ὡσαύτως καὶ τὸ δεύτερον τοῦ παθητικοῦ, βοάομαι, ῶμαι. βοάῃ, ᾷ. καὶ τὰ ἀπαρέμφατα δὲ τῶν τοιούτων ἀναλόγως ὑπογεγραμμένα ἀνέγνωμεν, βοᾷν. δρᾷν. ἀλλὰ διὰ τὴν ἐπιφορὰν τοῦ ν οὐ παραδέχονται ἔνιοι τῶν ἡμετέρων γραμματικῶν, καὶ ὅτι ἀπὸ τοῦ τρίτου τοῦ παρατατικοῦ αὐτὰ σχηματίζουσιν. ᾅδης, ᾅδου, ὅθεν καὶ τὰ λοιπὰ ὑπογράφονται, ἀπὸ τοῦ ἀΐδης κατὰ κρᾶσιν. καὶ τὸ α ἐκτείνεται. τῶν δὲ πρωτοτύπων συστέλλεται, ἀΐς, ἀΐδος. ἀΐδης, ἀΐδου. ἀϊδωνεὺς, ἀϊδωνέως. τοῦτο δὲ δῆλον ἀπὸ τῶν ποιητικῶν ἐπῶν. ᾄδω ἀπὸ τοῦ ἀείδω· ἰωνικοῦ κατὰ κρᾶσιν. ὅθεν καὶ τὸ α μακρόν. τοῦ δὲ ἀείδω, βραχὺ καὶ τοῦ ἀοιδὸς, καὶ ἀοιδή. ᾆσμα ᾄσματος, ἀπὸ τοῦ ᾄδω, ᾖσμαι. ἀεὶ ὑπογράφεται.

Quæ nunc ſcribuntur vocales, quibus veteres ad ſcribebant a diphthongis eſſe hūt, quare & diphthōgi abuſiue vocantur, & a quidem ſubſcriptum, poteſtate æ contigit exiſtens, ſic & i ab ae, mutatione a in ita & i ſubſcripto. o autem ſubſcriptum, poteſtate oi exiſtit per extenſionē o in o & i ſubſcripto, vnde eſt dicere quædam vniuerſali q̃dā regula ſubſcribi, nō nulla vero veriloqo, alia vero affectu quodā, extēſione aut mixtione aut ɔtractiōe, vel cōiūctione, vel mutatione. pauca vero q̄ ſm traditionē aut ſimilitudinē aliorū. de qb⁹ dicēdū incipiētib⁹ ab a.

De a.

Omnia datiui ſingularis cuiuſcūq; fuerit gn̄ris ſub ſcribitur i. æneæ pythagoræ maiæ. mariæ. diei carni a carni per contractionem, vnde & latini in ſimilibus datiuis diuiſione vtuntur aulai pro aulæ. etiam omni a ſecundæ & tertiæ perſonæ indicatiuorū & ſubiunctiuorum ſecundę coniugationis circūflexorū verborū, clamas. mas clamat clamat facis facis facit cit. nam a & e in a longum miſcetur & i ſubſcribitur ſi clames clames, ſi clamet clamet. ſic & ſecunda paſsiui clamer clamor clamaris aris, & infinitiui autem talium proportionabiliter ſubſcripti legimus, clamare. facere. ſed pp illationem n non recipiunt nonnulli noſtrorum grammaticorum, & quod a tertia præteriti imperfecti ea formāt. infernus inferni inferno, & reliqua ſubſcribūtur ab infernus per cōmitionē, vn̄ & a extenditur primitiuorū aūt contrahit infernus ni, infernus, ni infernus inferni, id aūt manifeſtum eſt a poeticis verſibus. cano a cano ionico per mixtionem vnde & a longum, cano autem breue, & cantor & cātio, cātus cātus a cano, cātus ſum, ſemper ſubſcribit

παρὰ ταῖς παλαιαῖς βίβλοις, ἀπὸ τοῦ ᾄδει οἶμαι. παρὰ ποιηταῖς δὲ συστέλλεται. Ῥᾳδίως ἀπὸ τοῦ Ἰωνικοῦ ῥηϊδίως τροπῇ τοῦ η εἰς α, καὶ τοῦ ι ὑπογεγραμμένου. ὡσαύτως καὶ ῥᾴδιος, ῥᾳδία, ῥᾴδιον. ὃ καὶ ἡ ῥᾴων, καὶ τὸ ῥᾷον. ῥᾷστος. ῥᾴστη. ῥᾷστον, καὶ ῥᾷστα. ῥᾳστώνη. ῥᾳστωνάομαι. ῥᾳδιουργῶ. ῥᾳδιούργημα. καὶ πάντα ἀπὸ τοῦ ῥᾷον. ἤγουν πρᾷος, πρᾳεῖα, πρᾷον. πρᾳότης. ῥᾳθυμῶ, ῥᾴθυμος, ῥᾳθυμία, ἤτοι ῥᾴων θυμός. ἔθει καὶ τὸ α ἐκτείνεται. ῥάβδος, ἀπὸ τοῦ ῥᾷον βαίνειν. δᾴς, δᾳδός, δᾳδί, δᾷδα, ὅτι δαῒς παρὰ παλαιοῖς, ἀπὸ τοῦ δαίω. ὡσαύτως καὶ θρᾷξ, θρᾳκὸς, θρᾳκί, θρᾷκα, ὅτι θρᾷξ καὶ θρῆϊξ. ὅθεν Ἰωνικῶς, Θρήϊκες ἀκρόκομοι. καὶ θρηϊκία γῆ. καὶ θρᾴκη, ἡ ἐπαρχία. καὶ θρᾳκίας εἴτε θρᾳσκίας ἄνεμος, ὁ διὰ τῆς θρᾴκης. δημοσίᾳ, ἀντὶ δημοσίως. ἰδίᾳ, ἀντὶ ἰδίως. βίᾳ, ἀντὶ βιαίως. παρ᾽ ἑκησίᾳ, καὶ πάντα τὰ τοιαῦτα ἐπιρρήματα κατάληξιν δοτικῆς ἔχοντα, ὑπογράφεται.

Περὶ τοῦ η.

Χρῄζω ὑπογράφεται, ἀπὸ τοῦ Ἰωνικοῦ χρηΐζω, καὶ κλῄζω ἀπὸ τοῦ κληΐζω. λῃστὴς, λῃστοῦ, ἀπὸ τοῦ ληΐζω, ληϊστὴς, καὶ ληϊστήρ. λῃστεύω, λῃστεία. λῃστρικός. κῇ. κόν. θρῃσκεύω, καὶ θρῃσκεία, ἀπὸ τῶν θρᾳκῶν. ἦτορ ἦτρος τινὲς ὑπογράφουσιν, ἀπὸ τοῦ ἄϊθω παράγοντες. εἰ δὲ ἀπὸ τοῦ ἄω ὅπερ ἀναλογώτερον, οὐχ ὑπογράφεται. πέρσῃ, μούσῃ, σπουδῇ, ἑλένῃ, σοφῇ, καλῇ, καὶ πᾶσα δοτικὴ ἑνικὴ εἰς η λήγουσα, ὑπογράφεται ι. ὡσαύτως πέρσῃσιν Ἰωνικῶς, ἀντὶ πέρσαις. μούσῃσιν, ἀντὶ μούσαις. νύμφῃσιν, ἀντὶ νύμφαις. καὶ πάσῃ τῇ δοτικῇ Ἰωνικῇ ληγούσῃ εἰς ῃσι. τρέπεται γὰρ τὸ α τῆς αι διφθόγγου εἰς η καὶ τὸ ι ὑπογράφεται. ᾖδον, ἀπὸ τοῦ ᾄδω. ᾑρούμην, ᾕρημαι, ᾑρέθην, ἀπὸ τοῦ αἱροῦμαι. ἀφῄρημαι, ἀφῄρησαι, ἀφῄρηται· ἀφῃρημένος, ἀφῃρέθην. ἀπὸ τοῦ ἀφαιροῦμαι. ᾐνιξάμην, ἀπὸ τοῦ αἰνίττομαι. καὶ πάντες οἱ παρῳχηκότες τῶν ἀπὸ τοῦ αι ἀρχομένων, τρέπουσι τὸ α εἰς η, καὶ τὸ ι ὑπογράφουσιν. Ἐπὶ τύπτῃ, γράφῃ, λέγῃ, καὶ πάντα τὰ δεύτερα πρόσωπα τῶν παθητικῶν κοινῶν καὶ ἀποθετικῶν ῥημάτων εἰς η λήγοντα. ἀπὸ γὰρ τοῦ τρίτου γίνεται. τύπτεται γὰρ, καὶ

apud veteres libros a semper puto, apud poetas autē corripitur facile ab ionico facile mutatione ita in a & i subscripto, sic & facilis facilis facile qđ & facilior & facilius facillim⁹.ma.mū & facillime., relaxatio, relaxor. struo, facinus & omnia facile, idest mitis mitis mite mansuetudo, pigresco segnis segnities, idest facilior animus, vnde & a producitur baculus a facilis ire fax facis faci facem, quoniam fax apud veteres; ab vro sic & thrax thracis thraci thracem. qm̄ trhaex & thraix. vnde ionice threices summicomi,& threicia terra,& thrace pfectura prouincia,& thracias seu thrascias vēt⁹ q per thracem, publice pro publice priuatim p priuatim.ui p violenter cōfidētia, & oia talia aduerbia terminationem datiui habentia subscribuntur.

De ita.

Indigeo subscribitur ab ionico egeo, & celebro a celebro. prædo prædonis, a prædor prædator & prædo,præder prędatio prædatorius ria. ium. colo & cultus a thracibus. animus animi nonnulli subscribunt, ab ardeo deducentes, si aūt a' flo qp est respōdentius,nō subscrib.t. persæ musæ.scythç,helenç sapienti,pulchræ,& omni dtō singulari in ita desinēti subscribitur i. eodem modo persis ionice, pro persis, musis pro musis. nymphis pro nymphis, & omni datiuo ionico desinenti in isi vertitur enim a ae diphthongi in i & i subscribitur, ardebam ab ardeo. eligebam elegi electus sum ab eligo. abstuli abstulisti abstulit. priuatus priuatus sum ab aufero, innui ab innuo, & omnia præterita ab æ incipientium vertunt a in i. & i subscri bunt, et verberaris, scriberis, diceris & omnes secundæ personæ passiuorum cōmunium & deponentium pn̄tiū in i desinens. a tertia enim fit, verberabatur enim &

ἐκβολῇ τοῦ τ, καὶ κράσει τοῦ ε καὶ α εἰς η, ὑπογεγραμμένου καὶ τοῦ ι. ὁμοίως καὶ τῶν μελλόντων, τύψῃ, γράψῃ, ποιήσῃ, τυπῇ. Ἔτι πάντα τὰ δεύτερα καὶ τρίτα ἑνικὰ τῶν ὑποτακτικῶν διαφόρων συζυγιῶν εἰς η λήγοντα. Ἐὰν τύπτῃς, τύπτῃ. Ἐὰν τετύφῃς, τετύφῃ. Ἐὰν τύψῃς, τύψῃ. Ἐὰν ποιήσῃς, ποιήσῃ. Ἐὰν τιθῇς, τιθῇ. Ἔτι τὰ δεύτερα τῶν παθητικῶν κοινῶν καὶ ἀποθετικῶν. Ἐὰν τύπτωμαι, τύπτῃ. Ἐὰν τύψωμαι, τύψῃ. ὁμοιοτρόπως καὶ τὸ μέμνῃ ἰωνικὸν, ἀντὶ μέμνησαι. κάθῃ, ἀντὶ κάθησαι. δύνῃ, ἀντὶ δύνασαι. Κέχηνα, ἀπὸ τοῦ χαίνω, χανῶ, κέχηνα. καὶ πέφηνα, ἀπὸ τοῦ φαίνω. ὅτε γὰρ ὁ ἐνεστὼς παραλήγει τῇ αι διφθόγγῳ, τότε τὸ α εἰς η τρέπεται ἐν τῷ μέσῳ παρακειμένῳ, καὶ τὸ ι τῆς διφθόγγου ὑπογράφεται. δεδιῄτηκα, ἀπὸ τοῦ διαιτῶ. φημὶ φῄς, ἀπὸ τοῦ φάς. ᾔδει κοινὸν, ἀπὸ τοῦ εἴδω, τροπῇ τοῦ ε εἰς η. καὶ τοῦ ᾔδη τὸ πρῶτον ὑπογράφεται, ἀπὸ τοῦ κοινοῦ κατ' ἔκτασιν. ὡσαύτως καὶ τὸ ᾔειν, ἐπῄειν, προσῄειν, ἀπῄειν, ἀπὸ τοῦ εἴω κοινοῦ. ἐπῇμεν, ἀπὸ τοῦ ἐπείω. ᾖα, ὅτι ἦα. ἔκηα ἰωνικὸν, ἀπὸ τοῦ καίω. κήωμεν, ἀπὸ τοῦ καίομεν. κηάμενοι, ἀντὶ καίοντες. ᾖδεν, ᾖδεν, ἀπὸ τοῦ ἄδω. τῇ μῇ, ἀντὶ τῇ ἐμῇ. Ἀηδὼν ἀηδόνος, καὶ τὰ λοιπὰ, ἀπὸ τοῦ ἀείδω κατ' ἔκτασιν. γήδιον, ὅτι γηΐδιον. ᾐὼν, ἠϊόνος, ὅτι ἠϊών. αἰζηὸς, ὅτι αἰζήϊος, ἀπὸ τοῦ ἀεὶ ζῆν. ζῇς, ζῇ ἰωνικὰ, ἀπὸ τοῦ ζάω, ῶ, ζάεις, ᾷς. ζάει, ᾷ. καὶ ζῇς, ζῇ, τροπῇ τοῦ α εἰς η. ἔτι πεινῇς, πεινῇ. διψῇς, διψῇ. καὶ τὸ ζῆν ὑπογεγραμμένον ἀναλόγως ἀνέγνωμεν, πλὴν οὐ παραδέχονται ἔνιοι τῶν ἡμετέρων διὰ τὴν ἐκφορὰν τοῦ ν, καὶ διὰ τὸ ἀπὸ τοῦ τρίτου τοῦ παρατατικοῦ αὐτὸ σχηματίζειν. μιμνήσκω, ὅτι οἱ αἰολεῖς μιμναίσκω λέγουσι. λῇς ποτὶ τὰν νυμφὰν, λῇς αἰπόλε, ἀπὸ τοῦ λῶ λεῖς. καὶ ἄλλα πάμπολλα. κῆφα, ἀντὶ καὶ ἦπα. ᾖδεν, ἀντὶ ᾔδεν. ἦνθεν, ἀντὶ ἦλθεν. τῆνος, τῆνα, τῆνο, ἀντὶ ἐκεῖνος, ἐκείνη, ἐκεῖνο. Ἔτι καὶ τὰ ἰωνικὰ ὁμηρικά. μῄονες, ἀντὶ μαίονες. μῃονία, ἀντὶ μαιονία. μετήωρα, ἀντὶ μεταίωρα. κρῄηνον, ἀντὶ κραίαινον. καλλιπάρῃοι καὶ μιλτοπάρῃοι, ἀπὸ τῆς παρειᾶς. τεληέσσας ἑκατόμβας, ἀντὶ τελείας. ὀπῖπη, ἀντὶ ὀπώπει. δεδήει καὶ δέδηεν, ἀπὸ τοῦ δαίω. ᾔομεν, ἀντὶ ἄομεν.

abiectione t & mixtione e & a in i subscripto & i eodem modo & futurorum, verberaberis. scriberis fies. verberaberis, etiã oẽs secundæ & tertię singulares subiũctiuorũ diuersarũ cõiugationũ in i desinẽtes si verberes. ret, si raueris rit, si verberaueris rit. si feceris fecerit, si posueris posuerit, etiam secundæ passiuorum cõium & deponentium, si verberer, verbereris, si verberat' fuero fueris. eodẽ mõ & memini sti ionicum, ꝓ meministi sedes ꝓ sedes, potes pro potes, hiaui ab hio hiabo hiaui, & ostendi ab ostendo, cum enim præsens penultimat æ diphthongo, tunc a in i vertitur in medio pręterito perf. & i diphthongi subscribitur, arbitratus sum ab arbitror, aio ais ab ais, noueram cõem a nosco mutatione. e in i & nouerat prima subscribitur a communi productionem, sic & iueram inieram adieram abieram ab eo communi inibamus ab inio, iui qm̃ iui combussi ionicũ a cõburo uramus ab uramus vrentes pro vrentes, canebat, cecini a canto meę pro meæ. luscinia luscinię & reliqua a cano per productionem, telluscula, qm̃ cula, litus ris, qm̃ litus. iuuenis, qm̃ iuuenis a semp viuere, viuis uit ionica a uiuo uo. viuis. uis viuit uit, & viuas viuit mutatione a in i ẽt esuris esurit, sitis sitit & viuere subscriptũ respondenter legimus, pręter nõ recipiũt aliqui nostrorum propter illationem n, & propter a tertia præteriti imperfecti id formare. memoro, quoniã soles memoro dicunt uis per nymphas uis capraríe a uolo uis, & alia multa & inquam pro & inquam, nouit pro nouit, ire pro ire ille illa illud pro ille illa illud. etiam ionica homerica mæones pro mæones mæonia pro mæonia sublimia pro sublimia perfice pro perfice, pulchrigeni & rubigeni a gena perfecta sacrificia pro perfecta, viderat pro viderat accensum fuerat & fuit, ab accẽdo, imus ꝓ imus

τῇ ἄρθρῳ, καὶ τῇ, ἀντὶ ταύτῃ, καὶ τῇ, ἀντὶ λάβε, ἀπὸ τοῦ τῶ. Τὰ εἰς η ἐπιρρήματα ὑπογράφονται. ἄλλῃ. πάντῃ. πῇ. ὅπῃ. κρυφῇ. σπουδῇ. εἰκῇ. ἡσυχῇ. κομιδῇ. πολλαχῇ. πανταχῇ. διπλῇ. τριπλῇ. τετραπλῇ. πενταπλῇ. ταύτῃ, ᾗ ἀντὶ ᾗτινι. καὶ ᾗ, ἀντὶ ὅπου, ἀφ' οὗ τὸ ᾗχι. τὸ δὲ ἤδη καὶ δηλαδὴ, οὐ. μὴν. νὴ. δή. σχετλιαστικόν. ὢ, καὶ ἰώ. Ἔτι πάντα τὰ ἀττικὰ τοῦ παρακειμένου τῷ η παραλήγοντα, πεποιῄμην, πεποίῃο, πεποίῃτο. βεβοῄμην. ᾔδεισθα, ἀντὶ ᾔδεις. ᾐδέσθην. ἀπὸ τοῦ αἰδοῦμαι. ὑπὸ δ' ᾔρεον ἕρματα νηῶν, ἀπὸ τοῦ αἱρῶ. ᾔστην, ἀπὸ τοῦ εἰδήτην. ᾖσμεν, ᾖστε, ᾖσαν, ἀντὶ ᾔδειμεν, εἴδητε, ᾔδησαν. δῃώσας ἀντὶ κόψας, ἀπὸ τοῦ δαΐω. δῃὼ ἡ δημήτηρ ὑπογράφεται, ὥς ἔνιοί φασιν, ἀπὸ τοῦ δαΐω. ὅπερ οἱ πλεῖστοι οὐ παραδέχονται. κλῇθρα ἰωνικῶς ἀπὸ τοῦ κλείω, κλεῖθρον. νηρῇδες, ὅτι νηρηΐδες. βρισῇδες, ὅτι βρισηΐδες, χρυσῇδες, ὅτι χρυσηΐδες. καδμῇδες, ὅτι καδμηΐδες κατὰ συναίρεσιν. παμφαίνῃσιν, ἔχῃσι, φάγῃσιν, ὡς ὑποτακτικὰ ὑπογράφονται.

Περὶ τοῦ ω.

Τῷ ἄρθρῳ τῆς ἑνικῆς δοτικῆς ἀρσενικοῦ καὶ οὐδετέρου γένους, ἀεὶ ὑπογράφεται. τῷ αἰνείᾳ. τῷ λόγῳ. τῷ αἰτίῳ. τῷ γράμματι, τῷ ξύλῳ. Ἔτι πάσῃ δοτικῇ εἰς ω ληγούσῃ ὑπογράφεται ι. τῷ λόγῳ. τῷ ξύλῳ. τῇ ὁδῷ. τῷ μενέλεῳ. τῇ ἅλῳ. Ἔτι πάσῃ γενικῇ καὶ δοτικῇ δυϊκῇ, καὶ δοτικῇ πληθυντικῇ καὶ ὀνομαστικῇ καὶ κλητικῇ πληθυντικῇ τῶν ἀττικῶν ὀνομάτων τῆς τρίτης κλίσεως κατ' ἔκτασιν. τοῖν μενέλεῳν, ἀπὸ τοῖν μενελάοιν. τοῖς μενέλεῳς, ἀπὸ τοῖς μενελάοις. οἱ μενέλεῳ, ὦ μενέλεῳ ἀπὸ τοῦ οἱ μενέλαοι. οὐ μὴν ἡ ὀνομαστικὴ καὶ κλητικὴ τῶν οὐδετέρων ὑπογράφεται, τὰ ἄγεω, ὦ ἄγεω, διότι ἀπὸ τὰ ἄγεα γίνεται. Ἔτι πάσῃ γενικῇ καὶ δοτικῇ δυϊκῇ τῶν ὀνομάτων τῆς δευτέρας τῶν συνῃρημένων κλίσεως τοῖν ὄφεῳν ἀττικῶς κατ' ἔκτασιν, ἀπὸ τοῖν ὀφέοιν. ἀναβιβαζομένου καὶ τοῦ τόνου καὶ περὶ τῆς ληγούσης μακρᾶς οὔσης. ταῖν πόλεῳν, ἀπὸ ταῖν πολέοιν. καὶ ἔτι κρεῷν, ἀπὸ τοῖν κρεάοιν. νῷν, ὅτι νώϊν. σφῷν, ὅτι σφώϊν. λῷον, ὅτι λώϊον. λᾷς,

huic articulo & hac ꝑ hac.& cape pro accipe a capio.
in ι aduerbia subscribuntur,alio. vbiq;. quo. quo.
Clam studio. temere quieti. valde multifariã,omnifariã,
dupliciter tripli͂ quadrupli͂. quincupliciter hac qua pro
qua & qua pro vbi,a quo vbi at iam & videlicet,nõ.ne.
per.sane.ie miseratiuum.oe. & ioe. etiã omnia optatiua
præteriti perfecti i penultimantia. fecissem, fecisses,
fecisset. clamassem, noueras pro noueras. pudui
a pudeo. sub autem tulerunt obices nauium, a tollo,
norát pro nouerant.noramus.tis norát,pro noueramus
noueratis nouerant,iciés ꝑ ꝑcutiés,a diuido ceres ceres
subscribitur, vt nonnulli aiunt, a diuido, ꝙ
plurimi non recipiunt, sera ionice a claudo
clausura. nereides, qm̃ nereides, briseides quoniam
briseides.chryseides,qm̃ chrysedes cadmedes, qm̃ cad
meides per synæresim, eluceat. habeat. voret, vt
subiunctiua subscribuntur.

De. o.

To articulo singularis datiui masculini & neutri generis semper subscribitur, æneæ sermoni, aiaci, lineæ, ligno. etiam omni datiuo in o desinenti subscribitur i. sermoni ligno, viæ menelao, areæ, etiam omni genitiuo & datiuo duali, & datiuo plurali, & nominatiuo & vocatiuo plurali atticorum nominum tertiæ declinationis per productionem menelaorum. a menelaorum,his menelais,a menelais me nelai o menelai,a menelai, non tamen nominatiuus & vocatiuus neutrorum subscribitur,fertilia, o fertilia, quia a fertilia fit. etiam omni genitiuo & datiuo duali nominum secundæ contractorum declinationis, serpentium attice ꝑ productioné, a serpẽtibus traducto accentu, quamuis penultima longa existente, vrbium ab vrbium, & etiam carnium a carnii, nium qm̃ nium,.porũ qa iporũ melius qa meliꝰ,optimꝰ

ὅτι λώϊστος. σῴζω, ὅτι σωΐζω. σῶς, σῷος, ὅτι σώϊος. ἡρῷος, ὅτι ἡρώϊος. καὶ τὰ ὅμοια. πατρῷος, πατρῴα, πατρῷον, ὅτι πατρώϊος. μητρῷος, α, ον, ὅτι μητρώϊος. παππῷος, α, ον. μινῷος, ὅτι μινώϊος. κῷος, ὅτι κώϊος, ἑῷος, ὅτι ἑώϊος. ἀχελῷος, ὅτι ἀχελώϊος. ἀῷος ποταμὸς κύπρου, ὅτι ἀώϊος. μινῳδης, ὅτι μονωΐδης. ἡρῳδης, ὅτι ἡρωΐδης. ἀφ' οὗ καὶ τὸ ἡρῳδιανός. κῷνος, κατὰ παράδοσιν. ᾠδή, ἀπὸ τοῦ ἀοιδή. καὶ τὰ ἀπ' αὐτοῦ, προσῴδιον. ᾠδεῖον. προσῳδία. ὑμνῳδία. μελῳδία. ἀπῳδή. κωμῳδία. τραγῳδία. μονῳδία. ῥαψῳδία. παλινῳδία. κωμῳδός. τραγῳδός. μονῳδός. ὑμνῳδός. μελῳδός. ῥαψῳδός. καὶ τὰ ἑαυτῶν ῥήματα. ὑμνῳδῶ. ῥαψῳδῶ. κωμῳδῶ. τραγῳδῶ. μονῳδῶ. χρησμῳδῶ. χρησμῳδός. χρησμῳδία. κῴας. κῴδιον, ὅτι κωΐδιον. στῴδιον, ἀπὸ τῆς στοιᾶς. οἷς παραλόγως ἠκολούθησε τὸ λαγῴδιον, καὶ καλῴδιον. ἀλωτή, ἡ ἅλως. ἀπὸ τοῦ ἀλοιῶ γάρ. ἀλλὰ καὶ τὸ ἰατρικὸν φάρμακον, οὔ. τρῳάδες, ὅτι τρωΐαδες. τρῳαὶ καὶ δμωαὶ κατὰ παράδοσιν. τρῳοὺς, τοὺς τρωϊκούς. ἡρῷναι, ὅτι ἡρωΐναι. Ἐρῳδιός, εἰ μὲν ἀπὸ τοῦ ἔρωτος παράγεται, οὐκ ἔχει. εἰ δὲ κατ' Ἡρῳδιανὸν ἀπὸ τοῦ ῥοίζω, ἔχει. ῥοίδιος γάρ. καὶ πλεονασμῷ τοῦ ε, καὶ ἐκτάσει, ἐρῳδιός. ὅπερ ὑπογεγραμμένον καὶ αὐτὸς εἶδον ἐν ὀρθογραφίαις παλαιαῖς βίβλοις. ζῴδιον. ὅτι ζωΐδιον. ζῷον, ὅτι ζώϊον. καὶ ὅτι τὰ δισύλλαβα τῷ ω παραληγόμενα, ὑπογράφονται. ζῷον. πῷον. οἷς ὁμοίως τὸ σῷον. προσκείσθω περιῷον. ὑπερῷον, ὅτι ὑπερώϊον. ᾠὸν, ὅτι ᾤϊον λέγεται. ᾤα τὸ περιτραχήλιον τοῦ ἱματίου. ἀπὸ τοῦ οἷς γάρ. οἷς, οἰός, οἴα. καὶ ἐκτάσει, ᾤα. ᾧ, ἀντὶ τῷ τινι, ὡς δωρικοί. καὶ ᾧ, ἀντὶ καθά. ᾠπόλος ἀντὶ ὁ αἰπόλος, κατὰ κρᾶσιν καὶ συναίρεσιν. ᾠπόλοι ἀντὶ οἱ αἰπόλοι δωρικῶς, κατὰ ἔκθλιψιν, καὶ κρᾶσιν, καὶ συναίρεσιν. χ' ᾧ ξυμπόται, ἀντὶ καὶ οἱ ξυμπόται. χ' ᾡσυγγενεῖς, ἀντὶ καὶ οἱ συγγενεῖς. χ' ᾡτυμπανισμοὶ, ἀντὶ καὶ οἱ τυμπανισμοί. ἐγῷμαι ἰατρικοὶ, ἀντὶ ἐγὼ οἶμαι. ἐγῷδα, ἀντὶ ἐγὼ οἶδα. ᾤχωκα, ἀπὸ τοῦ οἴχω. ᾤκτειρα, ἀπὸ τοῦ οἰκτείρω. ᾠχόμην, ἀπὸ τοῦ οἴχομαι.

quia optimus, seruo qa seruo, sospes saluus quia saluus. herous quia heroius, & similia, patrius patria patrium quia patrius, maternus. na nũ. quia maternus. ...us. a, ũ. minous, qa minoius cous qa coius, eous quia eo.us, achelo⁹ qa acheloius. aous fluuius cypri, qa aoi⁹, minodes, quia minoides, herodes quia heroides, a quo & herodianus, conus secundũ traditionẽ, ode. a cantu, & quę ab ipso accantario, cátuariũ, accẽtus. hymnodia. melodia, dissonantia, comœdia. tragœdia defletio. rhapsodia, palinodia. comicus. tragic⁹. monod⁹. hymnodus. melodus. rapsodus & eorũ verba hymnos canto. cano insector, exaggero, defleo vaticinor vates, vaticinatio, pellis vellus, quia vellus, porticulum a porticu quibus præter rationem accessit, lepusculus, & rudens, captilis, area a percutio enim aloe autem, medicinale medicamẽtũ, nõ troades qa troiades, troianæ & ancillæ ſm traditionem, troianos troicos, heronæ pro heroinæ, erodius, siquidem ab amore deducitur, ... habet, si autem ſm herodianum a sibilio habet. ...dius enim & additione e. & productione, erodius, quod subscriptum & ipse vidi in recte scriptis veteribus libris, animal quia aíal, animal quia animal, & quia bisyllaba. o penultimantia, subscribuntur, ... Ptoum mons qbus similiter sospes anteporticus, circumporticus cõclaue qa conclaue ouũ, quia ouum ...uentũ est limbus circũcollare vestis, ab ouis enim ouis ouis, ora. & productione, limbus, cui ꝓ cui, vt dñs, & vt pro sicut caprarius ꝓ caprarius, per mixtionem & contractionem, caprarii pro caprarii dorice, per extritionem, & mixtionẽ, & contratioñe & cóuiuæ, pro & conuiuæ, & cognati pro & cognati. & tympanismi pro & tympanismi, ego puto oratorium, pro ego puto, ego noui. pro ego noui, abii ab abeo, ...itus sum a misereor, abii ab abeo, putabam

ᾤμην, ᾠήθην, ἀπὸ τοῦ οἴομαι. ᾠκοδόμησα, ἀπὸ τοῦ οἰκοδομῶ.
διῴκηκα, ἀπὸ τοῦ διοικῶ. ᾤκουν, ἀπὸ τοῦ οἰκῶ. καὶ
πάντες οἱ παρεληλυθότες τῶν ἀπὸ τοῦ οι ἀρχομένων ῥημάτων,
πλὴν τῶν σεσημειωμένων παρὰ τῷ Ἡρωδιανῷ, καὶ
τοῖς ἄλλοις ἀτρέπτων. οἷον, οἰῶ τὸ μονῶ, οἴουν.
οἰμῶ τὸ πορεύομαι, οἴμουν. οἰνῶ, οἴνουν. οἰνίζω, οἴνιζον. οἰστρῶ,
οἴστρουν. οἰωνίζομαι, οἰωνιζόμην. οἰωνοσκοπῶ, οἰωνοσκόπουν. οἰωνο-
πολῶ, οἰωνοπόλουν. οἰακονομῶ. οἰακονόμουν. οἰακίζω,
οἴακιζον. οἰακοστροφῶ, οἰακοστρόφουν. οἰδαίνω, οἴδαινον. ἢ
οἰκουρῶ, οἰκούρουν. ταῦτα γὰρ ἢ διὰ εὐφωνίαν,
ἰωνικῷ ἔθει ἄτρεπτα ἔμειναν. Ἔτι τὰ δεύτερα καὶ τρίτα
ἑνικὰ πρόσωπα τῶν ὑποτακτικῶν τῆς τρίτης συζυγίας
τῶν εἰς μι, ἐὰν διδῷς, διδῷ. ἐὰν δῷς, δῷ. ἐὰν ἁλῷς, ἁλῷ, ὅθεν
ἁλῴη. Ἔτι τὰ δεύτερα τῶν παθητικῶν τῶν αὐτῶν, ἐὰν
διδῶμαι, διδῷ. ἐὰν δῶμαι. δῷ. Ἔτι τὸ κατὰ συναίρεσιν ω
τῶν εὐκτικῶν τῆς δευτέρας συζυγίας τῶν περισπωμένων
βοάοιμι, ῷμι. βοάοις, ῷς. βοάοι, ῷ. βοάοιτον, ῷτον,
βοαοίτην, ῴτην. βοάοιμεν. ῷμεν. βοάοιτε, ῷτε. βοάοιεν, ῷεν. τὸ
καὶ τροπῇ τοῦ μι εἰς ην αἰολικῶς, βοῴην, βοῴης, βοῴη. τὸ
παθητικὸν ὁμοίως, βοαοίμην, ῴμην. βοάοιο, ῷο. βοάοιτο, ῷτο.
Ἔτι τὸ ω τοῦ εὐκτικοῦ τοῦ παρακειμένου κεχρυσῴμην, κεχρυσῷο,
κεχρυσῷτο. ζῴη. δῴη ἀπὸ τοῦ δοίη. ἐῴκει, ἀπὸ τοῦ εἴκω. ἐῴκειν.
ἐῴκειν. ἐῳνοχόει, ἀπὸ τοῦ οἰνοχοῶ. ἀνῷγε, καὶ ἀνέῳγε,
καὶ ἀνῷξε. καὶ ἀνέῳξε, καὶ ἀνέῳγμαι, καὶ ἀνεῳγμένος ἅπαντα,
πάντα, ἀπὸ τοῦ ἀνοίγω. ἐπαρῴνουν καὶ πεπαρῴνηκα, ἀπὸ τοῦ
παρῳνῶ. ᾤμοι τινὲς ὑπογράφουσιν, ἀπὸ τοῦ οἴμοι κατ' ἔκτασιν.
θῳή, ὅτι θωίη. ὅθεν καὶ ἀθῷος, ὁ ἀζήμιος.
ἢ βῷμι, ἀπὸ τοῦ ἢ βάοιμι, οἶμι. βιῴην καὶ ἀναβιῴην, ὡς
εὐκτικά. καὶ νικῴη, καὶ μελετῴη. θρῴσκω, ἀπὸ τοῦ θρωΐσκω τὸ πηδῶ.
ὅθεν θρῳσμὸς ὁ ὑψηλὸς τόπος, οἱονεὶ θορισμός. κολῳὸς
ὁ θόρυβος, τινὲς ὑπογράφουσιν ἐτυμολογοῦντες ἀπὸ τῶν
κοιλιῶν τῶν ὀρνέων. καὶ κολῳᾶν, τὸ θορυβῶ. πλῴζω,
ὅτι πλωΐζω. χρῴζω, ὅτι χρωΐζω. πρῴζον τὸ προχθεσινὸς,
ὅτι πρωΐζον. πρῴην ὑπογράφεται. ὅτι ἀπὸ τοῦ πρωΐ,

putaui a puto ædificaui ab ædifico, administraui ab administro, habitabā ab habito. & omnia præterita ab oe incipientium verborum, exceptis adnotatis apud Herodianum & aliis imutabilibus, vt destituo, qđ ē destituo destituebā. eo qđ est eo ibā. inebrio, inebriabā, uinor, uinabar ecito ecitabā, auguror augurabar, auspicor, auspicabar, auguror, augurabar, guberno gubernabam, clauum rego. regebam. clauum uerto uertebam. tumeo tumebam, domicilior, ciliabar. hæc n. vel propter uocalitatē, vel ionico more immutata mansere etiam secundæ & tertię singulares personæ subiunctiuorū tertiæ coniugationis in mi si des det, dederis rit, si prendaris are. atur, vñ prædatur, etiam secundæ passiuorum eorundem, si der dederis, si der deris. etiam per contractionem o. optatiuorum secundæ coniugationis circunflexorum, clamarē rē clamares res clamaret ret clamaretis tis. clamarent rent. clamarem⁹ m⁹. clamaretis, etis, clamarēt rēt, & mutatione mi in æolicę, clamarem. res. ret. passiuum similiter, clamarer rer, clamareris reris, clamaretur, retur. etiam o optatiui præteriti perfecti. amatus fuissem, fuisses fuisset viuat. det a det assimilat⁹ fuerat, ab assimilor, assimilat⁹ sum. fuerā vinū ministrabat a vinū ministro, apertū est, & apuit & apuit & aperuit & apertus sum. apertus sum. & aptus attica omnia, ab aperio, debacchabar, & debacchatus sum, a debacchor, o mihi nonnulli subscribunt ab hei mihi per productionē multa quia multa. vñ innocēs. innoxi⁹ pubescerē, a scerem scerem uiuerem & reuiuiscerem. vt statua & uinceret, & meditaretur salio. a salio, salio, vnde saltus excelsus locus, veluti saltus, tumulus, tumultus, nonnulli subscribunt interpretantes a graculis auibus, & tumultuor tumultuor, naugo naugo, crocito qa crocito, perhellenū. phellenū.

ὅτι πρωΐζον. πρώην ὑπογράφεται. ὅτι ἀπὸ τοῦ πρωῒ πρώϊος, πρωΐα. καὶ ἰωνικῶς. πρωΐην κατ᾽ αἰτιατικὴν πτῶσιν, ἀφ᾽ οὗ πρώην ἐπίρρημα. πρῷρα κατὰ παράδοσιν ὑπογράφεται, ὅτι πρώϊρα. καὶ δῆλον ὅτι κυκλο πρωΐρους ἀεὶ γνωμεν. φῴζειν τὸ καίειν, ὅτι φωΐζειν. κύκλῳ τὸ ἐπίρρημα ὑπογράφεται ἀπὸ δοτικῆς γινόμενον, καὶ ἄλλα πολλὰ εὕρεσθε οἱ ἀναγινώσκοντες, καὶ μέμνησθε.

Ἐν Μεσσήνῃ τῆς Σικελίας ἔτει ἀπὸ θεογονίας
χιλιοστῷ, τετρακοσιοστῷ, ἑβδομηκοστῷ:-

ΤΕΛΟΣ.

quia hesternum, pauloante sub scribitur, quia a mane, matutinus na. & ionice matutinum in accusatiuo casu, a quo pauloante aduerbiũ, pra s͡m traditionẽ sub scribitur, quia prora & manifestum est q͛ ceruli prorus legimus, vrere ardere quia ardere circum ad/uerbium subscribitur a datiuo factum. & alia multa, Valete qui legitis. & memineritis, in Messene Siciliæ anno ab incarnatione dei millesimo quadrin/gentesimo se/ptuagesimo.

FINIS.

HOC LIBELLO ET GRÆCE, ET LATINE HABENTVR HÆC VIDELICET.

De Græcarum proprietate linguarum ex ſcriptis De Arte Ioannis Grammatici.

Plutarchi de proprietate linguarum, quæ apud Homerum.

De Græcarum proprietate linguarum ex hiis, quæ à Corintho decerpta.

ΠΕΡΙ ΔΙΑΛΕΚΤΩΝ ΕΚ ΤΩΝ ΙΩΑΝΝΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ ΤΕΧΝΙΚΩΝ.

Διάλεκτος, ἐστὶ γλώττης ἰδίωμα. εἰσὶ δὲ διάλεκτοι πέντε. ἀτθίς. δωρίς. αἰολίς. ἰάς. κοινή. καὶ ἀτθὶς μὲν ἐκλήθη ἀπὸ ἀτθίδος τῆς κραναοῦ θυγατρός. αἰολὶς δὲ, ἀπὸ αἰόλου τοῦ ἕλληνος. δωρὶς δὲ, ἀπὸ δώρου τοῦ ἕλληνος. ἰὰς δὲ, ἀπὸ ἴωνος τοῦ ξύθου τοῦ ἕλληνος καὶ κρεούσης τῆς ἐρεχθέως παιδός. κοινὴ δὲ, ἐκ τῶν τεσσάρων συνεστῶσα. ἔχει δὲ ἑκάστη διάλεκτος οἰκεῖον ἰδίωμα.

Περὶ διαλέκτων προοίμιον ἕτερον.

Διάλεκτοι πέντε, ἰάς. ἀτθίς. δωρίς. αἰολίς. κοινή.

Περὶ ἰάδος.

Ιὰς δέ ἐστιν, ᾗ κέχρηνται ἴωνες. δοκεῖ δὲ, ἀρχαίαν εἶναι αὐτοῖς. ἴδιον δὲ αὐτῆς ἐστιν ἀντὶ τοῦ ᾱ, τῷ η κεχρῆσθαι. καὶ τὰς περισπωμένας συλλαβὰς εἰς δύο διαιρεῖν. καὶ ἀντὶ τοῦ π, τὸ κ λαμβάνειν. καὶ ἀντὶ τῶν δασυνουσῶν συναλοιφῶν, ψιλότητας ἐκφέρειν. καὶ ἐπί τινων λέξεων τὸ ι ὑπεξαιρεῖν. Χρῶνται μὲν οὖν τῷ η ἀντὶ τοῦ ᾱ, οἷον θύρην ἀντὶ τοῦ θύραν. καὶ ἡμέρην ἀντὶ τοῦ ἡμέραν. καὶ ὠφελίην ἀντὶ τοῦ ὠφέλειαν. τὰς δὲ περισπωμένας συλλαβὰς, εἰς δύο διαιροῦσιν. ἀντὶ τοῦ ποιεῖν γὰρ ποιέειν λέγουσιν. ἀντὶ τοῦ π τὸ κ λαμβάνουσι. τὸ γὰρ πῶς, κῶς λέγουσιν. ἀντὶ τοῦ δασυνουσῶν συναλοιφῶν ψιλότητας ἐκφέρουσιν, ὅτ᾽ ἂν λέγωσιν ἀντὶ τοῦ ἐφίππων, ἐπίππων. καὶ ἐφοράν. ἐπεχί, ἐπὶ δέ τινων λέξεων τὸ ι ὑπεξαιροῦσιν. ἀντὶ τοῦ πονεῖσθαι πονέεσθαι λέγοντες. Ιὰς δὲ, ἀπὸ ἴωνος τοῦ ἀπόλλωνος καὶ κρεούσης τῆς ἐρεχθέως θυγατρός.

Περὶ ἀτθίδος.

Ατθὶς δέ ἐστι διάλεκτος, ᾗ κέχρηνται ἀθηναῖοι. ἴδιον δὲ αὐτῆς ἐστι, κατακόρως κεχρῆσθαι ταῖς συναλοιφαῖς. καὶ τὰς λέξεις ἀδιαιρέτως ἐκφέρειν. ἔτι δὲ καὶ τὸ τ καὶ ρ, ἀντὶ σ λαμβάνειν. καὶ τὸ υ, ἀντὶ τοῦ ι. καὶ ἀντὶ τοῦ σ τὸ ξ. ταῖς μὲν οὖν

DE GRAECARVM PROPRIET..TE LINGVARVM EX SCRIPTIS DE ARTE IO. GRAMMATICI.

Dialectus est linguæ proprietas. Sunt autem dialecti quinq;. Attica. Dorica. Aeolica. Ionica. Communis, & Attica quidem vocata est ab Atthide Cranai filia. Aeolica vero ab Aeolo Hellenis filio. Dorica autem à Doro Hellenis filio. Ionica autem ab Ione filio Xuthi, qui fuit Hellenis, & Creusæ Erechthei filiæ. Cōis aūt quæ ex his quatuor ꝯstat. hēt aūt vnaquæq; dialectus proprium idioma.

De Dialectis proœmium alterum.

Dialecti quinq; Ionica Attica. Dorica. Aeolica. Cōis.

De Ionica lingua.

Ionica āt ē, qua vsi sūt Iones. hāc aūt antiquā eē ꝯstat. Proprium autem ipsius est pro α. η vti, & circunflexas syllabas in duo diuidere, & pro π κ accipere, & pro aspiratis collisionibus tenuiter proferre, & quibusdam dictionib. ι auferre. vtuntur igitur η pro α, vt Ianuam pro ianuam, & diem pro diem. & vtilitatem pro vtilitatem. Circunflexas aūt syllabas in duo diuidunt. pro facere enim facere dicūt. pro π κ accipiunt. nā quomodo, quomodo dicūt. Pro aspiratis collisionibus tenuiter proferunt, cum dicunt. pro in equis, in equis. & inspicere, inspicere. quibusdam dictionibus ι auferunt pro laborare, laborare dicentes. Ionica autem ab Ione Apollinis filio, & Creusa Erechthei filia.

De Attica lingua.

Attica vero ē dialect᷑, qua vsi sūt Athenienses. Peculiare autem ipsius est affatim vti contractionibus, & dictiones inseparabiliter proferre. tum vero & τ & ς pro σ accipere, & υ pro ι. Et pro σ, ξ. Contra-

σιναλοιφαῖς, κατακόρως χρῶνται. ὅταν λέγωσι θοιμάτιον ἀντὶ τοῦ ἱμάτιον. καὶ φροίμιον ἀντὶ τοῦ προοίμιον. ἀδιαιρέτως δέ τινας τῶν λέξεων ἐκφέρουσιν. ὅταν λέγωσι πατρῷον, ἀντὶ τοῦ πατρώϊον. καὶ νηρῇδα, ἀντὶ τοῦ νηρηΐδα. καὶ τὸ ρ̄ καὶ τ̄, ἀντὶ τοῦ σ̄ λαμβάνουσι. τὴν θάλασσαν γὰρ, θάλατταν. καὶ τὸ πράσσειν πράττειν. πάλιν ἀντὶ τοῦ θαρσαλέως. ἄρσενα. θαῤῥαλέως. ἄῤῥενα λέγουσιν. ἀντὶ τοῦ ε̄ τὸ ῡ λαμβάνουσιν, ὅταν λέγωσι τοὔνδυμα, τὸ ἔνδυμα· τοὔγκλιμα, τὸ ἔγκλιμα. τοὔλαιον. τὸ ἔλαιον. τοὐπίσημον. τὸ ἐπίσημον· τοὖργον, τὸ ἔργον. ἀντὶ δὲ τοῦ σ̄ τὸ ξ, ὅταν λέγωσι ξύμπας, ἀντὶ τοῦ σύμπας, καὶ ξυμφορὰν ἀντὶ τοῦ συμφοράν. καὶ ξυνέηκεν, ἀντὶ τοῦ συνέηκεν. καὶ ξύμβολον, ἀντὶ τοῦ σύμβολον. καὶ ξυνθήκη, ἀντὶ τοῦ συνθήκη. ἐκλήθη δὲ ἀτθὶς, ἡ τῶν ἀττικῶν ἀπὸ ἀτθίδος τῆς κραναοῦ θυγατρός.

Περὶ δωρίδος.

Δωρὶς δὲ κέκληται διάλεκτος, ᾗ κέχρηνται δωριεῖς. ἴδιον δὲ αὐτῶν ἐστιν, ἀντὶ τοῦ η̄, τῷ ᾱ χρῆσθαι. καὶ ἀντὶ τῆς, τᾶς, τῷ ᾱ. καὶ ἀντὶ θηλυκῶν ὀνομάτων ἑνικῶν, πληθυντικὰς πτώσεις ἐκφέρειν. καὶ ἀντὶ τῆς ου διφθόγγου τῷ ω̄ χρῆσθαι. καὶ ἀντὶ τῆς ει διφθόγγου, τὸ η̄ παραλαμβάνειν. καὶ ποτὲ ἀντὶ τοῦ ῡ, τὸ ο̄. καὶ ἐπί τινων λέξεων, τὸ ῑ ὑπεξαιρεῖσθαι. ἀντὶ μὲν οὖν τοῦ η̄ τῷ ᾱ χρῶνται, ὅταν λέγωσι τὸ ἅλιον ἀντὶ τοῦ ἥλιον. καὶ ἁμέραν ἀντὶ τοῦ ἡμέραν. καὶ ἁ κύπρις ἀντὶ τοῦ ἡ κύπρις. καὶ ἁδὺ ἀντὶ τοῦ ἡδύ. ἀντὶ δὲ τοῦ ω̄ τῷ ᾱ χρῶνται, ὅταν λέγωσι μουσῶν μουσᾶν. θυρῶν. θυρᾶν. ἀντὶ δὲ ἑνικῶν θηλυκῶν ὀνομάτων πληθυντικὰς πτώσεις ἐκφέρουσιν, ὡς ὅταν λέγωσι καλὴν καλὰς· σοφὴν σοφάς. ἀντὶ δὲ τῆς ου διφθόγγου τῷ ω̄ χρῶνται, ὅταν λέγωσι μούσας, μώσας. ἀντὶ δὲ τῆς ει διφθόγγου τῷ η̄ χρῶνται, ὅταν λέγωσιν ἀντὶ τοῦ ἰδεῖν. δραμεῖν. λαβεῖν. ἰδῆν δραμῆν λαβῆν. ἀλλὰ καὶ λάβειν, ἀντὶ τοῦ λαβεῖν. καὶ δράμεν ἀντὶ τοῦ δραμεῖν. καὶ ἔλθεν, ἀντὶ τοῦ ἐλθεῖν λέγουσι. δωρὶς δὲ ἐκλήθη, ἀπὸ δώρου τοῦ ἕλληνος παιδός.

Περὶ αἰολίδος.

Αἰολὶς δὲ λέγεται διάλεκτος, ᾗ κέχρηνται αἰολεῖς. ἴδιον δὲ αὐτῆς ἐστι τὰς ὀξυτόνους λέξεις ἀναστρέφειν. καὶ τοῖς ὀνόμασι

ctionib. igitur abunde vtuntur, cum dicunt vestis, pro vestis. & procemium, pro procemium. coniunctim vero nonnullas dictiones proferunt, cũ dicũt paternũ. pro paternum, & nereida pro nereida. & ρ & τ pro σ accipiunt. mare enim mare, & facere, facere. Rursum pro audenter. masculum. audenter, masculum dicunt. pro ε υ accipiunt, cum dicunt indumentum, pro indumentum. crimen, crimen oleum oliuum. insigne, insigne opus, opus. Pro σ vero ξ, cum dicunt, vniuersus. pro vniuersus, & calamitatẽ p̱ calamitatẽ, & ĩtellexit. p̱ ĩtellexit, & signũ pro signum. & foedus pro foedus. vocata est autem Attica, quæ Atticorum est, ab Atthide Cranai filia.

De lingua dorica.

Dorica aũt vocata est dialectus, qua vsi sunt Dores proprium ipsius est pro η α vti, & pro ω magno α, & p̱ fœmininis nominibus singularib. plurales casus proferre, & pro ου diphthongo ω. vti. & pro α consono η adsumere, & interdum pro θ, σ, & quibusdam dictionib. ι dethraere. Pro η igitur α vtuntur, cum dicunt solem, pro solem. & diem, pro diem. & venus, pro venus. & suaue, pro suaue. pro ω autem α vtuntur, cum dicunt musarum musarũ. Ianuarũ, rũ. Pro singularib. autem fœmininis nominib. plurales casus proferunt. dicendo pulchram, pulchras. doctam, doctas. Pro ου aũt dissono ω vtuntur dicendo musas musas. Pro α autem dissono η vtuntur, cum dicunt pro videre, currere. accipere. videre. currere, accipere. Sed & accipe pro accipere. & currere pro currere, & venire, pro veni re dicũt. Dorica aũt appellata est à Doro Hellenis filio.

De lingua Aeolica.

Aeolica aũt dicit̃ Dialect⁹, qua vsi sũt æoles. propriũ aũt ipsius est acutas dictiões inuertet̃, & qbusdã noib.

θηλυκοῖς αἰτιατικῆς πτώσεως, τὸ ι προστιθέναι. καὶ ποτὲ ἀντὶ τοῦ υ, τῷ ω χρῆσθαι. καὶ ἀντὶ τοῦ ο, τῷ ω. καὶ τὰ ἀρχόμενα ἀπὸ φωνηέντων, ψιλῶς ἐκφέρειν. καὶ ἀντὶ τῆς ου διφθόγγου, τὸ η τάττειν. καὶ προστιθέναι ἐπὶ τῶν λέξεων τοῦ ρ τὸ β. ἀντὶ δὲ τῶν δύο μμ, δύο ππ λαμβάνειν. καὶ τὰς λέξεις μὲν ἀντιστρέφουσι τὰς ὀξυτόνους, τὸ ποταμὸς πόταμος λέγοντες. καὶ τὸ καλὸς κάλος. Τισὶ δὲ ὀνόμασι θηλυκοῖς αἰτιατικῆς πτώσεως τὸ ι προστιθέασιν. ὅταν λέγωσιν ἀντὶ τοῦ καλὰς καλαῖς. σοφὰς σοφαῖς. ἀντὶ δὲ τοῦ υ, τὸ ω χρῶνται. ὅταν λέγωσι λειπῶσαι ἀντὶ τοῦ λειποῦσαι. καὶ ἰδῶσαι, ἀντὶ δὲ τοῦ ἰδοῦσαι. καὶ λαλῶσαι, ἀντὶ τοῦ λαλοῦσαι. ἀντὶ δὲ τοῦ ο τῷ ω χρῶνται. ὅταν λέγωσιν ὤμοιον, ἀντὶ τοῦ ὅμοιον. τὰ δὲ ἀρχόμενα ἀπὸ φωνηέντων ψιλῶς ἐκφέρουσιν, ὅταν τὸ ἡμέρα ψιλῶσι. καὶ τὸ ἥλιος καὶ ὑμεῖς. ἀντὶ δὲ τῆς ει διφθόγγου τῷ η χρῶνται. ἀντὶ τοῦ κνθαίρειν, κνθαίρην λέγουσι. καὶ ἀντὶ τοῦ μαθεῖν καὶ ἐλθεῖν, μαθὴν καὶ ἐλθὴν. προστιθέασι δὲ ἐπὶ τῶν λέξεων τοῦ ρ τὸ β, τὰ ῥόδα γὰρ βρόδα λέγουσι, καὶ τὰ ῥάκη, βράκη. ἀντὶ δὲ τῶν δύο μμ δύο ππ λαμβάνειν, τὰ ὄμματα, ὄππατα λέγοντες. ἔστι δέ τινα ἰδίως παρ' αὐτοῖς τὴν σχηματιζόμενα. ἀντὶ γάρ τις μετὰ προθέσεως, κάττα παραλαμβάνουσι. ἔσθ' ὅτε δὲ καὶ τὴν βουλὴν βωλὴν λέγουσι. καὶ τὴν γῆν, γᾶν. καὶ τὸν ἀγῶνα, ἄγωνον. τὸν δὲ πρίαμον, πέρραμον. ἐκλήθη δὲ αἰολὶς, ἀπὸ αἰόλου τοῦ ἕλληνος παιδός.

Περὶ κοινῆς.

Οἱ μὴ βουλόμενοι τὴν κοινὴν καταριθμεῖν διάλεκτον ταῖς προειρημέναις τέσσαρσιν, αἰτιῶνται τούτῳ τῷ τρόπῳ. οὐ δὲ γάρ φασιν ἔχειν ἴδιον. ἀλλ' ὥσπερ τετραφάρμακος δύναμις ἐκ τεσσάρων συνεστῶσα. τετραφάρμακον λέγεται, οὐδὲν ἰδίαν ἔχουσα, οὕτω καὶ ἡ κοινὴ διάλεκτος ἐκ τεσσάρων συνηρμοσμένη, οὐκ ὀφείλει συναριθμεῖσθαι ταύταις. τῶν δὲ τὴν κοινὴν διάλεκτον εἰσηγησαμένων, οἱ μὲν λέγουσιν, ὅτι πάσαις συνεζεῦχθαι ταῖς διαλέκτοις ταῖς ἐμφαινομένοις, φιλοσοφεῖν καὶ τὰ τοιαῦτα. οἱ δὲ, ὅτι νῦν ἐστιν ἔχουσα τύπον. ἀλλ' ἐκ διαφόρων λέξεων ἰδίων συνηθροισμένη. μετὰ πτώσεως δὲ αὐτῆς, οὐχ εὑρίσκονται.

fœmininis accusatiui casus addere. & aliquando pro ου, ω vti. & pro ο, ω. & incipientia à vocalib. tenuiter proferre. & pro ει dissono η ponere, & ponere in dictionib. ante ρ, β. pro gemino μμ, geminũ ππ assumere. & dictiones qdem inuertunt acutas fluuius, fluuius dicentes & pulcher, pulcher. Quibusdã aũt noib. fœmininis accusatiui, casus apponunt, cum dicunt pro pulchras, pulchras. sapientes, sapientes. pro υ vero ω vtunt. cum dicunt relinquentes, relinquentes. & videntes, pro videntes. & nugantes pro nugantes. Pro ι ω vtuntur, cum dicunt simile, pro simile. Inchoantia vero à vocalib. tenuiter proferunt cum dies attenuant, & Sol, & vos pro ει autem disso-no η vtuntur. Pro cytherean, cytherean dicentes, & p didicisse, & ire, didicisse, & ire. Ponunt aũt in qbusdam dictionib. ante ρ β, rosas brosas dicẽtes, & pãnos laceros, pãnos laceros. p gemio vero μμ geminũ ππ accipiũt, oculos, oculos dicẽtes. Sũt ãt q̃dã, q̃ peculiariter apud eos formantur. nam pro cum præpositione contra accipiunt. Aliquando & consilium, consilium dicunt. & terrã, terrã. & certamen, certamẽ. Priamũ aũt Perrha nũ. Appellata est æolica lĩgua ab Aeolo Hellenis filio.

De communi lingua.

Qui nolunt communem adnumerare Dialectum prædictis quatuor, arguunt hoc modo. neque enim aiũt habere proprium, sed sicut quadripharmacos vis ex quatuor cõstans, quadripharmacũ dicitur. nihil proprii habens, sic & cõmunis dialectus ex quatuor coaptata non debet adnumerari iis. Ex iis aũt, qui cõem dialectũ introducũt, alii dicunt quoniam omnibus sese insinuat dialectis eiusdem vocis, vt amicus, nox. & huiusmodi. Alii non habere formam, sed ex variis dictionibus congregatã. decidẽtiæ aũt ipsius nõ inueniunt. Ionica

ἔγραφεν Ὅμηρος. ἀτθίδι, Ἀριστοφάνης. δωρίδι, Θεόκριτος. αἰολίδι, ἀλκαῖος. κοινῇ, πίνδαρος.

Ετέρως περὶ διαλέκτων.

Διάλεκτος, ἐστὶ λέξις ἴδιον χαρακτῆρα τύπου ἐμφαίνουσα. ἢ λέξις, ἴδιον ἢ κοινὸν ἐμφαίνουσα χαρακτῆρα. διάλεκτοι δέ εἰσιν, εἰ καὶ τὴν κοινὴν τις καταριθμοίη, πέντε. ἰάς. ἀτθίς. δωρίς. αἰολίς. κοινή. ἡ γὰρ πέμπτη ἴδιον οὐκ ἔχουσα χαρακτῆρα, κοινὴ ὀνομάζεται. ἤτοι ὅτι τοῖς κοινῇ τῶν πασῶν χαρακτῆρσι χρῆται καὶ ἐκ τῶν τεσσάρων καθέστηκεν, ἢ ὅτι κοινῶς αὐτῇ πάντες χρῶνται. ἢ διότι ἐκ ταύτης ἄρχονται, ὡς ταύτης οὔσης, πᾶσαι. διαπεντέον δὲ, ταύτην μὲν, ὡς πρὸς κανόνα. τὰς δὲ λοιπὰς, πρὸς ἰδιότητα. τὰς μὲν οὖν βαρβάρους ἐν πλήθει οὔσας καὶ ἀπεριλήπτους, οὐκ ἔστι ῥᾴδιον παραδοῦναι.

Αλλως τε οὐδὲ λεκτέον αὐτὰς διαλέκτους, ἀλλὰ γλώσσας. τὰς δὲ ἑλληνικὰς συνέβη καλεῖσθαι. ὡς ἕλλην, τοῦ διὸς μὲν υἱοῦ, κατεπίκλησιν δὲ, δευκαλίωνος, τοῦ κατὰ τὴν ἑλλάδα τόπους κατεσχηκότος. πάσας μὲν συνέβη λέγεσθαι ἑλληνικὰς φωνὰς, κατ' εἶδος δὲ τὰς προσωνυμίας ἀπὸ τῶν ἐκείνου παίδων λαβεῖν. διασπαρέντων γὰρ τούτων, εἰς πλείονας τόπους, καὶ τὴν αὐτὴν φωνὴν οὐκ ἐπιφυλαξάντων. ἀλλὰ τῇ τῶν τούτων μεταβολῇ ἅμα καὶ τὴν φωνὴν μεταβαλλόντων, συνέβη διαλέκτους λέγεσθαι. ἀπὸ μὲν οὖν δώρου τοῦ δευκαλίωνος καὶ πύῤῥας παιδὸς μετοικήσαντας εἰς τοὺς περὶ τὸν παρνασσὸν τόπους καὶ αἰσωπόν. δωριεῖς ἀπ' αὐτοῦ προσαγορευθῆναι πάντας συνέβη, καὶ τὴν διάλεκτον δωρίδα. ᾗ πάλιν χρῶνται ῥόδιοί τε καὶ κρῆτες καὶ πελοποννήσιοι καὶ σικελοί. καὶ λίβυες. καὶ οἱ τὴν παλαιὰν ἤπειρον οἰκοῦντες.

Απὸ δὲ αἰόλου τοῦ ἕλληνος παιδὸς καὶ πύῤῥας αἰολὶς ἐκλήθη. οὗτος γὰρ δέκα πόλεις κτίσας. τήν τε χώραν αἰολίαν, καὶ τὴν διάλεκτον αἰολίδα προσηγόρευσεν.

Η δὲ ἰὰς, ἀπὸ ἴωνος τοῦ ξύθου τοῦ ἕλληνος καὶ κρεούσης τῆς τοῦ ἐρεχθέως παιδὸς, ἐκλήθη. οὗτος γὰρ δοκοῦσαν

ſcripſit Homer⁹. Attica Ariſtophanes. Dorica Theocrit⁹. Aeolica Alcæus. communi Pindarus.

Aliter de Dialectis.

Dialectus eſt dictio ꝓprię iſigne formæ oſtendẽs, vel dictio peculiaré, vel cõem oſtendens notam. Dialecti autem ſunt, ſi & cõem quis adnumerauerit, quinque, Ionica. Attica. Dorica. Aeolica, cõis. nã quinta ꝓpriã nõ habens notam cõis nominata eſt, vel qa communiter omnium notis vtitur, & ex quatuor conſtat, vel quia communiter ea omnes vtunt̃ vel quia ex hac incipiunt tanq̃ ea ſubiecta oẽs. Remittendum aũt hanc quidem, quaſi ad regulam. reliquas vero ad proprietatem. Itaq; Barbaras in multitudine exiſtentes, & incomprehenſibiles, non eſt facile tradere.

Alioqui neq; dicendum ipſas dialectos, ſed linguas. Hellanicas aũt contigit appellari. Quod cum Hellen Iouis quidem filius, cognomento autem deucalionis, loca per Græciam occupaſſet, omnes quidem cõtigit dici Hellanicas voces. Specialiter aũt denoiatio les ab illius filiis accepiſſe. Diſperſis enim his in plura loca, atq; eandem vocẽ non amplius ſeruantibus. ſed cum locorum mutatione vna vocem quoque mutantibus, accidit dialectos. dici. A Doro ergo Deucalionis, & Pyrrhæ filio, illos, qui migrarunt in loca circa Parnaſſum, & æſopũ, dorienſeis ab ipſo appellari omneis contigit, & dialectũ doricam, qua valde vtuntur Rhodii'q;, & Cretenſes, & Peloponneſii. & Siculi, & Libyci, & antiquam Epeirum habitantes.

Ab Acolo aũt Hellenis filio, & Pyrrhę æolica vocata eſt. hic. n. cum decem vrbes condidiſſet, & regionem æolicam, & dialectum æolicam appellauit.

Ionica aũt ab Ione Xuthii, q fuit Hellenis, & Creuſę erechthei filia, vocata eſt. hic. n. linguam,

ἀτθίδι τὴν αὐτὴν εἶναι διάλεκτον μεταναστὰς, καὶ κτίσας πόλεις ιγ. ἀφ' ἑαυτοῦ ἰάδα προσηγόρευσεν. αἱ δὲ πόλεις, αὗται. κλαζομεναί. λέβεδος. φωκαία. πριήνη. μίλητος. μυκάλη. ἐρυθραί. τῖος. σάμος. κολοφών. ἔφεσος. χίος. σμύρνα.

Ἀτθὶς δὲ ἐκλήθη ἤτοι, ἀπὸ ἀτθίδος τῆς κραναοῦ θυγατρός. (ἐγένετο δὲ οὗτος, τῆς ἀττικῆς βασιλεύς.) ἤτοι ἐκλήθη οὕτως ἀπὸ τοῦ παράκτιος εἶναι ἀκτική τις οὖσα.

Νοεῖται δὲ ἡ διάλεκτος τριχῶς. κατὰ ὅλου ὀνόματος ἀλλαγήν. κατὰ μέρος τι. κατὰ συμβεβηκός. κατὰ ὅλου ὀνόματος ἀλλαγὴν οὕτως. ὡς οἱ αἰολεῖς τὸ γυναικεῖον ἔνδυμα, καταγωγὴν καλοῦσιν. οἱ δὲ ἀττικοὶ τὴν ἐφ' ἡμῶν τηλίαν ἀλλαρότησιν καλοῦσιν. καὶ τὰ ὅμοια. κατὰ δὲ μέρος τι. ἤτοι κατὰ πρόσθεσιν, ὡς οἱ αἰολεῖς τὰ ῥόδα, βρόδα λέγουσι. ἢ κατὰ ἀφαίρεσιν, ὡς οἱ δωριεῖς, τὸ φέρειν, καὶ λέγειν, φέρεν, καὶ λέγεν λέγουσι. ἢ κατὰ μετάθεσιν, ὡς δίφρον, δρίφον λέγουσι. κατὰ δὲ τὸ συμβεβηκός. ἤτοι κατὰ προσῳδίαν, ἢ κατὰ πνεῦμα λεγόμενον παρ' ἡμῖν, ἀλλοιοῦσι. κατὰ μὲν προσῳδίαν θέλουσιν. ἀττικοὶ μὲν, ἱκάνω ἵκανον. ἐλαύνω ἔλαυνον. δωριεῖς δὲ τὸ πάντως, παντῶς λέγουσι καὶ οὕτως οὑτῶς. καὶ τὰ ὅμοια διαιροῦμεν τοῖς ἰδιώμασι τῶν κατὰ μέρος διαλέκτων. κατὰ δὲ πνεῦμα, ὡς ἀττικοὶ τὸ παρ' ἡμῖν ἥκιστα ψιλῶς ὂν, αὐτοῖς δασέως προφέρεται.

Περὶ τῶν κατὰ μέρος ἀτθίδων διαλέκτων.

Η ἀτθὶς τρέπει τὸ σ, ποτὲ μὲν εἰς τὸ τ. ποτὲ δὲ εἰς τὸ ξ. τὴν γὰρ θάλασσαν, θάλατταν λέγει καὶ τὸ σεῦτλον τεῦτλον. καὶ τὴν συμφορὰν, ξυμφοράν. καὶ τὸ σύμβολον, ξύμβολον. τρέπει δὲ τὸ σ εἰς τὸ ξ, ἐπὶ τῆς σὺν προθέσεως καὶ μόνως.

Ἀεὶ τὰς εἰς εἰς πληθυντικὰς εὐθείας ἀπὸ τῶν εἰς εὺς ἀρσενικῶν γενομένας, διὰ τοῦ η προφέρεται. οἷον, γονεῖς γονῆς, βασιλῆς, οἱ βασιλεῖς.

Τὰ εἰς αος λήγοντα ἀρσενικὰ προπαροξύτονα ἢ ὀξύτονα, διὰ τοῦ εως προφέρεται. οἷον, μενέλαος, μενέλεως. λαὸς, λεώς. ναὸς, νεώς.

Τὸ ι ἐν ταῖς λέξεσι προστίθησιν. οἷον, νυνί. τουτοΐ. οὑτοσί. πο-

q̃ eadē, atq; attica videbaẽ, cū cōmigrasset, & ędidisset. xiii. vrbes ab se Ionicā appellauit. vrbes āt hę. clazomē e Lebedus. Phocęa. Priene. Myletus. Mycale. Erythra. Tius. Samus. Colophon. Ephesus. Chius. Smyrna.

Attica aūt vocata ē, vel ab Atthide Cranai filia (fuit āt is Atticæ Rex) vel vocata est sic, eo quod litus esset, quasi Atticam dixeris.

Intelligitur aūt dialectus trifariā ꝺm totius nominis mutationē ꝺm partē q̃dam. ꝺm accidēs. ꝺm totius nois mutationem, sic quemadmodum æolenses muliebre idumētū catagogē vocāt. attici āt q̃ a nobis circūferētia cribri, farinariā vocāt, & similia. ꝺm aūt partem quādā, vel ꝑ additionem, vt çolenses rosas bicsas dicunt. vel per ablationem, vt Dores ferre, & dicere, ferre, & dicere dicunt. vel ꝑ transmutatiōnē, vt currū currrum dicunt ꝺm vero accidens, vel per accentum, vel per spiritum dictum apud nos, permutant, per accentum quidē volūt. attici q̃dē puenio, perueniebam. Impelio appellebam. dores aūt omnino, omnino dicunt, & sic sic, & similia, q̃ diuidimus iis idiomatib. q̃ sunt ꝺm ptē dialectorum. secundum spiritum autem, vt attici. quod apud nos tenuiter est ipsi aspirate proferunt.

De Atticis dialectis per parteis.

Attica mutat σ modo in τ. modo in ξ. nam mare, mare dicit, & betam, betā, & calamitatem calamitatem, & symbolum, signum. vertit autem σ in ξ, in cum præpositione, & in compositione.

Semper in ες plurales nominatiuos ab in ὰ masculinis factos per. η. profert, vt parentes, genitores. reges. reges.

In ᾶος desinētia masculina aūpenultima, vel vltima acuta ꝑ ῶς profert, vt merclaus, menelcos. populus, populus. templum, templum.

I. n. dictionibus addit, vt nunc, hunc. hic. prius.

ἡμεῖς δὲ νῦν οὗτος τοῦτον πρίν.

Τὰ εἰς ᾱς ὀνόματα, διὰ τοῦ ω ἐπὶ γενικῆς ἐκφέρει. ἀριστᾶς, ἀριστέως. ὁμοίως πολᾶς, πηλέως.

Αἱ συναλοιφαὶ ἀττικῶν εἰσιν ἴδιαι. τῷ μῷ ἀντὶ τοῦ τῷ ἐμῷ. ἔρχομ' ἔχων, ἀντὶ τοῦ ἔρχομαι ἔχων.

Αἱ ἐξαιρέσεις τοῦ ι, ἀττικῶν εἰσιν ἴδιαι, καὶ δωριέων, καὶ αἰολέων. ἕταρον, ἀντὶ τοῦ ἑταῖρον. ἐς χρύσαι, ἀντὶ τοῦ εἰς χρύσαι.

Αἱ παραλήψεις τῶν κλητικῶν ἀντὶ τῶν ὀνομαστικῶν, ἀττικῶν εἰσιν ἴδιαι. νεφεληγερέτα ζεύς. ἀντὶ τοῦ νεφεληγερέτης. ἱππότα νέστωρ, ἀντὶ τοῦ ἱππότης. καὶ ἀρυόπα ζεὺς, ἀντὶ τοῦ ἀρρυόπης. σημειωτέον. αἱ ἀθεῖαι γὰρ ἀντὶ κλητικῶν, καὶ αἱ κλητικαὶ, ἀντὶ ἀθειῶν, τοῦτο δὲ μόνον, ἀθηναῖον τὸ σχῆμα.

Αἱ ἐλλείψεις τῶν μερῶν τοῦ λόγου, ἀττικῶν εἰσι, καὶ δωριέων. καὶ ἰώνων. οἷον κόπτον ἀμφοτέρῃσι, ἐλλείπει τὸ χερσί.

Αἱ παραλήψεις τῶν αἰτιατικῶν πτώσεων ἀντὶ γενικῶν, ἀττικῶν εἰσιν. οἷον μήτε σὺ τόνδ' ἀγαθός περ ἐὼν ἀποαίρεο κούρην ἀντὶ τοῦ τούτου.

Ἀεὶ παθητικοῖς ῥήμασιν ἀντὶ ἐνεργητικῶν χρῆται. οἷον γράφομαι, ἀντὶ τοῦ γράφω. καὶ ποιοῦμαι ἀντὶ τοῦ ποιῶ.

Επὶ τῶν ἀττικῶν ποιείτωσαν, καὶ νοείτωσαν λέγειν, ἀντὶ τοῦ ποιησάτωσαν, καὶ νοησάτωσαν.

Τὰ εἰς ως ἐπιρρήματα τῆς μεσότητος, εἰς ον περατοῖ. ὀνόμασι γὰρ, ἀντὶ ἐπιρρημάτων χρῆται. οἷον δέον πρέπον. ἀντὶ τοῦ δεόντως, καὶ πρεπόντως.

Τὰς εἰς ες ληγούσας αἰτιατικὰς τῶν συγκριτικῶν ὀνομάτων, εἰς ους περατοῖ. οἷον μείζους. χείρους. καλλίους ἀντὶ τοῦ μείζονες, χείρονες. καλλίονες.

Ταῖς συναλοιφαῖς, ἀεὶ κατὰ κρᾶσιν χρῆται. τὸ γὰρ ἱμάτιον, θοἰμάτιον λέγει. καὶ τὸ ἔλαιον τοὔλαιον.

Τὸ ρ ἀντὶ τοῦ ς χρῆται. τὸ γὰρ θάρσος θάρρος λέγει. καὶ τὸ θαρσαλέον θαρραλέον. καὶ τὸ ἄρσεν ἄρρεν.

Γὴ σῦ ἀντὶ τοῦ ε χρῆται. ὡς ὅταν λέγῃ πειίδιμα. πεύγκλεκτος τοῦ ποσ. ἀντὶ τοῦ τὸ ἔνδυμα. τὸ ἔγκλημα. τὸ ἔπος.

Εὐθείαις, ἀντὶ κλητικῶν χρῆται. ὦ φίλος, ἀντὶ τοῦ ὦ φίλε.

nos autem nunc. hic. hunc. prius.

In ὠς nomina per ω in genitiuo effert. aristeus, aristei. peleus, pelei.

Cōtractiones Atticorū sunt ꝓprię. meo, ꝑ meo. venio habens pro venio habens.

Ablationes ĩ atticorū sunt ꝓpriç, & doriēsiū, & æolē siū socium, pro socium. ad chrysam, pro ad chrysam.

Acceptiones vocatiuorum pro nominatiuis atticorū sunt propriæ. nubigrega iuppiter, pro nubigrega. Eques Nestor, pro eques. & latoculus Iuppiter, pro latoculus. notandum. noiatiui. n. pro vocatiuis, & vocatiui, pro noiatiuis. hęc aūt solū atheniensium figura.

Defectus partium orationis atticorū sunt, & doriēsiū, & Ionicorū. vt cædens ambabus deest manibus.

Acceptiones accusatiuorum casuū pro genitiuis atticorum sunt. vt neq; tu hūc, bonus licet sis, aufer puellā, pro ab hoc.

Semper passiuis verbis, pro actiuis vtitur. vt scribor, pro scribo. & fio, pro facio.

Itē atticorū est, fiant, & intelligātur duo dicere, pro faciant, & intelligant.

In ως aduerbia qualitatis in ον terminat. nominibus enim, pro aduerbiis vtitur. vt decens, decens pro decenter, decenter.

In ες desinētes nominatiuos comparatiuorū noium in ους terminat. vt maiores. peiores. pulchriores. ꝓ maiores. peiores. pulchriores.

Cōtractionibus semper frequēter vtit. nā vestis, vestis dicit. & oleum, oliuum.

Σ pro ϱ vtitur. nam audacia, audacia dicit. & audens. & masculum, masculum.

Ου pro œ vtitur. cum dicit vestis. crimen. carmen. pro vestis. crimen. carmen.

Nominatiuis pro vocatiuis vtit. o amicus, ꝓ o amice.

Ὑπερθετικοῖς, ἀντὶ συγκριτικοῖς πολλάκις χρῶνται. ἀντὶ τοῦ εἰπεῖν θηριωδέστερος πάντων, θηριωδέστατος λέγει.

Τὸ η ἀντὶ τοῦ ε κέχρηται. τρέπει γὰρ τὸ ε εἰς η, ὡς ὅταν λέγῃ ἠδυνάμην. ἠβουλόμην.

Ἡ ἀτθὶς διάλεκτος μεταβολὰς εἴληφεν κατὰ καιρούς, ὁμοίως τὸν ἀρχαῖον τύπον ὑπογράφει. τοῖς γὰρ δυϊκοῖς ὁρῶμεν χρωμένους, τούς τε κωμικοὺς ποιητὰς, καὶ ἀττικοὺς συγγραφεῖς λέγοντας τὼ πόδε, καὶ τὼ χεῖρε. καὶ νὴ τὼ θεὼ, καὶ διὸς κούρω. λέγει δὲ καὶ πλάτων ὁ φιλόσοφος ἐν τῷ γοργίᾳ. τὼ γὰρ ξένω τώδε γοργίας τε καὶ πῶλος, σοφὼ μὲν ἀμφοτέρω ἐστὸν καὶ φίλω ἐμώ. καὶ δυοῖν ὀβολοῖν. καὶ δυοῖν χαλκοῖν. καὶ ταῖν θεαῖν.

Ὅσα τῶν εἰς ος ληγόντων ἔχει τὸ α παραλῆγον ταῦτα διὰ τοῦ ω μεγάλου, καὶ τοῦ ε. ἵλαος ἵλεως. καὶ κατὰ τὰς πλαγίους, οὕτως, τῇ ὀρθῇ ἀκολούθως. Μενέλεω, ἀντὶ τοῦ Μενελάου. κατὰ τὴν δοτικὴν ὁμοίως σὺν τῷ ι μενέλεῳ καὶ προσθέσει τοῦ ν, τοῖν μενέλεων. τὴν δὲ αἰτιατικὴν μενέλεων. τὴν δὲ πληθυντικὴν ὀρθὴν ὁμοίως τῇ ἑνικῇ δοτικῇ, μενέλεῳ. τὴν δὲ γενικὴν, τῶν μενέλεων. τὴν δοτικὴν σὺν τῷ ι τοῖς μενέλεῳς. τὴν αἰτιατικὴν, τοὺς μενέλεως. Ἔτι τῆς ἀτθίδος ἀντὶ τοῦ ἀφυῆ, ὑγιῆ. ἀφυᾶ λέγειν καὶ ὑγιᾶ. καὶ ἀντὶ τοῦ ἀθρόα καὶ πειραιέα, ἀθροᾶ καὶ πειραιᾶ. τοῦτο δὲ ἰώθασι ποιεῖν, ἐφ᾽ ὧν ἡ τελευταία συλλαβὴ διὰ μόνου τοῦ α λήγουσα, ἢ τῷ ε, ἢ τῷ α παραλήγει. ὡς ἐπὶ τῶν παρακειμένων. οὐ μὴν ἐφ᾽ ὧν γε μετὰ συμφώνου λήγουσι. ἀμενῆ ἀτυχῆ. οὐ γὰρ ἐροῦσιν ἀμενᾶ καὶ ἀτυχᾶ. οὐ δὲ πάλιν ἐφ᾽ ὧν σύμφωνον ἄρχει, τοῦ ε παραλήγοντος βασιλέα. δρομέα.

Ἐπὶ τῶν τοιούτων ῥημάτων ἐδυνάμην ἐβουλόμην ἔμελλον. τὸ ε εἰς η ἀλλάττουσι λέγοντες ἠδυνάμην ἠβουλόμην ἤμελλον.

Καὶ τῆς ἀνὰ προθέσεως, ἀλλάττουσι τὸ α εἰς η. ἠνεχόμην λέγοντες, ἀντὶ τοῦ ἀνειχόμην.

Ἔτι γε μὴν τῶν εἰς η ληγόντων ῥημάτων ἐπὶ δευτέρου προσώπου παθητικοῦ, διὰ τῆς ει διφθόγγου. βούλει γὰρ, ἀντὶ τοῦ βούλῃ. ὅταν δὲ ᾖ ὑποτακτικὸν, ὁμοίως ἡμῖν λέγουσιν ἐὰν βούλῃ.

Superlatiuis pro cõparatiuis sæpe vtitur, vbi dicẽdũ esset efferior omnibus, efferi ssimus inquit.

ᾳ pro ε vtitur. vertit. n. ε in ᾳ velut cum dicit. poteram volebam.

Attica dialectus mutatiões licet accepit, ꝑ tẽporũ varietate tñ antiq̃ formã refert. nam dualibus videmus vti, & comicos poetas, & atticos scriptores, q̃ dicũt vterq; pes, & vtraq; man⁹, & p vtrũq; deũ. & Io eis vtrũq; filiũ. i. geminos dicit & Pla. phũs in Gorgia vterq;. n. hospes hic, Gorgias'q;, & Polus doctus quidẽ vterq; est, & amicus meus. & duob. obolis, & duob. æteis. & duab. deab.

Quæcũq; in os desinentia habẽt a in penultima, hæc per ω magnum, & ε propitius, propitius. & per obliquos sic vt recto respondeatur. Menelao pro Menelao. In datiuo similiter cum ι Menelao, & additione ν vtriq; Menelao. Actũm autem Menelaum. Pluralẽ aũt rectũ æque atq; singularem, dtnĩ Meneleo. Genitiuum autem Menelaorũ. Datiuum autem cum ι Menelais. Accusatiuum, Menelaos. Item atticæ est, peω, qđ est ingeniosum, sanũ. Ingeniosũ dicere, ac sanũ & pro euboẽsem, & pireensem euboensem, & pireensem. hoc aũt cõsueuere facere in quib. vltima syllaba solum ι desinens, vel ε, vel a penultimæ, vt in propositis. nõ tñ in quib. cũ consonante desinũt, beneuolum, felicẽ. nõ. n. dicẽt beneuolũ, & felicẽ. neq; turãnn ... consonans incipit. e penultimãte. regem. cursorem.

Itẽ in huiusmodi verbis poterã. volebã. futurus erã ι ... mutant dicentes poterã. volebam. futurus eram.

Et ἀνα hoc est sup ꝑpositionis mutãt α in ε. tolerabã dicentes, pro tolerabam.

Item verborũ in ω desinentium in secũda persona Passiui per ει diphthongum. vis. n... pro vis. cum vero fuerit subiũctiuũ, quemadmodũ nos ... fi velis.

Τὰ δὲ εὐκτικὰ, λαμβάνουσιν ἀντὶ ὑποτακτικῶν. ἐὰν ἔλθοις, ἀντὶ τοῦ ἐὰν ἔλθῃς, καὶ ἐὰν ἔλθοι, ἀντὶ τοῦ ἐὰν ἔλθῃ.

Περιεροῦσι δὲ πολλάκις καὶ τὸ ϊ, τὸ κλαίειν λέγοντες κλάειν. καὶ τὸ μῆαν, μίαν. καὶ μητρυιᾶν, μητρυᾶν. καὶ ποιεῖν, ποεῖν, καὶ ποίημα, πόημα.

Καὶ ἀντὶ τῆς πρὸς προθέσεως, τῷ ὡς χρῶνται. ἀντὶ τοῦ, πρὸς τὸν βασιλέα καὶ πρὸς τὸν φίλον, ὡς τὸν βασιλέα. ὡς τὸν φίλον.

Ἴδιον δὲ αὐτῶν ἐστι καὶ τὰς εἰς α λη γούσας ἑνικὰς αἰτιατικὰς ἀρσενικὰς, διὰ τοῦ η προφέρεσθαι. ἀρυθέα, ἀρυθῆ. πηλέα πηλῆ. τυδέα τυδῆ. δίφαν δίφην.

Χρῶνται δὲ καὶ τοῖς παθητικοῖς, ἀντὶ ἐνεργητικῶν. λοιδορούμενος, ἀντὶ τοῦ λοιδορῶν. φαινόμενος ἀντὶ τοῦ φαίνων. φαινακιζόμενος, ἀντὶ τοῦ φαινακίζων. διακονούμενος, ἀντὶ τοῦ διακονῶν. διαβαλλόμενος, ἀντὶ τοῦ διαβάλλων. μισούμενος ἀντὶ τοῦ μισῶν. Ἔσθ᾽ ὅτε δὲ καὶ τὰ ἐνεργητικὰ ἀντιτιθέασιν ἀντὶ παθητικῶν. τὸ πολιτεύειν ἀντὶ τοῦ πολιτεύεσθαι. καὶ γράφειν ἀντὶ τοῦ γράφεσθαι. καὶ τὰ ὅμοια.

Τοὺς δὲ ἀορίστους καὶ μέλλοντας ὁλοκλήρους παθητικοὺς αὐτοὶ μέσους πολλάκις ἐναλλάττοντες. τὸ μισηθήσεται καὶ μισήσεται λέγουσι. καὶ τὸ ζητηθήσεται. ζητήσεται. τμηθήσεται, τμήσεται καὶ τὰ ὅμοια.

Τοὺς δὲ παρὰ τὸ ιζω μέλλοντας, ἀποβάλλοντες τὸ σ περισπῶσιν ὀνειδιῶ λέγουσιν ἀντὶ τοῦ ὀνειδίσω. καὶ ῥαντιῶ, ἀντὶ τοῦ ῥαντίσω. καὶ μυκτηριῶ, ἀντὶ τοῦ μυκτηρίσω.

Φιλοῦσι δὲ, καὶ τὰ πολλὰ, συγκοπήν. τὰς γὰρ κρηπῖδας, κρῆδάς φασι. καὶ τὸν ἀπόλλωνα ἀπόλλω. καὶ ἀμείμονα, ἀμείμω. καὶ κρείττονα κρείττω.

Ἀλλάττουσι δὲ καὶ τοὺς τόνους καὶ τοὺς ἤχους καὶ τοὺς χρόνους. τόνους μὲν ἀντὶ τοῦ πολέων ταξέων. πόλεων λέγουσι καὶ τάξεων. ἤχους δὲ, τὸ σταφίδα καὶ στάχυς ἀσταφίδα λέγουσι καὶ ἄσταχυς. χρόνους δὲ, τὸν βασιλέᾱ τὸ ᾱ ἐκτείνουσι καὶ τὸν ἀτρείᾱ. καὶ ἱμάντα. καὶ ἀνδριάντα.

Λέγουσι δὲ καὶ ἀντὶ τοῦ εἰς ἀθήνας ἀθήναζε παρέσομαι. καὶ τὸ ἐν ἀθήναις. ἀθήνησι σοφιστεύω, καὶ τὸ ἐξ ἀθηνῶν ἐξ ἀγορ

Optatiua aũt accipiunt, pro subiunctiuis. si veneris, pro cum veneris. & cum venerit, pro cum venerit.

Auferunt autem sæpe & flere, dicentes flere. & muscam, muscã. & nouercã, nouercã, & facere, facere, & poema, poema.

Et loco πρὸς. i. ad præpositionis ὡς vtuntur. pro ad regem, & ad amicum, ad regem, & ad amicum.

Proprium aũt ipsorũ est, & in a desinéteis singulareis accusatiuos masculinos per ν proferre, Eurystheum, Eurystheum. Peleum, Peleum. Tydeum, Tydeum.

Etiam iones tertias psonas pluraleis passiuorũ ptõrũ perfectorum sic faciunt in tertiis personis singularibus. habentibus τ tenue vertunt tenuem in suam aspiratã, & faciunt additamẽtum α lotumest, lotasunt. dictum est, dicta sunt, si tamen fuerit commune per, ς, grauitonum, tunc & ionicum habet ante αται formatiuam medii præteriti perfecti, dictum est dicta sunt. Qm̃ dixi. Si tamen à circũ flexis natura longã penultimã habentibus, hanc corripiunt ante αται, in debitam correptionem factum est, facta sunt.

Item constituunt Iones in δου desinentibus patronymicis intensiones peliadæ dicentes, & laertiadæ. debebat enim esse genitiuus laertidæ. Quoniam in δης patronymica vna syllaba superant genitiuum primitiui, vt Pelei Peleidæ priami, priamidæ, sic & laertæ, laertidæ debebat esse patronymicum, sed Iones faciunt intensionem, & sic proferunt, Laertiades dicentes. Peliades, deinde per productiõem atticam Peleiades.

Vtuntur aũt & transpositionib. est aũt trãspositio, cũ vel prima litera propriæ fit syllabæ secunda, vt via via. ex verti enim facta est, & à primitiua particula. & est rectus via. scilicet via. Inde facta est transmutatio literæ, & dicitur via. aut secunda prima, vt cor, cor. fortis, fortis. quartum, quartum. Homerus, Quartus dies fuit, & in eo perfecta sunt omnia.

Sciendũ qđ differt transpositio à superpositiõe, nam trãspositio in eadem syllaba fit. Superpositio vero in

ὑστέρα ὡς τὸ ὀθνεῖος· ἦν γὰρ νόθος νοθεῖος καὶ καθ' ὑπέρθεσιν ὀθνεῖος καὶ πάλιν γόνυ γόνυος καὶ δόρυ δόρυος. καὶ καθ' ὑπέρθεσιν γουνὸς καὶ δουρός. χρῶνται δὲ καὶ τούτῳ τῷ πάθει οἱ Ἴωνες.

Εἰδέναι δὲ χρὴ ὡς ἡ μὲν ἀρχαία Ἰὰς μετέθεσε περὶ τὴν τῶν κατοικούντων περιτροπήν. καὶ διέμεινεν ἕως ἐκείνου τοῦ καιροῦ ἐφ' ᾧ ἐποίησαν οἱ Ἴωνες τὰς ἀποικίας καὶ διεσπάρησαν εἰς τόπους πλείονας. λέγεται δὲ παρ' αὐτοῖς τὸ μὲν ὑγιαίνειν οὔλειν. ὅθεν καὶ τὰ ὑγιῆ τῶν τραυμάτων οὐλὰς λέγομεν. ὁ δὲ λόγος μῦθος καὶ τὸ μαντάεσθαι ἀνελεῖν. καὶ τινὲς τόπους ἐν οἷς ἀνεστρέφοντο ἤθη. καὶ τὸ ἐπιμελῶς ἀνακῶς. ἀντὶ τοῦ ξενίην ἐδωρήσατο ξενίων συνεθήκατο. καὶ τὸ ἀπατητικῶς ἢ ἐπιμελῶς ἐπιστρεφέως καὶ τὸ ἠχούσης, ἐχούσης. καὶ τὸ θυμωθείς. καὶ ταραχθείς. σπερχθείς. καὶ ὁ ἔποικος ἐπέτιος καὶ ὁ δυσφορῶν ἡμεκτέων καὶ ἀντὶ τοῦ ἕτεροι δὲ, μετεξέτεροι λέγουσιν. καὶ ἀντὶ τοῦ ἡσυχάζων, ἠλινύων. λέγουσι δὲ καὶ τοὺς κατὰ δήμους καὶ ἀριθμὸν τῶν τριάκοντα ἀνδρῶν δεῖπνα.

Καὶ τὸν διανοηθέντα ἐννόσαντα. Καὶ τὸ ἀνέπεισεν ἢ ἐδίδαξεν ἀνέγνωσε. Καὶ τὰς βαφὰς, φάρμακα. Καὶ τὰ ἀναλώματα τέλη. Καὶ λαύρας λέγουσι τὰς ῥύμας τὰς ἀμφόδους. Σαγάρεις δὲ τοὺς πελέκεις ἢ τὰ ἐκ χειρὸς ὅπλα. Ἄρδεις τὰς φαρέτρας.

Φάλαρα τὰ περὶ τὰς γνάθους σκεπάσματα. Ψῆνας δὲ τὰ ἐν τοῖς ὀλύνθοις γινόμενα ζωΰφια. Σχοινοτενὲς τὸ μακρὸν καὶ ὀρθόν. Συμψήσας δὲ λαμβάνουσιν ἀντὶ τοῦ συντρίψας. Αἱμασιαὶ δὲ τὸ ἐκ χαλίκων ᾠκοδομημένον καὶ ἄνα πηλοῦ τοιχεῖον. Καὶ

Φάρσος τὸ κλάσμα τὸ τρύφος τὸ ἀκρωτήριον. ταρσοὺς δὲ καλάμων τὴν πεκασιὰν οὗ ἐξήραινον τὴν πλίνθον.

Ἔμβολον δὲ τὸ χάλκωμα τὸ προτιθέμενον κατὰ πρῷραν ταῖς ναυσίν. Ἐναγίζειν δὲ τὸ χοὰς ἐπιφέρειν. ἢ θύειν τοῖς κατοιχομένοις. Πρόχυσιν δὲ τὸ ἀποσπεῖσαι. Ἔπιπλα τὴν μὴ βαθεῖαν κτῆσιν ἀλλ' ἐξ ἐπιπολῆς. Λάκκον δὲ καλοῦσι πάθος τι περὶ ὅλον τὸ σῶμα. κνυζήματα δὲ τὰ γοερὰ

[p]osteriore, vt externus. erat enim nothus externus; & [p]er suppositionẽ externus, & rursus, genu, genu. & hasta, [h]astæ, & p̃ suppositionẽ genu. & hastæ. vtuntur & hac [d]iuisione Iones.

Scire aũt oportet, quod antiqua Ias decidit iuxta [i]nhabitantium mutationem, & p̃mansit vsq; ad illud [t]ẽpus, quo fecerunt Iones colonias, & disseminati sunt [i]n loca plura. Dicitur autem apud eos valere, [v]alere. vnde & sana vulnera cicatrices dicimus. [&] sermo, fabula, & diuinare sortes edere, & loca, [i]n quibus versabantur mores. & diligenter, diligenter. [P]ro amicitiã donauit, amicitiã passus est. & fraudulẽter, [v]el diligenter peruersim. & resonantis, habentis. [&] iratus, & cõturbatus acceleratus. & familiaris liaris. [&] moleste ferens, moleste ferens, & pro alii autem, alii [d]icunt. & pro quiescens, moram trahens. Dicunt & [q]ui s̃m tribus & numerũ triginta virorum, cœnas.

[...]Eũ, q̃ cogitauit, q̃ in aĩo habuit. & p̃suasit, vel docuit, [n]otificauit, & tincturas, medicamenta. & impensas, [tr]ibuta. Angiportus dicunt vicos biuios. [S]ecures autem bipennes, vel ex manu arma, [P]haretras, Pharetras.

Phaleras circum maxillas tegumenta. Psenas, [q]uæ in grossis nascuntur bestiolæ. prolixum lõgum, [&] rectum. Qui confricauit accipiunt, pro qui [c]ontriuit. Maceriæ, qui ex lapidibus ædificatis. & sine cœno paruus paries.

Fragmentum, fragmentũ. frustũ. promontorium. & Tarsos calamorum frondes, vbi siccabant lateres.

Rostrum æs appositum in prora nauibus. parentare inferias inferre, aut sacrificare mortuis. profusionem aũt libationem. mobilia non [t]amen supellectilẽ, sed superficiem. vitiliginem vocant morbũ quendam per totum corpus. gannitus lugubres

ἀποφθέγματα. Γεωπείνας δὲ, τοὺς ἐπὶ γῆς πενῶντας καὶ ἀπορουμένους. Τὸ δὲ ἱκανώσας ἀπώσας ὡς καὶ Ἡρόδοτος ἐν τῇ δευτέρᾳ. Τὸ δὲ μέτριον καὶ καλῶς ἔχον ἐπιεικέστατον. τὸ δὲ ἀποδεχόμενοι κάμπτοντες φασί. κορώνην δὲ λέγουσιν ἐπικαμπές τι ξύλον. ἀμαρέην δὲ τὴν ἀπόπατον.

Τὰ δὲ, ὀπτόμενα πετόμενα. Βάρεις δὲ τὰς ναῦς. Ὄσιριν δὲ καλοῦσι τὸν Διόνυσον.

Τὰς δὲ ἀλύσεις ἀφιδέας. Οἱ δὲ τὰ ψέλλια. τὸ δὲ καθαίρειν πόμα ἐκ ζειῶν καὶ ὕδατος συγμαΐξειν. Λίνον δὲ ᾠδῆς ὄνομα ἢ λύρας χορδήν. φυσάνους δὲ τοὺς ἱεροσούς. ἀποφορὰν δὲ τὴν τελουμένην παρὰ τῶν δούλων τοῖς δεσπόταις. Λύσιν δὲ τὴν πορείαν καὶ ἔφοδον. Συρίεν δὲ παρ' αὐτοῖς ὀνομάζεται λάχανόν τι σελίνῳ ἐοικὸς ἢ βρῶμα διὰ στέατος καὶ μέλιτος. Ενηβητήρια δὲ, τὰ ὀρχηστήρια.

Τριφάσιοι δὲ, παρ' αὐτοῖς λέγονται οἱ τριπλάσιοι τρίφωνοι.

Απεματαΐσε δὲ τὸ ἐμώρανε σημένει παρ' αὐτοῖς. Αποτιμοτέρους δὲ τοὺς ἀτιμοτέρους λέγουσιν. Αφηλικέστερον δὲ τὸ πρεσβύτερον. Τὸν δὲ φανερὸν, ἐπαΐσον. Φρενήρη δὲ τὸν σώφρονα. λαμβάνουσι δὲ τοῦτο καὶ ἐπὶ τοῦ ἐναντίου.

Καταπροΐξεσθαι δὲ λέγουσι τὸ προῖκα ποιῆσαι. καὶ τὸν καταφανῆ ἐπίλαμπον. Λάξιν δὲ τὸν μερισμὸν ἢ τὸν κλῆρον. τὸν καταπεπονημένον τετρυγημένον λέγουσι. Τὸ πολεμεῖν ῥυπάζειν λέγουσι. τὰ αἰδοῖα μέζεα. Ἡσίοδος ὀρχὰς δ' ὑπὸ μέζε' ἔθεντο. Τὸ καταπαιχθεὶς καὶ γελασθεὶς διαβεβλημένος λέγουσιν. Ἡρόδοτος ὦ βασιλεῦ διαβεβλημένος ὑπὸ ἀμάσιος οὐ μανθάνεις. Τὸ καλλωπίσας ἀσκήσας λέγουσιν, ὡς ἑαυ... ὃς ἐμέσοι κόσμῳ ἀσκήσας ἀπέπεμψε τοῦ θυγατέρα.

Ενάριες οἱ ὁπλῖται ὀνομάζονται παρ' αὐτοῖς. Διασφάγες δὲ, αἱ διεστῶσαι πέτραι. γνωσιμαχεῖν δὲ τὸ γνῶναι τὴν ἑαυτοῦ ἀσθένειαν. τήν τε τῶν ἐναντίων ἰσχύν. Σισύρα δὲ βαρβαρικὸς χιτών. Ὑβρίζειν τὸ σκιρτᾶν. Σινύπη δὲ τὸ τῶν εὐπαρέων προβάτων ἔριον. καὶ τὸ διαχώρημα τοῦ προβάτου. Νεοχμῶσαι δὲ τὸ νεωστὶ κινῆσαί τι. Φερέγγυος ὁ βεβαιωτής.

voces. Terrifamelicos, qui in terra esuriunt, ac egent. qui satisfecit, qui expulit. vt Herodotus in secunda, modicum, & bene habeas æquissimum. admittentes autem flectentes aiunt. clauam dñt inflexum quoddam lignum. Eumaream latrinam assa digesta. bares, naueis. Osirim vocant liberum patrem.

Cathenas torques, aliqui vero armillas. purgare autẽ potionem ex Zea frumento, & aqua purgare. linum cantilenæ nomen, vel lyræ cordam. fimbrias autem fimbrias. apophoram autem quam faciunt serui dominis. lysim incessum, & accessum. Syrnea apud eos dicitur holus quoddam apio simile, vel cibus ex adipe, & melle. Enebeteria iuuenilia epularia.

Triphidi apud eos dicuntur triplasii. triuoces.

Vanefactus est, infatuatus est significat apud eos. dehonestatos autem inhonoratos dicunt. ætate prouectiorem vero seniorem. manifestum autem audibibem. mẽtis cõpotẽ prudẽtẽ. accipiũt aũt hoc & incõtrario.

Dedotari dicunt impune, seu gratis facere, & manifestum illustrem sortitionem, partitionem, vel sortem, labore confectum vindemiatum dicunt. bellare ire obuiam dicunt. pudibunda verẽda. Hesiodus, caudas autem sub pudibunda ponebant. lusus, vel derisus calumniatus dicunt. Herodotus, o rex calumniatus ab Amasi non animaduertis. exornans excolens inquiunt. qui me tibi ornamento excultam dimisit, tanquam suam filiam.

Spoliatim milites armati nominantur interiugulationes discissa saxa. menti pugnare, cognoscere suam imbecillitatem, & inimicorum robur. Sisyra, barbarica vestis. contumelia afficere, insultare. Sinype sordidarũ ouium lana, vel excrementum ouis. innouare recens mouere aliquid. sponsor confirmator.

Ἔφεδρος ὁ ἐπίκληρος. Ἐγκατάειν, τὸ διώκειν.
Τετραπτελυρίδες λέγονται παρὰ Ἴωσιν αἱ ἀκρίδες παρὰ τὸ τέσσα-
ρα ἔχειν πτερά. δύο μὲν ἔξω, μείζω. ἐλάσσω δὲ ἔντοσθεν ἕτερα δύο.
Τὸ οὐκ ἱκνεομένως ἀντὶ τοῦ προσηκόντως οὐ καθηκόντως
παρ' αὐτοῖς λαμβάνεται. τὸ ἀπουπλίξατο ἀντὶ τοῦ ἀπέφυγε.
πλὶξ γὰρ τὸ βῆμα ἐξ οὗ πλίγματα τὰ πηδήματα.
ἔνθα καὶ τὸ περιβάδην ἀμφιπλὶξ, παρὰ σοφοκλεῖ ἐν
τριπτολέμῳ. καὶ ὅμηρος αἱ δ' αὖ μὲν τρέχον. αἱ δ'
ἐπλήσσοντο πόδεσσιν. καὶ τὸ ψῶσαι ἀντὶ τοῦ θάλπουσαι.
ἔστι δὲ παρ' αὐτοῖς καὶ τὸ ψῶ ἀγροικικὸν προσφώνημα. κόλλιξ
δέ ἐστιν εἶδος ἄρτου περιφεροῦς. ἐξ οὗ καὶ τὰ παρ' ἡμῖν
κολλίκια. χοίνων δὲ συμβολεῖς οἱ ψιαθοπλόκοι καὶ
ἰθαγενεῖς οἱ γνήσιοι παῖδες. Πρόξενοι δὲ οἱ προστάται
τῶν πόλεων καὶ οἱ φροντισταὶ καὶ ξενίας ὑποδεχόμενοι.
Σπαργᾷ δὲ τὸ ὀρέγεται, καὶ ἐπιθυμεῖ. Κορδίνημα δὲ τὸ
καρηβαρεῖν παρ' αὐτοῖς. γράφεται δὲ καὶ σκορδίνημα.
ὄξις δὲ ἡ ἀθυωρία. Ῥοικὸν δὲ εἴσω νεῦον καὶ στραβόν.
ὃ καὶ ῥοιβὸν λέγεται. Σαπρὸν δὲ τὸ σεσηπός.
Τὸ δὲ ἐπιπάσω παλλύνω φασί. Τὰ δὲ πρόσφατα ποταίνια.
Βλακὸν δὲ τὸ τρυφερόν. τοὺς δὲ φρυγανώδεις ἄνθρακας μαρι-
ληνούς. μάλη δὲ ἡ θέρμη. Ἡ σποδιὰ δὲ μαρίλη λέγεται. μελεδω-
θέων δὲ ἀντὶ τοῦ μεριμνῶν θεραπειῶν. Μελαιδαίνειν γὰρ λέγεται
τὸ μεριμνᾶν. Μισύλλην τὸν κοῖλον ἄρτον λέγουσι. καὶ τὸ μυδᾶσα
ἐκκρέουσα. Καὶ τὸν δημόσιον ἐπιδήμιον. Καὶ τὸ ἐκθλίβειν
βλιμάζειν. Καὶ τὸ ἐστέναξεν ἔμυξε. Καὶ τὰ τὴν κάτω κοιλίαν
καθαίροντα φάρμακα ἐλατήρια. Τὸ ἀνέδησεν ἀνεκρίκωσε.
Τὸ εἰς δύο διαιρεθῆναι ἐδικαιώθη φασί. Καὶ ἡ ἀθυώτης
ἀθυωρία. καὶ τὸ ἐτυλώθη ἐμυλώθη. τὸ ἐγχρίπτει ἐμπηδᾷ.
Τὸ ἐκτόπως καὶ παραδόξως ἐκτοπίως.
τὸ ἀφορώτερον ἐπισοχώτερον. τὸν μύλωνα ζάπηνοι.
τὸ ὁμηιωμένον δελφυωμένον φασί. ὡς καὶ τὸν πυρετὸν θερμαλήν.
καὶ θαλάμους τὰς καταδύσεις καὶ θείασιν τὸ κατὰ ψυχὴν
ἐξίστασθαι ἢ τὸ μαίνεσθαι.

Περὶ αἰολίδος.

Οἱ δὲ αἰολεῖς τὸ β̄ τῷ ε̄ προσνέμουσιν ὅταν τῷ ρ̄ ἐπιφέρηται τοῦ ἐρ ἢ κ̄ ἢ τ̄ ἢ δ̄. βρευτὴρ ἀντὶ τοῦ ῥευτήρ. βράκος ἀντὶ

subsessor secundus hęres intestinare est persequi. quadri penulę dicunt apd ionas, locustæ eo, qd quatuor hẽant pẽnas, duas extra maiores, minores ãt int⁹ alteras duas. Non sufficienter, pro conuenienter. non officiose apud eos accipitur. exiliuit, pro aufugit. gradus. n. gradus, ex quo saltus, saltus. vnde ex vtrinq; inuadere vtrinq; inuadere. apud Sophoclem in Triptolemo, & Homerus. quæ bene cucurrerunt, bene euaserunt pedibus. & fricantem, fouentem. est autem apud eos, & pso rustica allocutio. Collix autem est species panis rotundi, ex quo & quæ apd nos crustula iuncorum complicatores, storearum nexores, & indigenæ legitimi filii tutores hospitium, antistites ciuitatũ, & curatores, & hospitii susceptores. turget ãt desyderat, & cõcupiscit. distorquere corp⁹, prę lassitudine ẽ grauari caput apd eos. scribit ãt ea dictio ẽt ppositio. Sitio aũt recta linea. curuũ itro nutãs, & tortũ, qd etiam per β scribitur. marcidũ aũt, qd marcuit. inspergo autem madefacio dicunt. recentia, recentia segne, delicatum. aridorũ fruticũ carbones, marinelos; male nanq; calor. cinis autem marile dicitur. solicitus de cura, solicitus de cura. medens. solicitũ. n. esse dicit curare. panem cõcauum, panem cõcauũ dicũt & sanie madens effluens, & publicum, popularem & elidere manibus mulgere. & ingemuit, mussauit, & imũ ventrẽ purgãtes medicinas elateria agitatoria alligauit, ifibulauit. in duo diuisumesse disiectũest dicunt. & rectitudo; rectalineatio. occaluit, tanq̃ olla diriguit. appropinquat, insilit. enormiter, & præter opinionem enormiter, fertilius, quod meliore successu est molendinũ pistrinũ assimulãtum, matricatũ dicunt, vt & febrem feruorem & thalamos lustra, & furere animo excedere, vel insanire.

De æolica lingua.

Aeoles τὸ β. τῷ ρ attribuunt, cum τῷ ρ infertur κ vel τ, vel δ. habena, pro habena. vestis lacera, stis ra.

βρόδον ἀντὶ τοῦ ῥόδον. τὰς ἀπὸ τῶν εἰς αι εὐθειῶν γενικὰς διαιροῦσιν οἱ αἰολεῖς καὶ διὰ τοῦ άων προφέρουσιν. νύμφαι, νυμφάων. παρθενικαὶ, παρθενικάων. αἱ κατὰ τὸ μέσον συγκοπαὶ τῶν αἰολέων εἰσίν. οἷον ὦρσεν ἀντὶ τοῦ ὤρμησεν. ὦλλος ὁ ἄλλος τοὔλλο τὸ ἄλλο.

Τὸ πσῖον κσῖον λέγουσι. Τεθνκὼς καὶ τεθνηῶτα ἀντὶ τοῦ τεθνηκώς. Αἱ προσθέσεις τῆς θα συλλαβῆς τῶν αἰολέων εἰσίν. οἷον ἔπηθα. Τὰ εἰς αις μονοσύλλαβα ὀνόματα διαιροῦσι, παῖς πάϊς δαῖς, δάϊς. Τῷ ω στοιχείῳ ἀντὶ τοῦ ου χρῶνται μῶσαι, μοῦσαι λείπωσα, λείπουσα. Τῷ υ ἀντὶ τοῦ ο χρῶνται. τὸ ὄνομα, ὄνυμα. καὶ τὸ ὅμοιον, ὕμοιον λέγοντες. ἐνίοτε δὲ καὶ ἀντὶ τοῦ ε πρὸς σὲ πρὲς σέ. καὶ ἀντὶ τοῦ ω μεγάλου. ὦατα, ὤατα.

Τῷ η ἀντὶ τῆς ει διφθόγγου χρῶνται. ἐλθῆν γὰρ λέγουσι καὶ λαβῆν διὰ τοῦ η ἀντὶ τοῦ ἐλθεῖν καὶ λαβεῖν. Ὅσα διὰ τῆς ει διφθόγγου παρ᾽ ἡμῖν λέγεται διὰ μόνου τοῦ ε προφέρουσι. πολυπλασιάζοντες τὰ ἀμετάβολα. ἱμείρων, ἱμέρρων. ἀτειλὰς, ἀτελλάς. εἵματα ἕμματα. ὑμεῖς ὔμμες. διπλασιάζουσι δὲ καὶ τὸ σ καὶ τὸ π καὶ τὸ τ. τοσοῦτον. ὅπωη, ὅππως, ὅττι. τὴν ὀσμὴν ὀδμὴν λέγουσιν. Τὸ ἱερόν. ἱρόν. τὰς γενικὰς εἰς εὐθείας μετάγοντες ὁ μάρτυρος κλίνουσι τοῦ μαρτύρου. καὶ ὁ φύλακος τοῦ φυλάκου. Τῷ π ἀντὶ τοῦ μ χρῶνται ὄππατα ἀντὶ τοῦ ὄμματα λέγοντες. καὶ πετ᾽ ἐμοῦ. ἀντὶ τοῦ μετ᾽ ἐμοῦ. Τὰς κλητικὰς τῶν εἰς ων ληγόντων ἑνικῶν συστέλλουσιν. χελιδὼν, χελιδόν. ἀηδὼν, ἀηδόν. σαρπηδὼν, σαρπηδόν.

Τῶν αι διφθόγγων τὸ ι ἐκβάλλουσιν ὅταν αὐταῖς μὴ σύμφωνον ἐπιφέρηται. οἷον ἀλκαῖος ἀλκάος. καὶ ἀρχαῖος ἀρχάος.

Τὸ εἶμα γραφόμενον διὰ τῆς ει διφθόγγου ἔμμα λέγουσι. καὶ τὴν ὀδύνην, ἐδύνην. καὶ τοὺς ὀδόντας, ἐδόντας. Τὸ μίλητος διὰ τοῦ η γραφόμενον διὰ τοῦ α ἐκφέρουσι μίλατος λέγοντες. πλανηθέντες δὲ κατά τινα προφορὰν λέγουσι ζυγὸν, σδυγόν. καὶ τὸ ξίφος, σκίφος. καὶ τὸ ψέλλιον, σπέλλιον. καὶ τὴν ψαλίδα, σπαλίδα.

Τὸ θόας, θόαις λέγουσι. καὶ τὸ μέλας, μέλαις. καὶ τὸ τάλας τάλαις. τὸ δὲ αἴας, αἴαις. οὐ λέγουσι διὰ τὴν ὁ παράλληλον

rosa, pro rosa. genitiuos à rectis in αι diuidunt æoles, & per αων proferunt nymphæ, nympharum. virgineæ virginearum. In medio concisiones æolensium sunt, vt concitauit pro impetum fecit. alius, alius. aliud, aliud.

Quale, quale dicūt. mortuus est, mortua, pro mortu⁹ Additiones ιχ syllabæ æolensium sunt, vt dicas. In ους vnius syllabæ nomina diuidunt. puer, puera conuiuium, uium. ω litera pro ου vtuntur musę, musę. relinquens, relinquens. υ pro ο vtuntur. nomen nomen. & simile, simile. dicentes. interdum autem & pro ε, ad te, ad te & pro ω magno. ossa, ossa.

H pro ει diphthongo vtuntur. venisse. n. aiunt, & accepisse per η pro venire, & accipere. Quæcūq; p ει diphthongum apud nos dicuntur, p solum ε proferunt multiplicantes immutabiles. desyderans, desyderans. vulnera, ra. vestes, es. vos, vos. geminant & σ, & π. & τ. tantum. vbi. vt. odorem, odorem dicunt. sacrum, sacrum. genitiuos in nominatiuos transferentes, testis dicunt, testis. & custos, custodis. π pro μ vtuntur oculi, pro oculi dicentes. & mecum, pro mecum. vocatiuos in αν desinentium singularium corripiunt. hirundo, hirundo. luscinia, luscinia. Sarpedon, Sarpedon.

Ex αι diphthongis ι abiiciunt, cum eas non consonans sequit, vt Alcæus, Alcæus. & antiquus antiquus.

Indumentū scriptū p ει diphthongū indumētū dīt, & dolorem, dolorem. & dentes, dentes. Miletus per η scriptum, per α proferunt, milatus dicentes. errantes aūt per quādā pronūtiationē dicūt iugum, gum. & ensem, sem. & armillam, armillam. & forficem, forficem.

Thoas, thoas dicunt, & niger. niger. & miser miser. Aiax autem aiax non dicunt propter concursum

τῶν φωνηέντων καὶ τῆς αι διφθόγγου. διότι ἔμελλε κακόφωνος εἶναι. καὶ διὰ τοῦτο ἐν τοῖς εἰς ας τοῖς ἔχουσι τὸ α μακρὸν προστιθέασι τὸ ι. ὡς ἐν τῷ θόας καὶ τοῖς λοιποῖς. καὶ ἔστιν εἰπεῖν ὅτι πάσῃ χαίρουσιν. ἅμα δὲ καὶ ταῖς τῶν βραχυτέρων συλλαβαῖς. τὸ πηλαὶς, παλαὶς λέγουσι. καὶ τὸ φθείρω, φθέρρω. ἡ γὰρ θέσει μακρὰ ἐλάττων ἐστὶ τῆς φύσει μακρᾶς. ἐπεὶ καὶ τὸ α τὸ φύσει μακρὸν μεῖζόν ἐστι τῆς αι διφθόγγου τῆς ἐχούσης τὸ ι ἐκφωνούμενον. ὁ γὰρ ποιῶν ἔργον δύο στρατιωτῶν ἰσχυρότερός ἐστιν ἐκείνων. Οἱ αὐτοὶ πολλάκις εἰς α ποιοῦσι τὰς εὐθείας. ἀρχύτα γὰρ λέγουσιν ἀντὶ τοῦ ἀρχύτης. ὁ ὑβραγόρα ἀντὶ τοῦ ὁ ὑβραγόρας. γέρων ἱππηλάτα πηλαὶς ἀντὶ τοῦ ὁ ἱππηλάτης παρ' ὁμήρῳ μὲν ἱππότα νέστωρ.

Τὰ εὐκτικὰ τοῦ πρώτου ἀορίστου ἐνεργητικοῦ διὰ τοῦ εια προφέρουσιν. οἷον τύψαιμι, τύψεια. ποιήσαιμι, ποιήσεια. καὶ τῷ μὲν πρώτῳ προσώπῳ οὗτοι μόνοι κέχρηνται. τῷ δὲ δευτέρῳ καὶ τρίτῳ οἱ ἀθηναῖοι. οἷον τύψειας, τύψειε. τύψειαν τὸ τρίτον τῶν πληθυντικῶν. Τούτων εἰσὶ καὶ αἱ διαιρέσεις γὰρ τοῦ ἀργεῖοι ἀργέϊ λέγουσιν. καὶ αἱ συναιρέσεις τῶν αὐτῶν, βασιλέϊ, βασιλεῖ. Οὗτοι τρέπουσι τὴν ει δίφθογγον εἰς οι δίφθογγον. ὡς ὄνειρος, ὄνοιρος. Τῆς δυϊκῆς ἀριθμοῖς οὗτοι κέχρηνται οὐδαμῶς, καθὰ δὴ καὶ οἱ ῥωμαῖοι τούτων ὄντες ἄποικοι.

Οὗτοι ταῖς εἰς ω ληγούσαις δοτικαῖς οὐ προσγράφουσι τὸ ι. ὡς τῷ ὁμήρω καὶ τῷ σοφῶ. Ἄρειος τὸ ος διὰ τοῦ ο μικροῦ κλίνουσιν.

Αἱ ἐξαιρέσεις τοῦ ι οὐ μόνον αἰολέων ἐστὶν, ἀλλὰ καὶ ἀττικῶν καὶ δωριέων. ἀντὶ γὰρ ἑταίρων ἑτάρων λέγουσιν. Οὗτοι πάντα τὰ σύμφωνα διπλασιάζουσιν ἐπὶ τῶν βραχέων ὡς τὸ ἔννεπε καὶ τὸ ἔννη καὶ τὰ ὅμοια. Τὸ τρωσὶ καὶ γυναιξὶ κοινὸν, οὗτοι τρώεσσι καὶ γυναίκεσσι γράφουσι. καὶ τὰ παραπλήσια τούτοις.

Τὰς εἰς ου ληγούσας γενικὰς διὰ τοῦ αι ἐκφέρουσιν. αἰακίδαο γὰρ ἰωνικῶς καὶ αἰακίδεω ἀττικῶς. αἰακίδαι δὲ οἱ αἰολεῖς γράφουσιν. τὸ ἀνεκφώνητον ι ἐκφωνεῖν εἰώθασιν ἐπὶ δευτέρου καὶ τρίτου προσώπου. οἷον βοᾷς, βοάϊς. γελᾷ, γελάϊ. ἀντὶ δὲ τοῦ ξ, κσ προφέρουσι ξένος, κσένος. καὶ ἀντὶ τοῦ ψ, πσ. πέλοψ, πέλοπς. ἀντὶ δὲ τοῦ η, τὸ ε ἢ τὸ α κοινῶς τοῖς δωριεῦσι.

vocalium. & αι diphthongi, quoniam male: sonabat. Et quare in ας habentibus a longum addunt ι, vt in Thoas, & reliquis. & est dicēdū, qđ productione gaudeant simul, & breuiorum syllabis, Peleus, paleus dicunt, & corrumpo, corrumpo. nā positione longa minor est natura lōga. qm̄ & α natura longum maius est αι diphthongo habēte ι, qđ pronuntiatur. nā faciēs operam duorum militum, fortior est illis. Iidem sæpe in α faciunt rectos. Archyta enim dicunt, pro Archytes. hybragora pro hybragoras. senex equum agitator Peleus, pro eques, apud Homerū quidem eques Nestor.

Optatiua primi Indefiniti actiui per εια proferunt, vt verberem, verberem. faciam, faciam. & prima persona hi soli vtuntur. secunda. & tertia Athenienses, vt verberes verberet. verberēt tertia pluralis, Horum sunt & diuisiones. nam pro argiui, argiui dicunt. & contractiones eorundem. regi, regi. hi vertunt ει diphthongum, in οι diphthongum. vt somnium, um. Dualibus numeris hi vtuntur minime, quemadmodū & romani, qui ex his sunt deducti.

Hi in ω desinentibus datiuis non adscribunt ι, vt Homero. & sapienti. Martis ος per o paruum flectunt. Extractiones ι nō solū æolensiū sunt, sed & atticorū, & doriensium. nam pro sociis, sociis dicunt. hi omneis consonantes geminant in breuibus. vt dic, & vetus, & huiusmodi. Troianis, & mulierib. cõe. hi troianis, & mulieribus scribunt, & his similia.

In ου desinentes genitiuos per α proferūt. ęacidę. n. Ionice, & æacidæ attice. æacide aūt æolenses scribunt. qđ non pronuntiatur ι pronūtiare cōsueuerūt in scđa, & tertia persona. vt clamas, clamas. ridet, ridet. pro ξ κσ proferunt. hospes, hospes. & pro ψ πσ, pelops, Pelops. pro η ι, vel α, quod cõe est etiā doriensib.

Καὶ τὸ μὲν η εἰς ε τρέπουσιν ὡς τὸ ἄρης, ἄρες. Τὰ δὲ η εἰς α ὡς τὸ ἑκάβην, ἑκάβαν. πύλην, πύλαν. νόημα. νόαμα. ἠώς, αὥς. ἀπάτην, ἀπάταν. ἀδικῆσαι, ἀδικέσαι. Ἀντὶ δὲ τοῦ θ τὸ φ. θλάται, φλάται. Ἀντὶ δὲ τῶν δύο ττ δύο σσ. ἐμπίπτειν. ἐμπίασειν. Ἀντὶ δὲ τοῦ σ τὸ τ. σύ, τύ. εἰς σέ, εἰς τέ. Ἀντὶ δὲ τοῦ τ τὸ π. στολήν, σπολήν. σταλείς, σπαλείς.

Ἀντὶ δὲ τοῦ ω μεγάλου τὸ ο μικρόν. ὥρα, ὅρα. ὠτειλή, ὀτειλή. συγκόπτουσι δὲ καὶ τὰ σύνθετα τῶν ὀνομάτων διπλασιάζοντες τὰ ἄφωνα ὡς τὸ κάππεσεν ἀντὶ τοῦ κατέπεσεν. καὶ καδδὲ ἀντὶ τοῦ κατὰ δέ, καὶ κάββαλεν ἀντὶ τοῦ κατέβαλεν.

Βαρυτονοῦσι δὲ οὐ μόνον τὰ ὀνόματα, ἀλλὰ καὶ τὰ ἄρθρα. ὅταν ὀνομάτων τάξιν ἐπέχωσιν ὁ σός, ὅσος. ἡ σή. ἥση. τὸ σόν, τέσον.

Ὡσαύτως δὲ καὶ τὰ δισύλλαβα ὀξυτόνως παρ' ἡμῖν λεγόμενα αὐτοὶ βαρυτονοῦσι σόφος. κάλος. ὄξυς. βράδυς. βάρυς. λάκος. βῶμος, θύμος. τράχυς. σκλῆρος. χῶλος. καὶ τὰ ὅμοια.

Τὴν δὲ εἰς ε κλητικὴν τῶν εἰς ης ὀνομάτων δίχα τοῦ ς προφέρουσι. Σώκρατες, Σώκρατε. Ἀριστόφανες, Ἀριστόφανε. Δημόσθενες, Δημόσθενε. καὶ τῶν γενικῶν δὲ πτώσεων τὸ ς ἀφαιροῦσι. Σωκράτου. Διομήδου. Σοφοκλέου λέγοντες. Ἀντὶ αἰτιατικῆς τὴν δοτικὴν παραλαμβάνουσιν ἐν τοῖς πληθυντικοῖς τοῖς ἀνθρώποις ἀντὶ τοῦ τοὺς ἀνθρώπους. τοῦτο δὲ ποιοῦσι διὰ τὸ χρῆσθαι αὐτοὺς τὸ ι ἀντὶ τοῦ υ. Τὴν δὲ αἰτιατικὴν τῶν πληθυντικῶν προφέρουσι τὸ ως ἀντὶ τοῦ ους λαμβάνοντες. τὼς ἀνθρώπως. τὼς ἵππως. Τὰ ἀπαρέμφατα ῥήματα τὰ εἰς ειν καταλήγοντα, αὐτοὶ διὰ τοῦ ην ἐκφέρουσι βαρυτονοῦντες, φιλεῖν, φίλην. καλεῖν, κάλην. φρονεῖν, φρόνην.

Τὰ δὲ παρ' ἡμῖν λήγοντα εἰς αν, αὐτοὶ εἰς αις μεταβάλλουσι. γελᾶν, γελαῖς. πεινᾶν, πειναῖς. Τὰ δὲ εἰς ουν καταλήγοντα ἀπαρέμφατα αὐτοὶ διὰ τοῦ οις ἐκφέρουσιν. ὑψοῦν, ὕψοις. ὀρθοῦν, ὄρθοις. χρυσοῦν, χρύσοις. Τὰ δὲ εἰς ω καταλήγοντα ῥήματα παρ' ἡμῖν, εἰς μι ποιοῦσιν. οἷον νοῶ, νόημι. φιλῶ, φίλημι. Ὅσαι δὲ μετοχαὶ ὀξύτονοι εἰς ως καταλήγουσι, διὰ τοῦ ν παρ' ἐκείνοις ἐκφέρονται. καὶ βαρυτονοῦνται. εἰρηκώς, εἰρήκων. νενοηκώς. νενοήκων. φυλάττουσι δὲ καὶ τὰς ἀπὸ τούτων κλίσεις ἀναλόγως τῇ καταλήξει.

Et υ tum in ε vertunt, vt Mars, Mars. tum in α, vt Hecubam, hecubam portam, portam. cogitationem. ...orá. deceptionem. iniuria afficere. pro ϑ. φ. cōtūndit, ...ntunditur. Pro duobus. πϖ duo ϖ Incidere. ...cidere. Pro σ τ, tu in te. ...o τ. π. stolam, stolam missus missus, Pro ω magno o paruum hora. cicatrix, cicatrix. Concidunt & composita nomina, geminantes ...utas, vt decidit pro decidit. & secundum autem, ...ro secundum autem. & deiecit, pro deiecit.

Penultima acuta dīt nō solū noia, sed & articulos, si ...minū ordinē habeant. tuus. tua, tua. tuum, tuum.

Eodem aūt modo & disyllaba, quæ apud nos acuūt ...timam, ipsi grauitonant, sapiens. pulcher. ...utus. tardus. grauis. albus ara. animus. asper. durus. claudus, & similia.

In ες vocatiuum nominum in ης absq; σ proferūt. ...crates, Socrate. Aristophanes Aristophane. Demosthenes, Demosthene, & à genitiuis casib' σ aufe... ...t Socratis, Diomedis. Sophoclis dicētes. p accusatiuo ...atiuum accipiunt in pluralibus. ...ominibus, pro homines. hoc faciunt ...ua vtuntur ι pro υ. Accusatiuum ...uralem proferunt ως pro οις accipientes, ...mines, eques. Infinita verba ... ειν desinentia, ipsi efferunt penul... ...am acuentes, amare. vocare. sapere.

Quæ apud nos desinunt in αν, ipsi in ωις transferūt, ...dere. ridere esurire esurire. In ουν finientia ...finita, ipsi per οις efferunt. ...ltare. corrigere. inaurare. In ω terminantia verba apud nos in μι faciunt, vt intelligo ...mo. Quęcunq; participia, quæ vltimam acuunt, in ως ...minant, per υ apud illos efferuntur, & acuunt pe... ...timam, fatus qui intellexit. seruant autem & horum declinationes proportionabiliter desinentiæ

λέγεται δὲ παρ' αὐτοῖς ὁ ἔρως, ἔρος καὶ ὁ γέλως, γέλος. καὶ κλίνουσιν αὐτὰ ὁμοίως τοῖς εἰς ος λήγουσι κυρίοις ὀνόμασι. Τὸ ἐγὼ περισπῶσιν ἐγῶν λέγοντες. καὶ ἐμῶ. ἐμῶν. Τὸ σὺ τύ, ὁμοίως τοῖς δωριεῦσι λέγουσι. καὶ τὸ ἡμῖν, ἄμμιν. ἡμεῖς, ἄμμες. Τὸ ἐνθάδε τῇδε. τὸ ἄλλοσε, ἑτέρωσε. Τὰ χείρονα, χέρρονα. Τὸ ἐπαινῶ, αἴνημι.

Τὰ ἱμάτια, ἔμματα. Η μία ἴα. Η ψῆφος, ψάφαξ.

Τὸ ἐπιορκεῖται, ἰσόρκηται. Οὗτοι μέσον δύο φωνηέντων τιθέασι τὸ ὗ. ἀὴρ γὰρ αὐὴρ λέγουσι. Καὶ ἕως αὔως. Ὅτε δὲ σύμφωνόν ἐστι μεταξὺ οὐκ ἔτι. Καὶ ταῦτα μὲν περὶ τῶν διαλέκτων λέλεκταί μοι κατὰ τὸ δυνατόν. ἴσως δὲ καὶ ἑτέρας τις σκοπῶν ἀκριβῶς εὑρήσει διαφέροντα ταύταις.

ΤΕΛΟΣ.

ΠΛΟΥΤΑΡΧΟΥ ΠΕΡΙ ΤΩΝ ΠΑΡΑ ΟΜΗΡΩ, ΔΙΑΛΕΚΤΩΝ. ΔΩΡΙΣ.

Ἐξει ποικίλῃ κεχρημένος ὅμηρος, τοὺς ἀπὸ πάσης διαλέ-
λ κτου τῶν ἑλλήνων χαρακτῆρας ἐγκατέμιξεν. ἐξ ὧν δῆλος ἐστιν ἐπελθὼν πᾶσαν μὲν ἑλλάδα καὶ πᾶν ἔθνος καὶ δωριέων μὲν τῇ συνηθείᾳ τῆς βραχυλογίας ἐλλείψει κέχρηται, τὸ δῶμα λέγων δῶ. αὐτὰρ δέ οἱ δῶ ἀφνειὸν πέλεται. καὶ τὸ ὅπη, ᾗ. ὅ μοι αἰετὸς ἔκτανε χῆνας. καὶ τὸ ὀπίσω, ἄψ μεταβαλὼν μὲν τὸ ο, εἰς τὸ α τὸ δὲ π, καὶ τὸ σ, εἰς τὸ συγγενὲς αὐτοῖς, φημὶ τὸ ψ. καὶ τὸ ἄλλοτε, ἄλλο. ἤδη γάρ με καὶ ἄλλο τεὴ ἐπίνυσσεν ἐφετμὴ. καὶ τὰ τοιαῦτα. Ὁμοίως δὲ καὶ τὰ μέσα συντέμνων λέγει τοὺς ὁμοπατρίους, ὁμότριχας καὶ ὁμοετεῖς. ὄτριχας καὶ οἰετέας. καὶ τὸν ὁμοπάτριον ὀπάτριον. καὶ τὸ τρέμειν, τρεῖν. καὶ τὸ τιμῶ, τίω. τῶν αὐτῶν δέ ἐστι καὶ τὸ ὑπερβιβάζειν τὰ στοιχεῖα, ὥσπερ ἐν τῷ κάρτιστοι, ἀντὶ τοῦ κράτιστοι. ΑΙΟΛΙΣ. Αἰολέων δὲ χρῆται ἐν τοῖς συνθέτοις τῇ συγκοπῇ. καὶ δ' ἀρθέτην λέγων, ἀντὶ τοῦ καταρθέτην. καὶ ὑββάλλειν ἀντὶ τοῦ ὑποβάλλειν. καὶ ἐπὶ τοῦ παρατατικοῦ χρόνου τὰ τρίτα πρόσωπα λήγοντα παρὰ τοῖς ἄλλοις εἰς τὴν ει δίφθογγον, διὰ τοῦ η, παρὰ τοῖς αἰολεῦσιν ἐκφέρεται

dicitur apud eos amor, risus. & flectunt ea, quemadmodum quæ in ος desinunt propria nomina. Ego circunflectunt, ego dicentes, & mei duo Tu, tu, sicut, Dores dicunt. & nobis, nobis. nos, nos. hic, hic. alio', alio'. peiora, peiora . laudo, laudo.

Vestes, vestes. vna, vna. suffragium, suffragium. Stratum est, stratum est. hi in medio duarum vocaliū ponunt υ. aer. n. aer dicunt. aurora, aurora, cum vero consonans est media, non etiam. Et hæc de Dialectis dicta sunt mihi pro viribus. forte & alia qui ipsā indagans accurate inueniet, q̇ his sit anteponēda.

Laus Deo.

PLVTARCHI DE IIS QVÆ apud Homerum linguis.

Dorica.

Ictione varia vsus Homerus, qui ab omni lĩgua d grȩcorū characteres p̄miscuit, ex q̄bus palā est lustrasse totam quidē græciā & oēm nationē, & dorum quidem familiari breuiloquii defectu vsus est, domū dicēs do. stati autē illi dom⁹ diues existit, & qm̄ nā . nā mihi aquila interfecit anseres, & post post mutās quidē ο in ᾱ. π̄ autem & σ̄ in cognatā illis dico ↓ & alias alias. iam enim me & alias tuū impulit mādatū & talia. Similiter autem & media abbreuiās dicit eiusdē pili & coȩtaneos eiusdē pili & coætāeos & eiusdē pr̄is eiusdē pr̄is. & timere timere & honoro honoro . eorun dem autem et transportare elementa vt in optimi p optimi. Æolica. Æolum autem vtitur in compositis syncopa dormierunt dicens pro dormie runt. & supponere pro supponere, & in præterito imper fecto tempore tertias personas desinentes apud alios in ει diphthongum per ι apud æoles efferuntur

ὡς ἐν τῷ ἐφίλη. ἀνόη, οὕτω δὲ καὶ ὅμηρος ἐποίησε· δίδη μόσχοισι λύγοισιν ἀντὶ τοῦ ἔδει. ὅ ἐστιν ἐδέσμει. καὶ τὴν μὲν, ἀρ' οὔτ' ἀνέμων διαήμενος ὑγρὸν ἀέντων. Καὶ τὸ ἐναλλάσσειν τὸ σ εἰς τὸ δ, ὡς ἐν τῷ λέγειν ὀδμὴν, καὶ ἴδμεν. Καὶ τὸ πλεονάζειν ἐν ἔπεσιν ὡς ἄηκλος, ἀντὶ τοῦ ἔκηλος. καὶ αὐτὰρ, ἀντὶ τοῦ ἀτάρ. καὶ τὸ κεκληγόντες, ἀντὶ τοῦ κεκληγότες. Καὶ τὸ προστιθέναι τῷ δευτέρῳ προσώπῳ τῶν ῥημάτων τὸ θα, ὡς τὸ ἔφης, ἔφησθα. καὶ εἴπης, εἴπησθα. Τὸν διπλασιασμὸν τῶν συμφώνων οἱ μὲν δωριεῦσιν, οἱ δὲ αἰολεῦσι προσνέμουσιν οἷόν ἐστιν ἔλλαβε πορφύρεος θάνατος. καὶ ὁππότερος τάδε ἔργα.

ΙΑΣ.

Ἰώνων δὲ ἴδιον ἔχει, τὸ ἀφαιρέσει χρῆσθαι ἐν τοῖς παρῳχημένοις χρόνοις τῶν ῥημάτων, ὡς τὸ βῆ καὶ τὸ δῶκεν. ἔθος γὰρ ἔχουσιν καὶ ἐπὶ τῶν παρῳχημένων χρόνων, ἀπὸ τῶν αὐτῶν στοιχείων ἄρχεσθαι. ἀφ' ὧν καὶ ὁ ἐνεστώς. Καὶ τὸ ὑφαιρεῖν τὸ ε, ἐν τῷ ἱερὰς, ἱρὰς. Καὶ τὸ προστιθέναι τοῖς τρίτοις προσώποις τῶν ὑποτακτικῶν τὸ σι. οἷον τὸ ἔλθῃσι. καὶ τὸ λάβῃσι καὶ λέγῃσι. καὶ ταῖς δοτικαῖς, θύρῃσι, καὶ ὕλῃσι. Καὶ τὸ λέγειν οὔνομα καὶ νοῦσον. τοὔμπροσθεν. καὶ κεινὸν καὶ μεῖλαν, ἀντὶ τοῦ κενὸν καὶ μέλαν. Καὶ τὸ μεταβάλλειν τὸ α, ἐπειδὰν ἐκτείνηται εἰς τὸ η, ὡς τὸ, ἥρη τ' ἀργείη καὶ ἀθηναίη ἀγελείη. ἔστι δ' ὅτε καὶ ἐκ τοῦ ἐναντίου, τὸ η εἰς τὸ α, ὡς τὸ λελασμένος, ἀντὶ τοῦ λελησμένος. Καὶ τὸ διαιρεῖν τὰ περισπώμενα ῥήματα φρονέω. ἐννοέω. καὶ τὰς γενικὰς τὰς εἰς ους ληγούσας ὡς τὸ διομήδεος. Καὶ τὰς περισπωμένας γενικὰς τῶν πληθυντικῶν τὰς εἰς ων ληγούσας. ὡς τὸ πυλῶν, νυμφῶν, περσῶν. πυλέων, νυμφέων, περσέων. Καὶ τῶν οὐδετέρων τὰς πληθυντικὰς εὐθείας τὰς εἰς τὸ η ληγούσας, ὡς τὰ στήθη στήθεα. βέλη. βέλεα. Καὶ τὰς γενικὰς αὐτῶν, ὁμοίως. ἰδίως δὲ λέγουσι καὶ τὸ τετράφαται, καὶ τὰ τοιαῦτα. ΑΤΘΙΣ. Μάλιστα δὲ τῇ ἀτθίδι διαλέκτῳ κέχρηται. καὶ γὰρ ἐπίμικτος ἦν. καὶ ἐπεὶ λέγεται παρ' αὐτοῖς ἀττικοῖς λεὼς ὁ λαὸς, κατὰ ταύτην τὴν συνήθειαν ἔστι παρ' αὐτῷ, ὁ πηνέλεως καὶ τὸ χρέως. ἔστι δὲ αὐτοῖς συνῆθες καὶ τὸ συναλείφειν ἐνίοτε. καὶ ἀντὶ δύο, ποιεῖν μίαν συλλαβὴν τὸ ἔπος, τοὔπος, καὶ τὸ ἱμάτιον θοἰμάτιον. οἷς ἐστιν ὅμοιον. τρεῖς δὲ προὔκυψαν ἀολλέες. καὶ πεδία λωτάντα. ἀντὶ τοῦ λωτάεντα. καὶ τὸ ὑφαιρεῖν τὸ η τῶν τοιούτων ἀττικῶν δοκοίης, δοκοῖς.

in amabat intelligebat, sic aūt & Homer⁹ fecit ligabat ulis viminib⁹ ꝓ ligabat qđ ē ligabat & hos qdē neq; torū pellebat vis humidum spirantium & vertere σ δ vt dicendo odorem & scimus. Et abundare in nnullis vt quietus pro quietus, & verū pro verum, & amantes clamantes. Et addere secundæ rsonæ. verborū εα vt dicebas dicebas dixeris dixeris. uplicationē aūt consonātiū, hi quidē doricis, hi vero olicis attribuunt, vt est cœpit purpurea mors vter hęc opera.

Ionica.

Ionū aūt proprium habet ablatione vt in præteritis pibus verborū vt iuit & dedit, cōsuetudinē. n. habēt & præteritis temporibus ab eisdem elementis icipere, a ibus & præsens & subtrahere ε in sacerdos sacerdos, addere tertiis personis subiunctiuorum σι veniat & capiat & dicat. & datiuis feris syluis. dicere nomen & morbum antea. Et vacuum nigrum pro vacuum & nigrum. Et vertere α ꝓductum fuerit in η vt iunoque argiua & minerua ædatrix. Interdum & contra η in α vt oblitus oblitus. & diuidere circunflexa verba cogito, & genitiuos in ους desinentes, vt omedis. & circunflexos genitiuos pluralium ων desinentes, vt portarum nympharū persarum, tarum nympharū persarum, & neutrorum plurales minatiuos in η desinentes, vt pectora pectora, tela, & genitiuos illorum similiter. ꝓprie aūt dicunt & riti sunt & talia.

Attica.

Maxime autem attica gua vsus est. eteni mixtus fuit, & postquā dicit apud s atticos populus populus, eodem ritu est & apud pendens & debitum. est autem illis familiare & ungere interdū & pro duabus facere vnam syllabam bū verbū, & vestē vestem, quibus est simile. Troiani naucrūt dēsi & cāpos loto abūdātes ꝓ loto abū- tes & subtrahere η taliū optatiuorum putares putares,

τιμωρῆς, τιμωρῷς, ἔστιν ἀττικόν. ᾧ ἀκολούθως εἴρηται. ἄλλοι δὲ διακρινθῆτε τάχιστα. Ὁμοίως δὲ καὶ τοῦτο ἀττικόν, οἱ πλέονες κακίους, παῦροι δέ τε πατρὸς ἀρείους. ὁ λέγομεν, κακίονες, καὶ ἀρείονες. Καὶ τό, τὰς αἰτιατικὰς τῶν τοιούτων μὴ διαιρεῖν. τοὺς βοῦς. τοὺς ἰχθῦς. βοῦς περιτεμνομένους. καὶ ἰχθῦς ὄρνιθάς τε. Κἀκεῖνο δὲ εἴρηται ἀττικῶς. οὐδέ τέ μιν σθένει ἐκγεγυῖαι ῥέοντες ὡς ζεύγνυσι, καὶ ὄμνυσι. Καὶ τὸ ἐξαιρεῖν τὰ βραχέα τῶν τοιούτων ἀττικῶν λούεται λοῦται. οἴομαι. οἶμαι. οὕτως οὖν καὶ τὸ λῦτο ἀντὶ τοῦ ἐλύετο. Τῶν αὐτῶν ἐστὶ καὶ τὸ ἑώραν καὶ ἐωνησάμην, ἐκ περισσοῦ προστιθέντων τὸ ε. Ὅθεν ἐστὶ καὶ τὸ ἐῳνοχόει, καὶ τὸ συναιρεῖν τὸ ι ἐπὶ τῶν τοιούτων. ἠϊόνες. νηρῆϊδες. οὕτω καὶ τὸ σφῶ δὲ μάλ' ἠθέλετον. Καὶ ἐπὶ τῆς εἰς ι καταληγούσης δοτικῆς παρατελευτῶντος τοῦ α. Κέραϊ, κέρα. γήραϊ, γήρα. σέλαϊ, σέλα. Ἔστι δὲ καὶ τοῦτο ἀττικὸν τὸ λέγειν, ἔσων ἀντὶ τοῦ ἔσωσαν. καὶ ἐπέθων, ἀντὶ τοῦ ἐπέθασαν. ἔστι δὲ καὶ ἡ τῶν ἀϊκτικῶν χρῆσιν ἀντὶ τῶν παρεληλυθότων τῶν ὁριστικῶν τῆς αὐτῆς συνηθείας. ᾗ καὶ Ὅμηρος χρῆται συνεχῶς. καὶ τό, τοῖς θηλυκοῖς ἄρθρα ἀρσενικὰ ἢ μετοχὰς ἢ ἐπίθετα διασυντάσσειν. ὡς τό, τὼ χεῖρε. τὼ γυναῖκε. καὶ παρὰ Πλάτωνι διαλέγοντε, καὶ φέροντε, καὶ ἡ σοφὸς, γυνὴ καὶ ἡ δίκαιος. οὕτως οὖν καὶ Ὅμηρος ἐπὶ Ἥρας καὶ Ἀθηνᾶς ἔφη. οὐκ ἂν ἐφ' ὑμετέρων ὀχέων πληγέντε κεραυνῷ. καί τοι Ἀθηναίη ἀκέων ἦν. καὶ κλυτὸς ἱπποδάμεια. καὶ περὶ τὴν σύνταξιν δὲ πολλὰ ἰδιώματα ἐχουσῶν τῶν διαλέκτων ὅταν εἴπῃ ὁ ποιητής. ἀλλ' ἄγ' ὁ ἴσασον μὲν ἐλαίου κυδαλίμοιο, ἀττικὴν δείκνυσι τὴν συνήθειαν. ὅταν δὲ εἴπῃ δέξατό οἱ σκῆπτρον. καὶ θέμισι δὲ καλλιπαρῄῳ δέκτο δέπας, ἐν τούτοις δωρίζει. ὅπως μὲν οὖν τὰς πάντων Ἑλλήνων φωνὰς ἀθροίζων ποικίλον ἀπεργάζεται τὸν λόγον καὶ χρῆται ποτὲ μὲν ταῖς ξέναις. ὥσπερ εἰσὶν αἱ προειρημέναι. ποτὲ δὲ, ταῖς ἀρχαίαις, ὡς ὅταν λέγῃ ἄορ, καὶ σάκος. ποτὲ δὲ ταῖς κοιναῖς καὶ συνήθεσιν. ὡς ὅταν λέγῃ ξίφος καὶ ἀσπίδα. ΚΟΙΝΗ καὶ θαυμάσειέ τις ὅτι καὶ κοιναὶ τοιοῦται λέξεις παρ' αὐτῷ σώζουσι τὸ σεμνὸν τοῦ λόγου. γὰρ τὸ ἵππους τεξανθὰς ἑκατὸν καὶ πεντήκοντα.

ΤΕΛΟΣ.

honorares honorares est atticū cui cōsequēter dictū est, alii aūt dirimamini cito. Similiter autem & hoc atticū. plures peiores, pauci autem patre meliores, qđ dicimus peiores & meliores. & accusatiuos talium non diuidere boues pisces. boues circuncisos & pisces auesq;. Et illud autē dictum est attice. neq; robore frāgit fluentes, vt iungit & iurat. Et extrahere breues talium atticorum lauatur, lauatur puto puto, sic inquam & solutus erat pro solutus erat. Eorundem est & vidi & emi superflue addentium ε. vnde est & potū ministrabat & ꝯtrahere ī in talib⁹. littora nereides sic & ipsos autem valde volebamus & in ι purum desinente datiuo propenultimante α cornu cornu, senectuti senectuti, splēdori splēdori. Est āt & hic atticū dicere sint pro sint, & sequantur pro sequantur. Est aūt & optatiuorū vsus pro præteritis indicatiuorū eiusdem cōsuetudinis qua & Homerus vtit frequenter. & fœmininis articulos masculinos vel pticipia vel adiectiua cōstruere, vt illud man⁹ mulieres, & apđ Platonē de gētes & ferētes & sapiēs mulier, & iust⁹, sic igitur & Homerus de Iunone & Pallade dixit nō vtiq; in nostris ioris percussi fulmine, & nempe Pallas territus erat & inclytus Hippodamia, & circa cōstructiones aūt multas proprietates hñtibus liguis, cū dixerit poeta. Sed age sagittes Menelaū gloriosum, atticā oñdit cō suetudinē, cū aūt dixerit, suscepit illi sceptrū. & Themidi pulchrigenæ suscepit poculum in his domissat. Quomodo igitur oium græcorum voces congregans variā effecit orōnē, & vtitur interdū quidem peregrinis, vt sunt prædictæ, interdū vero vetustis, vt cū dixerit ensis & clipe⁹, iterdū aūt comunibus & familiaribus, vt cū dixerit gladiū & scutum. Cōis. Et mirabitur quispiā quod & cōes dictiōes apud illum seruāt decorū orōnis. huiuscemodi enim, equasq; flauas cētum & quinquaginta.

F I N I S.

[illegible]

In ſequentibus duobus quaternionibus hæc continentur, videlicet.

Cebetis Thebani tabula.

Laudatio in ſanctiſsimam dei genitricem.

ΚΕΒΗΤΟΣ ΘΗΒΑΙΟΥ ΠΙΝΑΞ.

Τυγχάνομεν περιπατοῦντες ἐν τῷ τοῦ κρόνου ἱερῷ, ἐν ᾧ πολλὰ μὲν καὶ ἄλλα ἀναθήματα ἐθεωροῦμεν, ἀνέκειτο δὲ καὶ πίναξ τις ἔμπροσθεν τοῦ νεὼ, ἐν ᾧ ἦν γραφή τις ξένη καὶ μύθους ἔχουσα ἰδίους, οὓς οὐκ ἠδυνάμεθα συμβαλεῖν τίνες καὶ πόθεν ἦσαν. οὔτε γὰρ πόλις ἐδόκει ἡμῖν εἶναι τὸ γεγραμμένον, οὔτε στρατόπεδον, ἀλλὰ περίβολος ἦν ἐν αὐτῷ, ἔχων ἑτέρους περιβόλους δύο, τὸν μὲν μείζω, τὸν δὲ ἐλάττω. ἦν δὲ καὶ πύλη ἐπὶ τοῦ πρώτου περιβόλου. πρὸς δὲ τῇ πύλῃ, ὄχλος ἐδόκει ἡμῖν πολὺς ἐφεστάναι. ἔνδον δὲ τοῦ περιβόλου, πλῆθός τι γυναικῶν ἑωρᾶτο. ἐπὶ δὲ τῆς εἰσόδου τοῦ πρώτου πυλῶνος καὶ περιβόλου, γέρων τις ἑστὼς, ἔμφασιν ἐποίει, ὡς προστάττων τι τῷ εἰσιόντι ὄχλῳ. ἀπορούντων δὲ ἡμῶν περὶ τῆς μυθολογίας πρὸς ἀλλήλους πολὺν χρόνον, πρεσβύτης τις παρεστὼς, οὐδὲν δεινὸν πάσχετε ὦ ξένοι ἔφη, ἀποροῦντες περὶ τῆς γραφῆς ταύτης. οὐ γὰρ τῶν ἐπιχωρίων πολλοὶ ἴσασι τί ποτε αὕτη ἡ μυθολογία δύναται· οὐδὲ γάρ ἐστι πολιτικὸν ἀνάθημα, ἀλλὰ ξένος τις πάλαι ποτὲ ἀφίκετο δεῦρο, ἀνὴρ ἔμφρων, καὶ δεινὸς περὶ σοφίαν, λόγῳ δὲ καὶ ἔργῳ πυθαγόρειόν τινα καὶ παρμενίδειον ἐζηλωκὼς βίον, ὅς τό, τε ἱερὸν τοῦτο, καὶ τὴν γραφὴν ἀνέθηκε τῷ κρόνῳ. πότερον οὖν ἔφην ἐγὼ, καὶ αὐτὸν τὸν ἄνδρα γιγνώσκεις ἑωρακώς; καὶ ἐθαύμασά γε ἔφη αὐτὸν πολὺν χρόνον. νεώτερος γὰρ ὢν, πολλὰ, καὶ σπουδαῖα διελέγετο. καὶ περὶ ταύτης δὲ τῆς μυθολογίας, πολλάκις αὐτοῦ ἠκηκόειν διεξιόντος. πρὸς διὸς τοίνυν ἔφην ἐγὼ, εἰ μή τις σοι μεγάλη ἀσχολία τυγχάνει οὖσα, διήγησαι ἡμῖν. πάνυ γὰρ ἐπιθυμοῦμεν ἀκοῦσαι, τί ποτέ ἐστιν ὁ μῦθος. Οὐδεὶς φθόνος ὦ ξένοι ἔφη, ἀλλὰ πρῶτον δεῖ ἡμᾶς ἀκοῦσαι, ὅτι ἐπικίνδυνόν τι ἔχει ἡ ἐξήγησις. οἷόν τι ἔφην ἐγώ. ὅτι εἰ μὲν προσέξετε ἔφη, καὶ συνήσετε τὰ λεγόμενα, φρόνιμοι καὶ εὐδαίμονες ἔσεσθε. εἰ δὲ, μὴ, ἄφρονες, καὶ κακοδαίμονες, καὶ πικροί. καὶ ἀμαθεῖς γενόμενοι, κακῶς βιώσεσθε. ἔστι γὰρ ἡ ἐξήγησις ἐοικυῖα τῷ τῆς σφιγγὸς αἰνίγματι, ὃ ἐκείνη προεβάλλετο τοῖς ἀνθρώποις. εἰ μὲν οὖν αὐτὸ συνίει τις, ἐσώζετο, εἰ δὲ μὴ συνίει, ἀπώλλυτο ὑπὸ τῆς σφιγγός. ὡσαύτως δὲ καὶ ἐπὶ τῆς ἐξηγήσεως ταύτης. ἡ γὰρ ἀφροσύνη τοῖς ἀνθρώποις, σφίγξ ἐστιν. αἰνίττεται δὲ καὶ

Forte fortuna deãbulabamus in Saturni facello, in quo tum pleraq; alia munera intuebamur, tum posita erat & tabula quędã ꝓ delubro. in qua erat pictura q̃dã peregrina,& fabulas hñs peculiareis, q̃s ñ poteram⁹ cõiicere q̃nã & q̃ñ fuissẽt. neq;.n. ciuitas videbat̃ nobis eẽ, qđ pictũ erat. neq; vallũ, sed ambitus erat in ea habẽs alios ambit⁹ duos, hũc quidẽ maiorẽ, hũc vero minorẽ. erat ãt & porta i primo septo. in porta vero turba videbat̃ nobis multa astare. intra vero septũ multitudo q̃dã mulierũ videbat̃. In ingressu vero primi vestibuli, & septi senex quidã astãs videbat̃. quasi iperare aliqđ ingrediẽti turbæ. addubitantibus vero nobis de cõmento inter nos multo tẽpore. senex quidam assistens, nihil absurdi patimini o hospites inqt, ambigẽtes de pictura hac. non.n. indigenæ multi norunt quidnam hoc cõmentum queat, neq; enim est nr̃æ ciuitatis munus, sed hospes quidam olim profectus est huc hõ cordatus, & grauis sapiẽtia, sermone vero, & opere pythagoricã q̃dã, & parmenidicã ęmulatus vitã. qui & sacellum hoc, & picturã dedicauit Saturno. Num igitur inquam ego & ipsum virũ nosti vidẽs? Etiã admiratus sum inquit ipsum multo tempore. Iunior enim cũ esset, multa & studiosa disserebat, & de hoc figmento sæpe ipsum audiueram narrantem. Per Iouẽ ergo inq̃ ego, nisi aliquod tibi magnũ negociũ fuerit expone nobis. valde.n. cõcupiscimus audire quænam est fabula. non inuitus o hospites inquit, Sed hoc oportet vos audire, q̃m periculi quippiã hẽt enarratio. q̃dnã inq̃ ego. q̃m si attẽti fueritis inquit, & intelligetis dicta, prudentes, & felices eritis, sin minus, imprudentes, & infelices, & tristes, & rudes facti, male vitam degetis. Est enim narratio similis sphingis ęnigmati, quod illa proponebat hominibus. si.n. ipsum intellexisset q̃spiã, saluus erat, si vero nesciuisset, interficiebatur a Sphinge. Eodẽ modo & in narratione hac. Nam insipientia hominibus sphinx est. Innuit

τὰ δὲ τί ἀγαθὸν, τί κακὸν, τί οὔτε ἀγαθὸν, οὔτε κακόν ἐστιν ἐν τῷ βίῳ. ταῦτ' οὖν ἐὰν μή τις συνίῃ, ἀπόλλυται ὑπ' αὐτῆς οὐκ εἰσάπαξ ὥσπερ ὁ ὑπὸ τῆς σφιγγὸς καταβρωθεὶς ἀπέθνησκεν, ἀλλὰ κατὰ μικρὸν ἐν ὅλῳ τῷ βίῳ καταφθείρεται, καθάπερ οἱ ἐπὶ τιμωρίᾳ παραδιδόμενοι. ἂν δέ τις γνῷ, ἀνάπαλιν, ἡ μὲν ἀφροσύνη ἀπόλλυται, αὐτὸς δὲ σώζεται, καὶ μακάριος, καὶ εὐδαίμων γίγνεται ἐν παντὶ τῷ βίῳ. ὑμεῖς οὖν προσέχετε, καὶ μὴ παρακούετε. ὦ ἡράκλεις, ὡς εἰς μεγάλην τινὰ ἐπιθυμίαν ἐμβέβληκας ἡμᾶς, εἰ ταῦθ' οὕτως ἔχει. ἀλλ' ἔστιν. ἔφη οὕτως ἔχοντα. οὐκ ἂν φθάνοις τοίνυν διηγούμενος, ὡς ἡμῶν προσεξόντων οὐ παρέργως, ἐπείπερ καὶ τὸ ἐπιτίμιον τοιοῦτόν ἐστιν. ἀναλαβὼν οὖν ῥάβδον τινὰ, καὶ ἐκτείνας πρὸς τὴν γραφὴν, ὁρᾶτε ἔφη τὸν περίβολον τοῦτον, ὁρῶμεν. τοῦτο πρῶτον δεῖ εἰδέναι ὑμᾶς, ὅτι καλεῖται ὁ τόπος οὗτος βίος. καὶ ὁ ὄχλος ὁ πολὺς ὁ παρὰ τὴν πύλην ἐφεστὼς οἱ μέλλοντες εἰσπορεύεσθαι εἰς τὸν βίον, οὗτοί εἰσιν. ὁ δὲ γέρων ὁ ἄνω ἑστηκὼς ἔχων χάρτην τινὰ ἐν τῇ χειρί. καὶ τῇ ἑτέρᾳ ὥσπερ δεικνύων τι, οὗτος δαίμων καλεῖται. προστάττει δὲ τοῖς εἰσπορευομένοις, τί δεῖ αὐτοὺς ποιεῖν, ὡς ἂν εἰσέλθωσιν εἰς τὸν βίον, καὶ δεικνύει ποίαν ὁδὸν αὐτοὺς δεῖ βαδίζειν, εἰ σώζεσθαι μέλλουσιν ἐν τῷ βίῳ. ποίαν οὖν ὁδὸν κελεύει βαδίζειν. ἢ πῶς ἔφην ἐγώ; ὁρᾷς εἶπε παρὰ τὴν πύλην θρόνον τινὰ κείμενον κατὰ τὸν τόπον τοῦτον, καθ' ὃν εἰσπορεύεται ὁ ὄχλος, ἐφ' οὗ κάθηται γυνὴ πεπλασμένη τῷ ἤθει, καὶ πιθανὴ φαινομένη, καὶ ἐν τῇ χειρὶ ἔχουσα ποτήριόν τι; ὁρῶ, ἀλλὰ τίς ἐστιν αὕτη ἔφην. ἀπάτη καλεῖταί φησιν, ἡ πάντας τοὺς ἀνθρώπους πλανῶσα. εἶτα τί πράττει αὕτη; τοὺς εἰσπορευομένους εἰς τὸν βίον ποτίζει τῇ ἑαυτῆς δυνάμει. τοῦτο δὲ τί ἐστι τὸ ποτόν; πλάνη ἔφη, καὶ ἄγνοια. εἶτα τί; πιόντες τοῦτο πορεύονται εἰς τὸν βίον. πότερον οὖν πάντες πίνουσι τὸν πλάνον, ἢ οὔ; πάντες πίνουσιν ἔφη, ἀλλ' οἱ μὲν, πλεῖον, οἱ δὲ, ἧττον. ἔτι δὲ οὐχ ὁρᾷς ἔνδον τῆς πύλης, πλῆθός τι γυναικῶν ἑταιρῶν παντοδαπὰς μορφὰς ἐχουσῶν; ὁρῶ. αὗται τοίνυν δόξαι, καὶ ἐπιθυμίαι, καὶ ἡδοναὶ καλοῦνται. ὅταν οὖν εἰσπορεύηται ὁ ὄχλος, ἀναπηδῶσιν αὗται, καὶ συμπλέκονται πρὸς ἕκαστον, εἶτα ἀπάγουσιν. ποῖ δὲ ἀπάγουσιν αὐτούς; αἱ μὲν εἰς τὸ σώζεσθαι ἔφη, αἱ δὲ, εἰς τὸ ἀπόλλυσθαι διὰ τὴν ἀπάτην. ὦ δαιμόνιε ὡς χαλεπὸν τὸ πόμα λέγεις. καὶ πᾶσαί γε ἔφη ἐπαγγέλλονται ὡς ἐπὶ τὰ βέλτιστα ἄξουσαι, καὶ εἰς βίον εὐδαίμονα, ἢ λυσιτελῆ. οἱ δὲ διὰ τὴν ἄγνοιαν

ĭat & hæc.qd bonũ,qd malũ,qd neq; bonũ,neq; malũ ẽ ĩ vita,hęc igiť nisi qs intelligat,interimiť ab ipsa nõ penit⁹ sicut a Sphinge deuoratus interiit, sed paulatim in tota vita absumiť,quẽadmodũ ii,q ad suppliciũ traditi sũt.sive cõ qs itelligat. cõtra.insipientia pdiť ipse vero saluus ẽ,& beatus. & felix fit in tota vita. Vos igitur attendite.& ne obadite. O hercules. vt ĩ magnã q̃dã cupidita tem iniecisti nos. si hæc ita habent. sed habent inquit ita. Non præuenies igiť narrando.qñ nos attendemus diligẽter. postquam & multa talis est. accepta igitur virga quadam,& ducta ad picturá. videtis'ne inqt septũ hoc? videmus.hoc primũ oportet scire vos vocari locum hunc vitam. & turbam multam ante hostium astantem ingressuros in vitam esse. Senex vero supra astãs habẽs chartã q̃dã in manu.& altera tanq̃ oñdens quippiã.hic genius vocať.Iubet.n.ingredientibus quid oportet eos facere. vt ingrediantur in vitã.& oñdit qualẽ viã eos oportet incedere.si seruandi sunt in vita qualẽ igitur vitã iubet ire. sũt qũo ir q̃ ego? Vides'ne inqt iuxta portã soliũ qddã positum in loco eo in quem ingreditur turba. in quo sedet mulier o'n.tamen.b⁹ & psuasibilis apparẽs.& i manu habet poculũ qddã?video.sed q̃ itã ea inq̃? deceptio vocať inquit. omnes homines seducens. Tum quid facit hæc? Ingrediẽtes i vitã bibere cõpellit quo ad ei⁹fieri pt.hęc ãt q̃nã est potio? error inqt atq; ignorãtia. Tũ qd? epota hac ingrediunť in vitã nũ igiť oẽs bibunt errorẽ, an minime? oẽs bibũt inqt sed aliq plus aliq min⁹.prętereа nõ ne vides itra portã multitudinẽ q̃dã mulierũ meretriciũ diuersas formas habẽtiũ?video.hę igiť opiniões.& ecupiscẽtię. & voluptates appellanť.cũ igiť ingrediť turba.psiliũt hæ & cõplectunť singulos. deide abducũt.Quo nã abducũt eos? aliæ ad salutẽ inqt.alię ad interitũ p deceptionẽ.o admirãde q̃ difficilẽ potionẽ narras. Atq; oẽs inqt pollicenť velut ad optima ductui,& ad vitã felicẽ.ac educib.lẽ.ipi vero

καὶ τὸν πλάνον, ὃν πεπώκασι παρὰ τῆς ἀπάτης, οὐχ εὑρίσκουσι ποία ἐστὶν ἡ ἀληθινὴ ὁδὸς, ἡ ἐν τῷ βίῳ, ἀλλὰ πλανῶνται εἰκῇ, ὥσπερ ὁρᾷς, καὶ τοὺς πρότερον εἰσπορευομένους, ὡς περιάγουσι, ὅπη ἂν αὗται δεικνύωσιν. ὁρῶ ταῦτα ἔφην. ἡ δὲ γυνὴ ἐκείνη τίς ἐστιν, ἡ ὥσπερ τυφλή. καὶ μαινομένη τις εἶναι δοκοῦσα, καὶ ἑστηκυῖα ἐπὶ λίθου τινὸς στρογγύλου, καλεῖται μὲν ἔφη τύχη. ἔστι δὲ οὐ μόνον τυφλὴ, ἀλλὰ καὶ μαινομένη, καὶ κωφή. αὕτη οὖν τί ἔργον ἔχει; περιπορεύεται πανταχοῦ ἔφη, καὶ παρ' ὧν μὲν ἁρπάζει τὰ ὑπάρχοντα, καὶ ἑτέροις δίδωσι. παρὰ δὲ τῶν αὐτῶν πάλιν ἀφαιρεῖται παραχρῆμα, ἃ δέδωκε. καὶ ἄλλοις δίδωσιν εἰκῇ, καὶ ἀβεβαίως. διὸ καὶ τὸ σημεῖον καλῶς μηνύει τὴν φύσιν αὐτῆς. ποῖον τοῦτο ἔφην ἐγώ; ὅτι ἐπὶ στρογγύλου λίθου ἕστηκεν. εἶτα τί τοῦτο σημαίνει; ὅτι οὐκ ἀσφαλὴς, οὐδὲ βεβαία ἐστὶν ἡ παρ' αὐτῆς δόσις. ἐκπτώσεις γὰρ μεγάλαι, καὶ σκληραὶ γίγνονται, ὅταν τις αὐτῇ πιστεύσῃ. ὁ δὲ ὄχλος ὁ πολὺς οὗτος ὁ περὶ αὐτὴν ἑστηκὼς, τί βούλεται; καὶ τίνες καλοῦνται; καλοῦνται καὶ οὗτοι ἀπροβούλευτοι. αἰτοῦσι δὲ ἕκαστος αὐτῶν ἃ ῥίπτει. πῶς οὖν οὐχ ὁμοίαν ἔχουσι τὴν μορφὴν, ἀλλ' οἱ μὲν αὐτῶν, δοκοῦσι χαίρειν, οἱ δὲ ἀθυμοῦσιν ἐκτετακότες τὰς χεῖρας; οἱ μὲν δοκοῦντες ἔφη χαίρειν, καὶ γελᾶν αὐτῶν οἱ εἰληφότες τι παρὰ τῆς τύχης εἰσίν. οὗτοι δὲ καὶ ἀγαθὴν τύχην αὐτὴν καλοῦσιν. οἱ δὲ δοκοῦντες κλαίειν, καὶ τὰς χεῖρας ἐκτετακότες, εἰσὶ παρ' ὧν ἀφείλετο, ἃ δέδωκε πρότερον αὐτοῖς. οὗτοι δὲ πάλιν κακὴν τύχην αὐτὴν καλοῦσι. τίνα οὖν ἐστιν ἃ δίδωσιν αὐτοῖς, ὅτι οὕτως οἱ μὲν λαμβάνοντες, χαίρουσιν. οἱ δὲ ἀποβάλλοντες, κλαίουσι. ταῦτα ἔφη ἃ παρὰ τοῖς πολλοῖς ἀνθρώποις δοκεῖ εἶναι ἀγαθά. ταῦτα οὖν τίνα ἐστί; πλοῦτος δηλαδὴ, καὶ δόξα, καὶ εὐγένεια, καὶ τέκνα, καὶ τυραννίδες, καὶ βασιλεῖαι καὶ τἆλλα ὅσα τούτοις παραπλήσια. Ταῦτα οὖν πῶς οὐκ ἔστιν ἀγαθά; περὶ μὲν τούτων ἔφη. καὶ αὖθις διαλεξόμεθα, νῦν δὲ περὶ τὴν μυθολογίαν γενώμεθα. ἔστω οὕτως. ὁρᾷς οὖν ὡς ἂν παρέλθῃς τὴν πύλην ταύτην ἀνώτερον ἄλλον περίβολον, καὶ γυναῖκας ἔξω τοῦ περιβόλου ἑστηκυίας κεκοσμημένας ὥσπερ ἑταῖραι εἰώθασι; καὶ μάλα. αὗται τοίνυν, ἡ μὲν ἀκρασία καλεῖται, ἡ δὲ ἀσωτία, ἡ δὲ ἀπληστία. ἡ δὲ κολακεία. τί οὖν ὧδε ἑστήκασιν αὗται; παρατηροῦσιν ἔφη τοὺς εἰληφότας

ob ignorantiam & errorē: quem ebiberunt a deceptione non inueniunt quę nam sit vera via in vita. sed errant temere. quemadmodum vides & prius ingredientes veluti circumuagātes. quo' ipse monstrauerint. video hoc inquā. sed mulier illa quę nā est. quæ vt cęca. & insana quædam videtur, & insistit super lapide quodam rotundo? Vocatur inquit fortuna, est autem non solum cæca, sed & insana, & surda. hæc itaq; qd operis hēt, obābulat quocūq; inquit, & aliis eripit facultates, aliis tradit, ab eisdemq; rursus aufert illico, quæ tradiderat, & aliis tradit temere, & incōstāter. ideo & signū bñ indicat naturā ipsi⁹. qd nā hoc inq̄ ego? qm̄ super lapide rotūdo isistit. tuc qd hoc significat? qm̄ incertū, & instabile est eius donū. Calamitates. n. magnæ, ac asperę fiunt, cū quispiā ei crediderit. Turba vero multa hæc eam circunstans, quid vult, & qui nā vocanť? vocanť hi qdē inconsulti. petit aūt vnusquisq; rum quæ consumat. qūo igitur non simili sunt aspectu, sed hi quidem videntur gaudere, hi vero tristantur extēsis manibus? Qui videnť inquit gaudere, & ridere ex ipsis, qui acceperūt aliquid a fortuna sunt, hi vero & bonam fortunam ipsam vocant, qui aūt videntur flere, & manus extendere, hi sunt, a quibus abstulit quæ dedit prius ipsis, hi aūt rursus malam fortunam ipsam appellāt. Quæ igiť sunt quæ dat e s, qñquidem sic hi quidē acceptis lætantur, hi vero amissis deflent? ea inquit quæ a multis hominibus videnť eē bona. Ea ergo q̄ sūt? Diuitię scilicet & gloria & nobilitas & filii & tyrannides, & regna, & alia quæcūq; his similia. Hęc igiť quomodo nō sunt bona?. De his inquit alias disputabimus, nunc in fabulæ narratio ne finius sit ita. Vides igitur vbi præterieris portam. hanc superiorem alium ambitum, & mulieres extra ambitū constitutas vt meritrices solent? ac valde. Harum itaq; hęc icōtinētia appellať, hæc luxuria, hęc auaritia, hęc assētatio. Cur igiť hic astāt hę? Obseruāt inqt eos, q acceperūt

τὶ παρὰ τῆς τύχης. εἶτα τί; ἀναπηδῶσι, καὶ συμπλέκονται αὐτοῖς καὶ κολακεύουσι, καὶ ἀξιοῦσι παρ' αὐταῖς μένειν, λέγουσαι ὅτι βίον ἕξουσιν ἡδὺν, καὶ ἄπονον, καὶ κακοπάθειαν ἔχοντα οὐδεμίαν. ἐὰν οὖν τις πεισθῇ ὑπ' αὐτῶν εἰσελθεῖν εἰς τὴν ἡδυπάθειαν μέχρι μέν τινος ἡδεῖα δοκεῖ εἶναι ἡ διατριβὴ, ἕως ἂν γαργαλίζῃ τὸν ἄνθρωπον, εἶτ' οὐκέτι. ὅταν γὰρ ἀνανήψῃ, αἰσθάνεται ὅτι οὐκ ἤσθιεν. ἀλλ' ὑπ' αὐτῆς κατεσθίετο. καὶ ὑβρίζετο. διὸ καὶ ὅταν ἀναλώσῃ πάντα. ὅσα ἔλαβε παρὰ τῆς τύχης, ἀναγκάζεται ταύταις ταῖς γυναιξὶ δουλεύειν. καὶ πάνθ' ὑπομένειν καὶ ἀσχημονεῖν, καὶ ποιεῖν ἕνεκεν τούτων ὅσα ἐστὶ βλαβερά. οἷον ἀποστερεῖν, ἱεροσυλεῖν, ἐπιορκεῖν, προδιδόναι, λῄζεσθαι. καὶ πάνθ' ὅσα τούτοις παραπλήσια. ὅταν οὖν πάντα αὐτοῖς ἀπολείπῃ, παραδίδονται τῇ τιμωρίᾳ. ποία δέ ἐστιν αὕτη; ὁρᾷς ὀπίσω τι αὐτῶν ἔφη ὥσπερ θυρίον μικρὸν, καὶ τόπον στενόν τινα καὶ σκοτεινόν; οὐκοῦν καὶ γυναῖκες αἰσχραὶ, καὶ ῥυπαραὶ, καὶ ῥάκη ἠμφιεσμέναι δοκοῦσι συνεῖναι. καὶ μάλα. αὗται τοίνυν ἔφη, ἡ μὲν τὴν μάστιγα ἔχουσα, καλεῖται τιμωρία, ἡ δὲ τὴν κεφαλὴν ἐν τοῖς γόνασιν ἔχουσα, λύπη. ἡ δὲ τὰς τρίχας τίλλουσα ἑαυτῆς, ὀδύνη. ὁ δ' ἄλλος οὗτος ὁ παρεστηκὼς αὐταῖς δυσειδής τις καὶ λεπτὸς, καὶ γυμνὸς, καὶ μετὰ ταῦτά τις ὁμοία αὐτῷ αἰσχρὰ, καὶ λεπτὴ, τίς ἐστιν; ὁ μὲν ὀδυρμὸς καλεῖται ἔφη, ἡ δὲ ἀδελφὴ αὐτοῦ, ἀθυμία. τούτοις οὖν παραδίδοται, καὶ μετὰ τούτων συμβιοῖ τιμωρούμενος εἶτα πάλιν ἐνταῦθα εἰς ἕτερον οἶκον ῥίπτεται εἰς τὴν κακοδαιμονίαν, καὶ ὧδε τὸν λοιπὸν βίον καταστρέφει ἐν πάσῃ κακοδαιμονίᾳ, ἂν μὴ μετάνοια αὐτῷ ἀπὸ τῆς τύχης συναντήσῃ. εἶτα τί γίγνεται; ἐὰν ἡ μετάνοια αὐτῷ συναντήσῃ, ἐξαιρεῖ αὐτὸν ἐκ τῶν κακῶν, καὶ συνίστησιν αὐτῷ ἑτέραν δόξαν, καὶ ἐπιθυμίαν, τὴν εἰς τὴν ἀληθινὴν παιδείαν ἄγουσαν. ἅμα δὲ καὶ τὴν εἰς τὴν ψευδοπαιδείαν καλουμένην. εἶτα τί γίγνεται; ἐὰν μέν φησι τὴν δόξαν ταύτην προσδέξηται τὴν ἄξουσαν αὐτὸν εἰς τὴν ἀληθινὴν παιδείαν, καθαρθεὶς ὑπ' αὐτῆς σώζεται, καὶ μακάριος, καὶ εὐδαίμων γίγνεται ἐν παντὶ τῷ βίῳ, εἰ δὲ μή, πάλιν πλανᾶται ὑπὸ τῆς ψευδοδοξίας. ὦ ἡράκλεις, ὡς μέγας ὁ κίνδυνος ἄλλος οὗτος. ἡ δὲ ψευδοπαιδεία

quid a fortuna. Tum quid? Exiliūt, atq; amplexant̄ eos, adulantur, & rogant vt apud eos maneant, dicentes vitā habituros iucūdā, & sine labore. & molestiā habētem nullam. Si igitur quispiā psuasus fuerit ab ipsis ingredi in voluptatem, tantisper suauis videtur esse ea conuersatio, quoad titillauerit hoiem. postea nō est. vbi. n. resipuerit, intelligit non comedisse, sed ab ipsa comestum, & iniuria affectū. Quamobrē & cum psumpserit oia, quæ accepit a fortuna, cogitur ipsis mulieribus seruire, & omnia sustinere, & turpis esse, & facere grā ipsarū quæcūq; sunt pniciosa, vt surripere, sacra legere, peierare, prodere deprædari. & oia, quę his similia. Vbi igitur omnia ipsis defecerint traduntur supplicio. quod nā id est? vides retro quēdam ex ipsis inqt tanq̄ fenestrā paruā & locū angustū quēdā & obscurum? igitur & mulieres turpes, & sordidæ, & panno obsitæ esse videntur. maxime. Ex his igitur inquit, quæ flagellum tenet, vocatur punitio, quæ vero caput in genibus habet, mœstitia, quę autem capillos vellit suos, dolor. Sed alius hic præassistens ipsis deformis quidā & macilentus, & nudus, ac deinde quædam similis ei turpis, & macilēta, quisnā est? hic qdē luctus vocat̄ inqt, illa vero soror eius, mœstitia. his itaq; traditur, & cum his, viuens cruciatur. Tum rursus hinc in aliam domum abiicitur ad infortunitum, & ibi reliquam vitam traducit in omni infelicitate nisi pœnitentia ei a fortuna occurrat. Tum quid fit? Si pœnitentia ei occurrat, eripit ipsum a malis, & imprimit ipsi aliam opinionē & desiderium, quod ad verā disciplinam ducat, simul vero & ad eam, quæ falsa disciplina vocatur. Tum quid fit? Si inquit, opinionem hanc susceperit, quæ ducit ipsum ad veram doctrinam, purgatus ab ea saluus fit, & beatus, & fœlix fit in omni vita, nisi rursus decipitur a falsa opinione. O Hercules q̄ magnum periculum aliud hoc. Sed falsa

ποία ἐστὶν ἔφην ἐγώ; οὐχ ὁρᾷς τὸν ἕτερον περίβολον ἐκεῖνον; καὶ μάλα ἔφην ἐγώ. οὐκοῦν ἔξω τοῦ περιβόλου παρὰ τὴν εἴσοδον, γυνή τις ἕστηκεν, ἣ δοκεῖ πάνυ καθαρὰ, καὶ εὔτακτος εἶναι; καὶ μάλα. ταύτην τοίνυν οἱ πολλοὶ, καὶ εἰκαῖοι τῶν ἀνθρώπων, παιδείαν καλοῦσιν. οὐκ ἔστι δὲ ἀλλὰ ψευδοπαιδεία ἔφη. οἱ μέντοι σωζόμενοι ὁπόταν βούλωνται εἰς τὴν ἀληθινὴν παιδείαν ἐλθεῖν, ὧδε πρῶτον παραγίγνονται. πότερον οὖν ἄλλη ὁδὸς οὐκ ἔστιν ἐπὶ τὴν ἀληθινὴν παιδείαν ἄγουσα; ἔστιν ἔφη. οὗτοι δὲ οἱ ἄνθρωποι οἱ ἔσω τοῦ περιβόλου ἀνακάμπτοντες, τίνες εἰσίν; οἱ τῆς ψευδοπαιδείας ἔφη ἐρασταὶ ἠπατημένοι, καὶ οἰόμενοι μετὰ τῆς ἀληθινῆς παιδείας συνομιλεῖν. τίνες οὖν καλοῦνται οὗτοι; οἱ μὲν, ποιηταὶ ἔφη, οἱ δὲ ῥήτορες, οἱ δὲ, διαλεκτικοί. οἱ δὲ μουσικοί. οἱ δὲ, ἀριθμητικοί. οἱ δὲ, γεωμέτραι. οἱ δὲ ἀστρολόγοι. οἱ δὲ, ἡδονικοί. οἱ δὲ, περιπατητικοί. οἱ δὲ, κριτικοί. καὶ ὅσοι ἄλλοι. τούτοις εἰσὶ παραπλήσιοι. αἱ δὲ γυναῖκες ἐκεῖναι αἱ δοκοῦσαι, περιτρέχειν ὅμοιαι ταῖς πρώταις. ἐν αἷς ἔφης εἶναι ἀκρασίαν, καὶ αἱ ἄλλαι αἱ μετ᾽ αὐτῶν, τίνες εἰσίν; αὗται ἐκεῖναί εἰσιν ἔφη. πότερον οὖν καὶ ὧδε εἰσπορεύονται. νὴ δία καὶ ὧδε, σπανίως δὲ, καὶ οὐχὶ ὥσπερ ἐν τῷ πρώτῳ περιβόλῳ. πότερον οὖν καὶ αἱ δόξαι; ἔφη. ἔτι μὲν γὰρ καὶ ἐν τούτοις τὸ πόμα, ὃ ἔπιον παρὰ τῆς ἀπάτης, καὶ ἡ ἄγνοια μένει νὴ, δία, καὶ μετ᾽ αὐτῆς γε ἡ ἀφροσύνη, καὶ οὐ μὴ ἀπέλθῃ ἀπ᾽ αὐτῶν, οὔθ᾽ ἡ δόξα, οὔθ᾽ ἡ λοιπὴ κακία, μέχρις ἂν ἀπογνόντες τῆς ψευδοπαιδείας, εἰσέλθωσιν εἰς τὴν ἀληθινὴν ὁδὸν, καὶ πίωσιν τὴν τούτου καθαρτικὴν δύναμιν. καὶ ἐκβάλωσι τὰ κακὰ πάνθ᾽ ὅσα ἔχουσι καὶ τὰς δόξας, καὶ τὴν ἄγνοιαν, καὶ τὴν λοιπὴν πᾶσαν κακίαν. τότε ἂν οὕτω σωθήσονται. ὧδε δὲ μένοντες παρὰ τῇ ψευδοπαιδείᾳ, οὐδέποτε ἀπολυθήσονται. οὐδ᾽ ἐλλείψει αὐτοὺς κακὸν οὐδὲν ἕνεκα τούτων τῶν μαθημάτων. ποία οὖν αὕτη ὁδός ἐστιν, ἡ φέρουσα ἐπὶ τὴν ἀληθινὴν παιδείαν; ὁρᾷς ἔφη ἄνω τόπον τινὰ ἐκεῖνον, ὅπου οὐδεὶς ἐπικατοικεῖ, ἀλλ᾽ ἔρημος δοκεῖ εἶναι, ὁρῶ. οὐκοῦν καὶ θύραν τινὰ μικρὰν, καὶ ὁδόν τινα πρὸ τῆς θύρας, ἥτις οὐ πολὺ ὀχλεῖται, ἀλλὰ πάνυ ὀλίγοι πορεύονται, ὥσπερ δυσόδου, τινὸς, καὶ τραχείας, καὶ πετρώδους εἶναι δοκούσης; καὶ μάλα ἔφην. οὐκοῦν καὶ βουνός τις ὑψηλὸς δοκεῖ εἶναι, καὶ ἀνάβασις στενὴ πάνυ, καὶ κρημνοὺς ἔχουσα ἔνθεν,

ſciplina q̃ nã eſt inq̃ ego? non vides aliud ſeptum illud? valde inquã ego. Igitur extra ſeptũ apud ingreſſum, mulier, quædã aſsiſtit, quæ videt̃ multũ pura & bene mora eſſe? atq; apprime. hanc igitur. pleriq;, & ſtulti homines diſciplinam vocant. non eſt autem, ſed falſa diſciplina inquit, Qui ſane' ſalui fiunt cum volunt ad veram diſciplinam proficiſci, huc primũ veniunt. Nũ itaq; alia via nõ eſt ad veram doctrinã adducens? eſt inquit. Hi vero homines intra ſeptum declinantes, qui ſunt? falſæ diſciplinæ inquit amatores, decepti, & opinati cum vera diſciplina familiaritatẽ habere. Qui igit̃ vocant̃ ii? alii poetæ inqt, alii oratores, alii dialectici, alii muſici, alii arithmetici, alii geometræ, alii aſtrologi, alii voluptarii, alii pipatetici, alii critici, & quicunq; alii his ſunt ſimiles. mulieres autem illę quæ vident̃ circuncurrere ſimiles primis, in qb[9] ais eſſe in cõtinẽtiã, & aliæ cũ ipſis quæ ſunt? ipſæ illę ſunt inqt. Nũ igit̃ & huc ingrediũtur? Per Iouẽ & huc, raro aũt, & nõ velut in primo ambitu. Nunqd igit̃ & hę opiniones? nę inqt. Immo.n. & in his poculũ, quod ebiberunt a deceptione, ac ignorantia monet per Iouẽ, & cum ea inſipiẽtia, ac non diſcedet ab ipſis neq; opinio, neq; reliqua malitia, donec obliti falſæ diſciplinę ingrediantur in veram viam, & bibant huius purgatoriam virtutem. & abiecerint mala omnia quæ habent & opiniones, & ignorantiam, & reliq̃ omnem prauitatem. Tũc ſic ſalui fient. hic aũt manentes apud falſam eruditionẽ nõ vnquã abſoluẽtur, neq; deerit ipſis malum vllum gratia horum ſtudiorum. Quæ igitur hæc via eſt ducens ad veram diſciplinam? Vides inquit ſupra locũ illum, vbi nemo inhabitat, ſed deſertus videt̃ eſſe? Video igit̃ & ianuã quãdam paruã, & viã q̃dã ante ianuã, quæ non multũ frequentat̃, ſed perpauci eunt. quod tanquam difficilis aſcenſu & aſpera, & ſaxoſa eſſe videat̃? & valde inq̃ ego. Igitur & collis qdẽ excelſus videt̃ eſſe, & aſcenſus anguſtus valde, & p̃cipitia habẽs hic

κἀκεῖθεν βαδεῖς; ὁρῶ. αὕτη τοίνυν ἐστὶν ἡ ὁδός, ἔφη, ἡ ἄγουσα πρὸς τὴν ἀληθινὴν παιδείαν, καὶ μάλα γε χαλεπὴ προσιδεῖν. οὐκοῦν καὶ ἄνω γε περὶ τὸν βουνὸν ὁρᾷς πέτραν μεγάλην, καὶ ὑψηλήν, κύκλῳ ἀπόκρημνον; ὁρῶ ἔφην. ὁρᾷς οὖν καὶ γυναῖκας δύο ἑστηκυίας ἐπὶ τῆς πέτρας λιπαράς, καὶ εὐεκτούσας τῷ σώματι, καὶ ὡς ἐκτετάκασι τὰς χεῖρας προθύμως; ὁρῶ. ἀλλὰ τίνες καλοῦνται ἔφην αὗται; ἡ μὲν ἐγκράτεια καλεῖται, ἔφη. ἡ δέ, καρτερία. εἰσὶ δὲ ἀδελφαί. τί οὖν τὰς χεῖρας ἐκτετάκασιν οὕτω προθύμως, παρακαλοῦσιν ἔφη τοὺς παραγιγνομένους ἐπὶ τὸν τόπον θαρρεῖν, καὶ μὴ ἀποδειλιᾶν, λέγουσαι, ὅτι βραχὺ ἔτι δεῖ καρτερῆσαι αὐτούς. εἶτα ἥξουσιν εἰς ὁδὸν καλήν. ὅταν οὖν παραγένωνται ἐπὶ τὴν πέτραν, πῶς ἀναβαίνουσιν; ὁρῶ γὰρ ὁδὸν φέρουσαν οὐδεμίαν ἐπ᾽ αὐτήν. αὗται ἀπὸ τοῦ κρημνοῦ προσκαταβαίνουσι, καὶ ἕλκουσιν αὐτοὺς ἄνω πρὸς ἑαυτάς. εἶτα κελεύουσιν αὐτοὺς διαπαύσασθαι, καὶ μετὰ μικρὸν διδόασιν ἰσχύν, καὶ θάρσος, καὶ ἐπαγγέλλονται αὐτοὺς καταστῆσαι πρὸς τὴν ἀληθινὴν παιδείαν. καὶ δεικνύουσιν αὐτοῖς τὴν ὁδόν, ὡς ἔστι καλή τε, καὶ ὁμαλή, καὶ εὔπορος, καθαρὰ παντὸς κακοῦ, ὥσπερ ὁρᾷς. ἐμφαίνειν ἡ δία. ὁρᾷς οὖν ἔφη καὶ ἔμπροσθε τοῦ ἄλσους ἐκείνου τόπον τινά, ὃς δοκεῖ καλός τε εἶναι καὶ λειμωνοειδής, καὶ φωτὶ πολλῷ καταλαμπόμενος; καὶ μάλα. κατανοεῖς οὖν καὶ ἐν μέσῳ τοῦ λειμῶνος περίβολον ἕτερον, καὶ πύλην ἑτέραν; ἔστιν οὕτως. ἀλλὰ τίς καλεῖται ὁ τόπος οὗτος; εὐδαιμόνων οἰκητήριον ἔφη. ὧδε γὰρ διατρίβουσιν αἱ ἀρεταὶ πᾶσαι, καὶ ἡ εὐδαιμονία. εἶεν ἔφην ἐγώ, ὡς καλὸν τὸν τόπον εἶναι. οὐκοῦν παρὰ τὴν πύλην ὁρᾷς ἔφη, ὅτι γυνή τίς ἐστι καλή, καὶ καθεστηκυῖα τὸ πρόσωπον, μέση δὲ καὶ κεκριμένη ἤδη τῇ ἡλικίᾳ, στολὴν δ᾽ ἔχουσα ἁπλῆν καὶ ἀκαλλώπιστον, ἕστηκε δὲ οὐκ ἐπὶ στρογγύλου λίθου, ἀλλ᾽ ἐπὶ τετραγώνου ἀσφαλῶς κειμένου. καὶ μετὰ ταύτης, ἄλλαι δύο εἰσί, θυγατέρες τινὲς δοκοῦσιν εἶναι. ἐμφαίνει οὕτως ἔχει. τούτων τοίνυν ἡ μὲν ἐν τῷ μέσῳ παιδεία ἐστίν. ἡ δὲ ἀλήθεια. ἡ δέ, πειθώ. τί δὲ ἕστηκεν ἐπὶ λίθου τετραγώνου αὕτη; σημεῖον ἔφη, ὅτι ἀσφαλής τε καὶ βεβαία ἡ πρὸς αὐτὴν ὁδός ἐστι τοῖς ἀφικνουμένοις, καὶ τῶν διδομένων ἀσφαλὴς ἡ δόσις

ide profunda? video. hæc igitur est via inquit ducens
d veram disciplinam, & sanequam difficilis visu.
aq; & supra circum collem vides petram magnam
rcum circa præruptã? video inq̃. vides igitur & mulieres
uas insistentes supra petrã splẽdidas, & bona habitudine
orporis, & q̃uo extenderunt manus alacriter? video,
ed quæ vocantur inquam hæ? altera quidem continentia
ppellat̃ inqt, altera cõstantia sunt aũt germanæ. Cur igit̃
anus extenderunt sic alacriter? hortantur inquit
duenientes in locum confidere, & non timere,
icẽtes breui adhuc oportere tolerare ipsos, dein vẽturos
n viã bonã. Cum igitur peruenerint ad petrã, quomodo
scendunt? video enim viam ferentem nullã ad ipsam.
psæ a præcipitio descendunt, & trahunt ipsos
upra ad seipsas. hinc iubent eos quiescere, &
aulo post contribuunt fortitudinẽ, & audaciã & ꝑmittũt
os constituere in veram eruditionem. & ostendunt
s viam esse pulchramq; & planam & permeabilem &
urã omni malo, vt vides. Oñdit per Iouẽ vides igit̃ inqt
iã ante locum illum locũ quẽdã, qui videt̃ pulcherq; eẽ,
prati specie, & lumine multo splendentem? & valde
nimaduertis. itaq; etiam in medio prati ambitũ alium, &
ortam aliam? est ita. sed quis vocatur locus hic?
ortunatorũ domiciliũ inquit hic.n. versant̃ virtutes oẽs,
felicitas. Esto inquam ego perpulchrũ locũ eẽ. Igitur
pud portam vides inquit mulierem quãdã esse pulchrã,
constanti facie, mediaq;, & manifesta iam
tate? habitũq; habentẽ simplicẽ, & ornamẽtũ. cõsistit autẽ
on super rotundo lapide, sed quadrato tute posito,
cum ea alias duas esse? filiæ quædam videtur esse. ap-
aret ita esse. harũ igitur q̃ in medio, eruditio ẽ. Alia vero
eritas, alia persuasio. Cur vero ꝯsistit sup lapide quadrato
æc? signum inquit, ꝙ securaq; & firma quæ ad eam,
ia est accedentibus, & datorum secura donatio

τοῖς λαμβάνουσι. καὶ τίνα ἐστίν, ἃ δίδωσιν αὕτη; θάρσος καὶ ἀφοβία ἔφη ἐκεῖνος. ταῦτα δὲ τίνα ἐστίν; ἐπιστήμη ἔφη τοῦ μηδὲν ἄν ποτε δεινὸν παθεῖν ἐν τῷ βίῳ. ἡράκλεις ὡς καλὰ ἔφην τὰ δῶρα. ἀλλὰ τίνος ἕνεκεν, ἔξω τοῦ περιβόλου ἕστηκεν οὕτως; ὅπως τοὺς παραγενομένους ἔφη θεραπεύῃ. καὶ ποτίζῃ τὴν καθαρτικὴν δύναμιν, εἶθ᾽ ὅταν καθαρθῶσιν οὕτως αὐτοὺς εἰσάγῃ πρὸς τὰς ἀρετάς. πῶς τοῦτο ἔφην ἐγώ. οὐ γὰρ συνίημι. ἀλλὰ συνήσεις ἔφη. ὡς ἂν εἴ τις φιλοτίμως κάμνων ἐτύγχανε, πρὸς ἰατρὸν ἂν δήπου γενόμενος, πρότερον καθαρτικοῖς ἐξέβαλε πάντα τὰ νοσοποιοῦντα, εἶτα οὕτως ἂν αὐτὸν ὁ ἰατρὸς εἰς ἀνάληψιν καὶ ὑγίειαν κατέστησεν. εἰ δὲ μὴ ἐπείθετο οἷς ἐπέταττεν, ἀλόγως ἂν δήπου ἀπωσθεὶς ἐξώλετο ὑπὸ τῆς νόσου. ταῦτα συνίημι ἔφην ἐγώ. τὸν αὐτὸν τοίνυν τρόπον ἔφη καὶ πρὸς τὴν παιδείαν ὅταν τις παραγίγνηται, θεραπεύει αὐτὸς, καὶ ποτίζει τῇ ἑαυτῆς δυνάμει, ὅπως ἐκκαθάρῃ πρῶτον, καὶ ἐκβάλῃ τὰ κακὰ πάντα ὅσα ἔχων ἦλθε. ποῖα ταῦτα; τὴν ἄγνοιαν, καὶ τὸν πλάνον, ὃν ἐπεπώκει παρὰ τῆς ἀπάτης, καὶ τὴν ἀλαζονείαν. καὶ τὴν ἐπιθυμίαν καὶ τὴν ἀκρασίαν καὶ τὸν θυμόν. καὶ τὴν φιλαργυρίαν. καὶ τὰ λοιπὰ πάντα, ὧν ἀνεπλήσθη ἐν τῷ πρώτῳ περιβόλῳ. ὅταν οὖν καθαρθῇ, ποῦ αὐτὸν ἀποστέλλει; Ενδον ἔφη πρὸς τὴν ἐπιστήμην, καὶ πρὸς τὰς ἄλλας ἀρετάς, ποίας ταύτας; οὐχ ὁρᾷς ἔφη ἔσω τῆς πύλης. χορὸν γυναικῶν, ὡς ἀηδής δοκοῦσιν εἶναι, καὶ εὔτακτοι, καὶ στολὴν ἀτρύφερον καὶ ἁπλῆν ἔχουσιν, ἔτι τε ὡς ἄπλαστοί εἰσι, καὶ οὐδαμῶς κεκαλλωπισμέναι, ὥσπερ αἱ ἄλλαι; ὁρῶ ἔφην. ἀλλὰ τίνες αὗται καλοῦνται; ἡ μὲν πρώτη ἐπιστήμη ἔφη, καλεῖται. αἱ δὲ ἄλλαι ταύτης ἀδελφαί, ἀνδρεία. καὶ δικαιοσύνη. καλοκαγαθία. σωφροσύνη. εὐταξία. ἐλευθερία. ἐγκράτεια. πραότης. ὦ κάλλιστα ἔφην ἔγωγε. ὡς ἐν μεγάλῃ ἐλπίδι ἐσμέν. ἐὰν συνῆτε ἔφη, καὶ ἕξιν περιποιήσεσθε ὧν ἀκούετε. ἀλλὰ προσέξομεν ὡς μάλιστα ἔφην ἔγωγε. τοιγαροῦν ἔφη σωθήσεσθαι. ὅταν οὖν παραλάβωσιν αὐτὸν αὗται, ποῦ ἀπάγουσιν; πρὸς τὴν μητέρα ἔφη. αὕτη δὲ τίς ἐστιν; εὐδαιμονία ἔφη. ποία δέ ἐστιν αὕτη; ὁρᾷς τὴν ὁδὸν ἐκείνην τὴν φέρουσαν ἐπὶ τὸ ὑψηλὸν ἐκεῖνο, ὅ ἐστιν ἀκρόπολις τῶν περιβόλων πάντων; ὁρῶ. οὐκοῦν ἐπὶ τοῦ προπυλαίου γυνὴ

cipientibus,& quæ sunt quæ tribuit hęc. cõfidentia, & trepiditas inqt ille. Hęc ãt quæ sunt? Sciẽtia inquit nihil quam graue patiendi in vita. O Hercules q̃ pulchra quam dona. Sed quare extra ambitum consistit ita? accedentes inquit curet, & bibere faciat purgato- rium vim, Inde vbi purgati fuerint, sic eos introducat d virtutes. Quomodo hoc inq̃ ego? non. n. intelligo, sed ntelliges inqt, quemadmodũ siqs grauiter ęgrotãs ad me icũ profectus, primũ purgatoriis exegit omnia morbificã, a, deinde sic ipm medicus in cualescentiã & sanitatẽ cõ- tituit si vero non paruit iis quæ iusserat, merito repulsus eremptus est morbo. hæc intelligo inquam ego. eodem modo igitur, inquit & ad disciplinam cũ quis puenerit, cu rat ipsum, & bibere facit suã virtutem, vt purget primum, & eiciat mala oía, quæ habens venerat. Quæ hæc? Igno- rantiam. & errorem, quem ebiberat a deceptione, & arrogã tiam, & concupiscentiam, & intemperantiam, & furorẽ, & auaritiam, & reliqua omnia, qbus oppletus fuerat in primo ambitu. Cũ igiť purgatus fuerit, quo ipm mittit? intro inqt ad scientiam, & ad alias virtutes. ad quas nam? non vi- des inquit, intra portã cœtũ mulierũ, ꝙ bonæ indolis vi- dent esse, & bñ istitutæ, & qđ habitũ incultũ, & simplicem hãt. Etiamq; ꝙ incomptæ sunt, & non accurate ornatæ vt aliæ? video inquam. Sed quæ hæ appellantur? Prima scientia inquit appellatur, aliæ autem huius sorores, fortitudo, & iustitia. probitas. temperantia, modestia. liberalitas. cõtinentia. mansuetudo. O optimæ nq̃ ego, q̃ in magna spe sumus. Si intel exeritis inquit, & habitũ acquiretis eorũ, q̃ auditis. Sed attẽdem⁹ q̃ maxime quam ego. Igitur inquit salui eritis. Cum igiť acceperint ipsum hæ, quo abducunt? ad matrem inquit. hæc autem quæ nam est? felicitas inquit, Quæ vero est hęc? vides viã illam ducentem in altum illud, quæ arx ambituum omnium? video. Igitur in vestibulo mulier astans

καθεστηκυῖα ἀνεισδήστις κάθηται ἐπὶ θρόνου ὑψηλοῦ κεκοσμημένη ἐλευθέρως, καὶ ἀπεριέργως, καὶ ἐστεφανωμένη στεφάνῳ ἀνθινῷ πάνυ καλῶς. ἐμφαίνει οὕτως ἔχειν. αὕτη τοίνυν ἐστὶν ἡ εὐδαιμονία ἔφη. ὅταν οὖν ὧδέ τις παραγένηται, τί ποιεῖ; στεφανοῖ αὐτὸν ἔφη τῇ ἑαυτῆς δυνάμει ἡ εὐδαιμονία, καὶ αἱ ἄλλαι πᾶσαι ἀρεταὶ, ὥσπερ τοὺς νενικηκότας τοὺς μεγίστους ἀγῶνας. καὶ ποίους ἀγῶνας νενίκηκεν αὐτὸς ἔφην ἐγώ; τοὺς μεγίστους ἔφη, καὶ τὰ μέγιστα θηρία, ἃ πρότερον αὐτὸν κατήσθιε, καὶ ἐκόλαζε καὶ ἐποίει δοῦλον. ταῦτα πάντα νενίκηκε. καὶ ἀπέρριψεν ἀφ᾽ ἑαυτοῦ, καὶ κεκράτηκεν ἑαυτοῦ, ὥστε ἐκεῖνα νῦν τούτῳ δουλεύουσι, καθάπερ οὗτος ἐκείνοις πρότερον. ποῖα λέγεις ταῦτα τὰ θηρία, πάνυ γὰρ ἐπιθυμῶ ἀκοῦσαι. πρῶτον μὲν ἔφη, τὴν ἄγνοιαν, καὶ τὸν πλάνον, ἢ οὐ δοκεῖ σοι θηρία ταῦτα εἶναι; καὶ πονηρά γε ἔφην ἐγώ. εἶτα τὴν λύπην, καὶ τὸν ὀδυρμὸν, καὶ τὴν φιλαργυρίαν, καὶ τὴν ἀκρασίαν, καὶ τὴν λοιπὴν ἅπασαν κακίαν; πάντων τούτων κρατεῖ. καὶ οὐ κρατεῖται ὥσπερ τὸ πρότερον. ὢ καλῶν ἔργων ἔφην ἐγὼ, καὶ καλλίστης νίκης. ἀλλ᾽ ἐκεῖνο ἔτι μοι εἰπὲ, τίς ἡ δύναμις τοῦ στεφάνου, ᾧ ἔφης στεφανοῦσθαι αὐτόν. εὐδαιμονικὴ ὦ νεανίσκε. ὁ γὰρ στεφανωθεὶς ταύτῃ τῇ δυνάμει εὐδαίμων γίγνεται, καὶ μακάριος, καὶ οὐκ ἔχει ἐν ἑτέροις τὰς ἐλπίδας τῆς εὐδαιμονίας, ἀλλ᾽ ἐν ἑαυτῷ. ὡς καλὸν τὸ νίκημα λέγεις. ὅταν δὲ στεφανωθῇ, τί ποιεῖ, ἢ ποῖ βαδίζει; ἄγουσιν αὐτὸν ὑπολαβοῦσαι αἱ ἀρεταὶ πρὸς τὸν τόπον ἐκεῖνον, ὅθεν ἦλθε πρότερον, καὶ δεικνύουσιν αὐτῷ τοὺς ἐκεῖ διατρίβοντας ὡς κακῶς, καὶ ἀθλίως ζῶσι, καὶ ὡς ναυαγοῦσιν ἐν τῷ βίῳ, καὶ πλανῶνται, καὶ ἄγονται κατακεκρατημένοι, ὥσπερ ὑπὸ πολεμίων, οἱ μὲν ὑπ᾽ ἀκρασίας, οἱ δὲ ὑπ᾽ ἀλαζονείας, οἱ δὲ, ὑπὸ φιλαργυρίας, ἕτεροι δὲ ὑπὸ κενοδοξίας, οἱ δὲ, ὑφ᾽ ἑτέρων κακῶν. ἐξ ὧν οὐ δύνανται ἐκλῦσαι ἑαυτοὺς τῶν δεινῶν, οἷς δέδενται, ὥστε σωθῆναι καὶ ἀφικέσθαι ὧδε. ἀλλὰ ταράττονται διὰ παντὸς τοῦ βίου. τοῦτο δὲ πάσχουσι, διὰ τὸ μὴ. δύνασθαι τὴν ἐνθάδε ὁδὸν εὑρεῖν. ἐπελάθοντο γὰρ τὸ παρὰ τοῦ δαιμονίου πρόσταγμα. ὀρθῶς μοι δοκεῖς λέγειν. ἀλλὰ καὶ τοῦτο πάλιν ἀπορῶ, διὰ τί δεικνύουσιν αὐτῷ τὸν τόπον ἐκεῖνον αἱ ἀρεταὶ, ὅθεν ἥκει τὸ πρότερον. οὐκ

bonæ cuiuſdam indolis ſedet in throno alto, ornata
libere, & inaccurrate, & coronata corona florida
perpulchre? videtur ſic habere. hæc igitur eſt felici-
tas inquit, cum igitur huc quis peruenerit, quid facit? coro-
nat ipſum inquit ſua potentia felicitas, & aliæ
omnes virtutes, ſicut eos qui vicerunt maxima certamina.
& quæ certamina vicit, inquam ego? maxima inquit;
& maximas feras, quæ prius ip̃m abſumebãt, & affligebãt
& faciebant ſeruum, has omnes vicit. & expulit
a ſe, & dominatus eſt ſibi. quapropter illæ nunc huic
ſeruiunt, quemadmodum ipſe illis prius. Quas dicis
feras? valde enim cupio audire. primum inquit
ignorantiã, & deceptionem. an non videntur tibi feræ hæ
eſſe? & malæ quidem inquam ego. hinc dolorẽ. & luctũ, &
auaritiam. & intemperantiam, & reliquam omnem mali-
tiam, oibus his dominatur & nõ imperatur, vt prius. o pul
chra opera inq̃ ego, & pulcherrimã victoriã. ſed illud etiã
mihi dic quæ potentia coronæ, qua inquis coronare ip̃m?
beatifica o Iuuenis nam coronatus hac potentia
felix fit, & beatus. & non habet in aliis
ſpes felicitatis, ſed in ſe, quam pulchram victoriam
dicis? Cũ vero coronatus fuerit, quid facit, vel quo vadit?
ducunt ipſum accipientes virtutes ad locum illum, vnde
venit prius, & oſtendunt illi, qui illic verſantur,
q̃ male, & miſere viuãt, & quonã modo periclitantur in vi
ta, & errent, & ducũtur victi ſicut ab inimicis. Aliqui quidẽ
ab intemperantia, aliqui a ſuperbia. aliqui ab auaritia.
aliq qdẽ ab inani gloria, aliqui ab aliis malis, ex qbus non
poſſunt ſoluere ſe a calamitatibus, qb⁹ deuicti fuerant, vt
ſalui ſint, & pueniãt huc. Sed perturbantur per oẽm vitã
hoc vero patiũtur, quia nõ poſſunt, quç huc, viã inuenire.
obliti enim ſunt quod a genio, mandatum. Recte mihi
videris dicere, ſed hoc rurſus dubito. Quare oſtendunt
ei locum virtutes vnde venit prius? non

ἀκριβῶς ᾔδει, οὐδὲ ἠπίστατο ἔφη οὐδὲν τῶν ἐκεῖ ἀλλ' ἐνεδοίαζε, καὶ διὰ τὴν ἄγνοιαν. καὶ τὸν πλάνον, ὃν δὴ ἐπεπώκει, τὰ μὴ ὄντα ἀγαθὰ, ἐνόμιζεν ἀγαθὰ εἶναι, καὶ τὰ μὴ ὄντα κακὰ, κακά. διὸ καὶ ἔζη κακῶς, ὥσπερ οἱ ἄλλοι οἱ ἐκεῖ διατρίβοντες. νῦν δὲ ἀπειληφὼς τὴν ἐπιστήμην τῶν συμφερόντων, αὐτός τε καλῶς ζῇ, καὶ τούτους θεωρεῖ ὡς κακῶς πράσσουσιν. ἐπειδὰν οὖν θεωρήσῃ πάντα τί ποιεῖ, ἢ ποῖ βαδίζει; ὅπου ἂν βούληται ἔφη. πανταχοῦ γάρ ἐστιν αὐτῷ ἀσφάλεια. ὥσπερ τὸ κωρύκιον ἄντρον ἔχοντι. καὶ πανταχοῦ οὗ ἂν ἀφίκηται, πάντα καλῶς βιώσεται μετὰ πάσης ἀσφαλείας. ὑποδέξονται γὰρ αὐτὸν ἀσμένως πάντες, καθάπερ τὸν ἰατρὸν οἱ πάσχοντες. πότερον οὖν κἀκείνας τὰς γυναῖκας, ἃς ἔφης θηρία εἶναι, οὐκ ἔτι φοβεῖται, μή τι πάθῃ ὑπ' αὐτῶν; οὐδὲν, οὐ μὴ διοχληθήσεται οὔτε ὑπὸ ὀδύνης, οὔτε ὑπὸ λύπης. οὔτε ὑπ' ἀκρασίας, οὔτε ὑπὸ φιλαργυρίας, οὔτε ὑπὸ πενίας, οὔτε ὑπ' ἄλλου κακοῦ οὐδενός. ἁπάντων γὰρ κυριεύει, καὶ ἐπάνω πάντων ἐστὶ τῶν πρότερον αὐτὸν λυπούντων. καὶ ὥσπερ οἱ ἐχιόδηκτοι. Τὰ γὰρ θηρία δήπου πάντας τοὺς ἄλλους κακοποιοῦντα μέχρι θανάτου, ἐκείνους οὐ λυπεῖ διὰ τὸ ἔχειν ἀντιφάρμακον αὐτοὺς τοῦτο. καὶ τοῦτον οὐδὲν λυπεῖ διὰ τὸ ἔχειν ἀντιφάρμακον. καλῶς ἐμοὶ δοκεῖς λέγειν. ἀλλ' ἔτι τοῦτό μοι εἰπὲ, τίνες εἰσὶν οὗτοι οἱ δοκοῦντες ἐκεῖθεν ἀπὸ τοῦ βουνοῦ παραγίγνεσθαι, καὶ οἱ μὲν αὐτῶν ἐστεφανωμένοι, ἔμφασιν ποιοῦσιν εὐφροσύνης τινὸς, οἱ δὲ ἀστεφάνωτοι οἱ μὲν, ἀπεγνωσμένοι καὶ τὰς κνήμας, καὶ τὰς κεφαλὰς δοκοῦσι τετρῖφθαι κατέχονται δὲ ὑπὸ γυναικῶν τινῶν; οἱ μὲν ἐστεφανωμένοι σεσωσμένοι εἰσὶ πρὸς τὴν παιδείαν, καὶ εὐφραίνονται τετυχηκότες αὐτῆς, οἱ δὲ ἀστεφάνωτοι, οἱ μὲν ἀπεγνωσμένοι ὑπὸ τῆς παιδείας ἀνακάμπτουσι, κακῶς, καὶ ἀθλίως διακείμενοι. οἱ δὲ, ἀποδεδειλιακότες, καὶ οὐκ ἀναβεβηκότες πρὸς τὴν καρτερίαν, πάλιν ἀνακάμπτουσι, καὶ πλανῶνται ἀνοδίᾳ. αἱ δὲ γυναῖκες αἱ μετ' αὐτῶν ἀκολουθοῦσαι, τίνες εἰσὶν αὗται; λῦπαι ἔφη καὶ ὀδύναι, καὶ ἀθυμίαι, καὶ ἀδοξίαι καὶ ἄγνοιαι. πάντα κακὰ λέγεις αὐτοῖς ἀκολουθεῖν; νὴ δία πάντα ἔφη ἀκολουθοῦσιν. ὅταν δὲ οὗτοι παραγίνωνται εἰς τὸν πρῶτον περίβολον πρὸς τὴν ἡδυπάθειαν, καὶ τὴν ἀκρασίαν, οὐχὶ αὑτοὺς αἰτιῶνται, ἀλλ' εὐθὺς κακῶς λέγουσι, καὶ τὴν παιδείαν, καὶ τοὺς ἐκεῖσε βαδίζοντας, ὡς ταλαίπωροί, καὶ ἄθλιοί εἰσι, καὶ κακοδαίμονες οἱ τὸν βίον τὸν παρ'

exacte nouerat, neq; sciebat inquit aliqd eorũ, quę ibi sed dubitabat, & propter ignorantiã, & errorẽ, quẽ ebiberat, q̃ nõ sunt bona, putabat bona esse, & q̃ nõ sunt mala, mala. I deo & viuebat male, vt alii illic cõmorãtes, nũc ãt assũpta scientia conducibilium, ipseq; bene viuit, & alios specula tur male viuere. Cũ igit̃ speculatus fuerit oĩa, qd facit, vel quo vadit? Quo voluerit inquit. vbiq; enim est ei securitas, sicut corycium antrũ habitanti, & vbiq; quo accesse rit in omnibus bene viuit cum omni securitate, suscipient eni ipsum libenter omnes, sicut medicum patientes. Nunqd igit̃ & illas fœminas, quas dicis bestiolas eẽ nõ ẽt timet nequit patiatur ab ipsis? nihil nõ pturbabit̃, neque a dolore, neque a mœstitia, neq; ab intẽperantia neq; ab aua ritia neq; a paupertate, neq; ab alio malo vllo. omnibus eni dominat̃, & supra omnia est prius ipsum mœstificantia, sicut a vipera morsi. Nam bestiolæ certe omnibus aliis malefacientes vsq; ad mortem illos nõ mœstificãt, qd hñt remedium ipsi hoc, & hũc nihil mæstificat quia habet reme diũ. bñ mihi videris dicere. Sed adhuc hoc mihi dic, q sũt ii, qui videntur illinc a colle proficisci. & qui eorum coronati sunt præseferũt lętitiã quãdã, sed q icoronati sunt hi quidem desperata re & tibias & capita videntur attriti. tenẽtur. n a mulierib⁹ quibusdã? Qui coronati sunt salui facti sunt a disciplina. & exultant assecuti ipsam, sed q incoronati sunt, hi quidem qa desperarũt a disciplina redeunt, male, & misere affecti, hi vero interriti, & profecti ad constantiam, rursus reflectunt, & errant via. sed mulieres post eos sequentes, quæ, sũt hę? tristitię inqt, & dolores, & anxietates, & ignominię, & ignorãtiæ Omnia mala dicis eos sequi. Ita p Iouẽ inqt sequunt̃. Cum igitur hi peruenerint ad primum ambitum ad voluptatẽ, & incontinentiã, non se ipsos accusant, sed statim maledicunt & de disciplina, & de illuc accedẽtibus, qd calamitosi, & miseri sunt, & infelices, qui vita quæ apud

καὶ τοὺς ἀπολιπόντες, κακῶς ζῶσι, καὶ οὐκ ἀπολαύουσι τῶν παρ' αὐτοῖς ἀγαθῶν. ποῖα δὲ λέγουσιν ἀγαθὰ εἶναι; τὴν ἀσωτίαν, καὶ τὴν ἀκρασίαν, ὡς εἴποι ἄν τις ἐπὶ κεφαλαίου. τὸ γὰρ εὐωχεῖσθαι βοσκημάτων τρόπον, ἀπόλαυσιν μεγίστων ἀγαθῶν ἡγοῦνται εἶναι. αἱ δὲ ἕτεραι γυναῖκες αἱ ἐκεῖθεν παραγιγνόμεναι ἱλαραί τε καὶ γελῶσαι, τίνες καλοῦνται; δόξαι ἔφη. καὶ ἀγαγοῦσαι πρὸς τὴν παιδείαν τοὺς εἰσελθόντας πρὸς τὰς ἀρετὰς, ἀνακάμπτουσιν, ὅπως ἑτέρους ἀγάγωσι, καὶ ἀναγγείλωσιν ὅτι εὐδαίμονες ἤδη γεγόνασιν, οὓς τότε ἀπήγαγον. πότερον οὖν ἔφην ἐγὼ αὗται εἴσω πρὸς τὰς ἀρετὰς εἰσπορεύονται; ἔφη οὔ. οὐ γὰρ θέμις δόξαν εἰσπορεύεσθαι πρὸς τὴν ἐπιστήμην, ἀλλὰ τῇ παιδείᾳ παραδιδόασιν αὐτούς. εἶτα ὅταν ἡ παιδεία παραλάβῃ, ἀνακάμπτουσιν αὗται πάλιν ἄλλους ἄξουσαι. ὥσπερ αἱ νῆες τὰ φορτία ἐξελόμεναι πάλιν ἀνακάμπτουσι, καὶ ἄλλων τινῶν γεμίζονται. ταῦτα μὲν δὴ καλῶς μοι δοκεῖς ἔφην ἐξηγεῖσθαι, ἀλλ' ἐκεῖνο οὐδέπω ἡμῖν δεδήλωκας, τί προστάττει τὸ δαιμόνιον τοῖς εἰσπορευομένοις εἰς τὸν βίον ποιεῖν. θαῤῥεῖν ἔφη. διὸ καὶ ὑμεῖς θαῤῥεῖτε, πάντα γὰρ ἐξηγήσομαι, καὶ οὐδὲν παραλείψω. καλῶς λέγεις ἔφην ἐγώ. ἐκτείνας οὖν τὴν χεῖρα πάλιν, ὁρᾶτε ἔφη τὴν γυναῖκα ἐκείνην, ἣ δοκεῖ τυφλή τις εἶναι, καὶ ἐπὶ λίθου στρογγύλου ἑστάναι, ἣν καὶ ἄρτι ὑμῖν εἶπον, ὅτι τύχη καλεῖται; ὁρῶμεν. ταύτῃ κελεύει ἔφη μὴ πιστεύειν, καὶ βέβαιον μηδὲν πιστεύειν, μὴ δὲ ἀσφαλὲς ἔχειν ὅ,τι ἂν παρ' αὐτῆς λάβῃ τις, μὴ δὲ ὡς ἴδια ἡγεῖσθαι. οὐδὲν γὰρ κωλύει ταῦτα πάλιν ἀφελέσθαι, καὶ ἑτέρῳ διδόναι. πολλάκις γὰρ τοῦτο εἴωθε ποιεῖν. καὶ διὰ ταύτην οὖν τὴν αἰτίαν, κελεύει πρὸς τὰς ἑαυτῆς δόσεις, ἥττους γίγνεσθαι, καὶ μήτε χαίρειν, ὅταν διδῷ, μήτε ἀθυμεῖν, ὅταν ἀφέληται; καὶ μήτε ψέγειν αὐτὴν, μήτε ἐπαινεῖν. οὐδὲν γὰρ ποιεῖ μετὰ λογισμοῦ, ἀλλ' εἰκῆ, καὶ ὡς ἔτυχε πάντα, ὥσπερ πρότερον ὑμῖν ἔλεξα. διὰ τοῦτο οὖν, τὸ δαιμόνιον κελεύει, μὴ θαυμάζειν, ὅ, τι ἂν πράττῃ αὕτη, μὴ δὲ γίγνεσθαι ὁμοίους τοῖς κακοῖς τραπεζίταις. καὶ γὰρ ἐκεῖνοι, ὅταν μὲν λάβωσι τὸ ἀργύριον παρὰ τῶν ἀνθρώπων, χαίρουσι, καὶ ἴδιον νομίζουσιν εἶναι. ὅταν δὲ ἀπαιτῶνται, ἀγανακτοῦσι, καὶ δεινὰ οἴονται πεπονθέναι, οὐ μνημονεύοντες, ὅτι ἐπὶ τούτῳ ἔλαβον τὰ θέματα, ἐφ' ᾧ οὐδὲν κωλύει τὸν θέμενον πάλιν κομίσασθαι. ὡσαύτως τοίνυν κελεύει ἔχειν τὸ δαιμόνιον καὶ πρὸς τὴν παρ' αὐτῆς δόσιν, καὶ μνημονεύειν, ὅτι τοιαύτην

ipsos est, relicta, male viuunt, & nõ fruuntur q̃ apud ipsos
sunt, bonis. Quæ autem dicunt bona esse? luxuriam, & in-
temperantiã, vt dixerit quispiã in summa. nã conuiuari pecu
dũ more fruitionẽ maximorũ bonorũ existimant esse. sed
illę mulieres illuc accedẽtes lætę'q́, & ridẽtes, quæ vocan-
tur? opiniones inquit, & ductis ad disciplinam ingressis
ad virtutes, redeunt, vt alios adducant, & annun-
tient q̄ felices iam facti sunt, quos olim adduxerãt. Nun-
quid igitur inquam ego hæ intro ad virtutes ingrediũtur?
inqt nõ, nõ licet. n. opinionẽ ingredi ad sciẽtiã, sed discipli
næ tradunt eos. hinc cum disciplina accepit, retrocedunt
hę rursus alios adducturæ. sicut naues oneribus exonera
tæ rursus redeunt, & aliis quibusdam implentur. hæc qui-
dem bene mihi videris inq̃ exposuisse. Sed illud nõdũ no
bis declarasti. Quid iubet numen ingredientibus in vi
tam facere. Confidere inqt. quare & vos confidite. Oĩa. n.
exponam, & nihil relinq̃. bñ dicis inq̃ ego. extensa igiẽ ma
nu iterũ, videte inqt mulierẽ illã, quæ videẽ cæca quædã
eẽ, & in lapide rotũdo insistere, quã & nup vobis dixi q̄ for
tuna vocaẽ? videm⁹. Huic iubet inqt nõ credere, & firmũ
nihil credere, neq; tutũ habere qd ab ea acceperit qs, neq;
vt ꝓpria existimare. nihil. n. prohibet hęc rursus auferre, &
alii tradere. Sępe enim hoc solet facere, & ob hanc igitur
causam iubet eius munera paruipendenda eẽ, & neq; gau-
dere, cũ tradiderit, neq; tristari cũ abstulerit, & neq; vitupe
rare se, neq; laudare. nihil. n. facit cũ ratione, sed temere &
vt contigit omnia, vt prius vobis dixi. ob hoc igiẽ numen
iubet, non admirari quid nam faciat ipsa, neq; esse similes
malis numulariis, nam illi cum acceperint argen-
tum ab hominibus, gaudent, suum esse arbitrantur, cum
vero repetunẽ, ægre ferũt, & mala putant se passos, nõ me
mores, q̄ ob id susceperũt depositũ, quo nihil prohiberet
eũ, qui deposuit rursus referre. pari mõ igiẽ iubet affectos
esse genius ad eius etiam munus & meminisse q̄ talem

ἔχει φύσιν ἡ τύχη· ὥστε ἃ δέδωκεν, ἀφελέσθαι, καὶ ταχέως πάλιν δοῦναι πολλαπλασία, αὖθις δὲ μόνον ἀφελέσθαι, ἃ δέδωκεν, οὐ μόνον δέ, ἀλλὰ καὶ τὰ προϋπάρχοντα. ἃ γοῦν δίδωσι κελεύει λαμβάνειν παρ' αὐτῆς, καὶ συντόμως ἀπελθεῖν ἔχοντα πρὸς τὴν βεβαίαν, καὶ ἀσφαλῆ δόσιν. ποίαν ταύτην ἔφην ἐγώ; ἣν λήψονται παρὰ τῆς παιδείας, ἢν διασωθῶσιν ἐκεῖ. αὕτη οὖν τίς ἐστιν; ἡ ἀληθὴς ἐπιστήμη ἔφη τῶν συμφερόντων, καὶ ἀσφαλὴς δόσις, καὶ βεβαία, καὶ ἀμετάβλητος. φεύγειν οὖν κελεύει συντόμως πρὸς ταύτην, καὶ ὅταν ἔλθωσι πρὸς τὰς γυναῖκας ἐκείνας, ἃς καὶ πρότερον εἶπον, ὅτι ἀκρασία καὶ ἡδυπάθεια καλοῦνται, καὶ ἐνταῦθεν κελεύει συντόμως ἀπαλλάττεσθαι, καὶ μὴ πιστεύειν, μηδὲ ταύταις μηδέν. ἕως ἂν πρὸς τὴν ψευδοπαιδείαν ἀφίκωνται. κελεύει οὖν αὐτοῖς χρόνον τινὰ ἐνδιατρῖψαι, καὶ λαβεῖν ὅτι ἂν βούλωνται παρ' αὐτῆς, ὥσπερ ἐφόδιον. εἶτα ἐνταῦθεν ἀπιέναι πρὸς τὴν ἀληθινὴν παιδείαν συντόμως. ταῦτ' ἐστὶν ἃ προστάσσει τὸ δαιμόνιον. ὅς τις τοίνυν παρ' αὐτὰ τι ποιεῖ, ἢ παρακούει, ἀπόλλυται κακὸς κακῶς. ὁ μὲν δὴ μῦθος ὦ ξένοι, ὁ ἐν τῷ πίνακι, τοιοῦτος ἡμῖν ἐστιν. εἰ δὲ δεῖ τι προσπυθέσθαι περὶ ἑκάστου τούτων, οὐδεὶς φθόνος· ἐγὼ γὰρ ὑμῖν φράσω. καλῶς λέγεις ἔφην ἐγώ. ἀλλὰ τί κελεύει αὐτοὺς τὸ δαιμόνιον λαβεῖν παρὰ τῆς ψευδοπαιδείας; ταῦθ' ἃ δοκεῖ ἄχρηστα εἶναι. ταῦτ' οὖν τίνα ἐστί; γράμματα ἔφη, καὶ τῶν ἄλλων μαθημάτων ἃ καὶ πλάτων φησίν, ὡσανεὶ χαλινοῦ τινος δύναμιν ἔχειν τοῖς νέοις, ἵνα μὴ εἰς ἕτερα περισπῶνται. πότερον δὲ ἀνάγκη ταῦτα λαβεῖν εἰ μέλλοι τις ἥξειν πρὸς τὴν ἀληθινὴν παιδείαν, ἢ οὔ; ἀνάγκη μὲν οὐδεμία ἔφη. χρήσιμα μέντοι ἐστὶ πρός, δὲ τὸ βελτίους γενέσθαι οὐδὲν συμβάλλεται ταῦτα. οὐδὲν ἄρα λέγεις ταῦτα χρήσιμα εἶναι, πρὸς τὸ βελτίους γενέσθαι ἄνδρας; ἔστι γὰρ καὶ ἄνευ τούτων βελτίους γενέσθαι. ὅμως δὲ οὐκ ἄχρηστα καὶ ταῦτά ἐστιν, ὡς γὰρ δι' ἑρμηνέως συμβαλλόμεθα τὰ λεγόμενά ποτε, ὅμως μέντοι γε, οὐκ ἄχρηστον ἣν καὶ ἡμᾶς αὐτοὺς τὴν φωνὴν ἀκριβεστέραν ἔχειν ἄν τι συνήκαμεν, οὕτω καὶ ἄνευ τούτων μαθημάτων, οὐδὲν κωλύει γενέσθαι. πότερον οὐδὲν προέχουσιν οὗτοι οἱ μαθηματικοί, πρὸς τὸ βελτίους γενέσθαι τῶν ἄλλων ἀνθρώπων, πῶς μέλλουσι προέχειν, ἐπειδὰν φαίνονται ἠπατημένοι, περὶ ἀγαθῶν, καὶ κακῶν, ὥσπερ καὶ οἱ ἄλλοι. καὶ ἔτι κατεχόμενοι ὑπὸ πάσης κακίας. οὐδὲν γὰρ κωλύει εἰδέναι μὲν γράμματα, καὶ κατέχειν τὰ μαθήματα πάντα, ὁμοίως δὲ

hēt naturā fortuna, vt quę tradidit trāsferat, & stati rursū p̄beat multiplicia. Interdū āt solū auferat, q̄ dedit, nō solū ēt sed & quæ prius erāt. quę igitur dederit, iubet accipere ab ipsis, & breuiter abire habentem ad firmum & tu tū donū. Quodnā hoc inq̄ ego? qđ acceperint ab eruditiōe si salui fuerint illic. Ipsa ergo quę nam est? vera sciētia inqt cōducibiliū, & securum donum, & firmum, & immutabile. fugere igitur iubet confestim ad ipsam, & cum ierint ađ mulieres illas, quas & prius dixi, ꝙ incōtinētia, & voluptas vocantur, & hinc iubet statim discedere, & non credere ipsis aliquid, donec ad falsam disciplinam venerint. iubet itaq; ipsis tēpus quoddā immorari, & accipe qcqd voluerint ab ipsa tanq̄ viaticum. deinde hinc abire ad veram eruditionē illico. hæc sunt q̄ iubet genius. quicūq; igitur præter hæc aliquid facit, vel obaudit, perit malus male fabula tn̄ o hospites, q̄ in tabula, talis nobis ē. si āt oportet aliqd pcūctari e singulis his nulla inuidia. ego. n. vobis dicā bn̄ dicis inq̄ ego. sed quid iubet ipsos genius accipere a falsa disciplina? hęc q̄ videnť vsu digna esse. hæc igiť q̄ sunt? literę inqt, & alię disciplinę quas & Plato dicit sicut freni cuiuspiā potestatem habere iuuenibus, ne ad alia vertantur. Vtrum autem necesse hæc accipere si debet quis ire ad verā disciplinā an nō? necessitas qdē nulla inqt, vtilia tn̄ sunt, sed vt meliores fiāt, nihil cōferūt hæc. nihil ergo ais hæc vtilia esse, vt in meliores euadant viros. licet enim & sine ipsis meliores euadere, tamē nō inutilia & illa sunt, sicut enim per interpretem coniicimus dicta aliqn̄, tn̄ non inutile erat & nosipsos vocem diligentiorem hēre siqdē pceperimus, sic & sine his mathematicis nihil prohibebit fieri. nunquid nihil excellunt isti mathematici, vt meliores fiāt aliis hominibus? Quonā mō possūt excellere, cum videantur decepti de bonis, & malis, sicut & alii, & etiā detenti ab omni prauitate. Nihil enim prohibet scire quidem literas, & tenere disciplinas oēs, similiter autem

μέθυσον, καὶ ἀκρατῆ εἶναι, καὶ φιλάργυρον, καὶ ἄδικον, καὶ προδό-
την, καὶ τὸ πέρας ἄφρονα. ἀμέλει πολλοὺς τοιούτους ἐστὶν ἰδεῖν. πῶς
οὖν οὗτοι προέχουσιν ἔφη εἰς τὸ βελτίους ἄνδρας γενέσθαι, ἕνεκα τού-
των τῶν μαθημάτων. οὐδαμῶς φαίνεται ἐκ τούτου τοῦ λόγου. ἀλλὰ
τί ἐστιν ἔφην ἐγὼ τὸ αἴτιον; ὅτι ἐν τῷ δευτέρῳ περιβόλῳ, διατρίβουσιν
ὥσπερ ἐγγίζοντες πρὸς τὴν ἀληθινὴν παιδείαν. καὶ τί τοῦτο ὠφε-
λεῖ αὐτοὺς ἔφην. ὅταν πολλάκις ἐστὶν ἰδεῖν παραγιγνομένους ἐκ τοῦ πρώ-
του περιβόλου ἀπὸ τῆς ἀκρασίας, καὶ τῆς ἄλλης κακίας εἰς τὸν
τρίτον περίβολον πρὸς τὴν παιδείαν τὴν ἀληθινήν, οἳ τούτους τοὺς μαθη-
ματικοὺς παραλλάττουσιν. ὥστε πῶς ἔτι προέχουσιν, ἄρα ἢ ἀκινητότε-
ροι, ἢ δυσμαθέστεροι εἰσί. πῶς ἔφην τοῦτο ἐγώ; ὅτι ἐν τῷ δευτέρῳ περι-
βόλῳ εἰ μηδὲν ἄλλο, ὃ προσποιοῦνταί γε εἴσασθαι, οὐκ οἴδασιν, ἕως
δ' ἂν ἔχωσι ταύτην τὴν δόξαν, ἀκινήτους αὐτοὺς ἀνάγκη εἶναι πρὸς
τὸ ὁρμᾶν πρὸς τὴν ἀληθινὴν παιδείαν. εἶτα τὸ ἕτερον οὐχ ὁρᾷς; ὅτι καὶ
αἱ δόξαι ἐκ τοῦ πρώτου περιβόλου εἰσπορεύονται πρὸς αὐτοὺς ὁμοίως. ὥσ-
τε οὐθὲν οὗτοι ἐκείνων βελτίους εἰσίν, ἐὰν μὴ καὶ τούτοις συνῇ μεταμέ-
λεια καὶ πεισθῶσιν ὅτι οὐ παιδείαν ἔχουσι, ἀλλὰ ψευδοπαιδείαν δι' ἧς
ἀπατῶνται, οὕτω διακείμενοι, οὐκ ἄν ποτε σωθεῖεν. καὶ ὑμεῖς, τοίνυν ὦ
ξένοι ἔφη, ἐὰν μὴ οὕτω ποιεῖτε, καὶ ἐνδιατρίβητε τοῖς λεγομένοις μέχρις
ἂν ἕξιν λαβεῖν, ἀλλὰ περὶ τῶν αὐτῶν πολλάκις δεῖ ἐπισκοπεῖν, καὶ μὴ
διαλείπειν. τὰ δὲ ἄλλα πάρεργα ἡγήσασθαι, εἰ δὲ μή, οὐδὲν ὄφελος ἔσται
ὧν νῦν ἀκούετε, ποιήσομεν. τοῦτο δὲ ἐξήγησαι πῶς οὐκ ἔστιν ἀγαθὰ ὅσα
λαμβάνουσιν οἱ ἄνθρωποι παρὰ τῆς τύχης, οἷον τὸ ζῆν. τὸ ὑγιαίνειν. τὸ
πλουτεῖν. τὸ εὐδοξεῖν, τὸ τέκνα ἔχειν. τὸ νικᾶν, καὶ τὰ λοιπά, ὅσα τού-
τοις παραπλήσια, ἢ πάλιν, τὰ ἐναντία πῶς οὐκ ἔστι κακά; πάνυ γ' ἡμῖν
παράδοξον καὶ ἄπιστον δοκεῖ τὸ λεγόμενον. ἄγε τοίνυν. πειρῶ ἔφη ἀπο-
κρίνασθαι τὸ φαινόμενον περὶ ὧν ἄν σε ἐρωτῶ. ἀλλὰ ποιήσω τοῦτο ἔ-
φην ἐγώ. πότερον οὖν κἂν κακῶς τις ζῇ, ἀγαθὸν ἐκείνῳ τὸ ζῆν. οὔ μοι δο-
κεῖ, ἀλλὰ κακὸν ἔφην ἐγώ. πῶς οὖν ἀγαθόν ἐστι τὸ ζῆν ἔφη, εἴπερ τούτῳ
ἐστὶ κακόν; ὅτι τοῖς μὲν κακῶς ζῶσι, κακόν μοι δοκεῖ εἶναι. τοῖς δὲ καλῶς
ἀγαθόν. καὶ κακὸν ἄρα λέγεις τὸ ζῆν, καὶ ἀγαθὸν εἶναι; ἔγωγε. μὴ οὖν ἀπι-
θάνως λέγε. ἀδύνατον γὰρ τὸ αὐτὸ πρᾶγμα, καὶ κακόν, καὶ ἀγαθὸν εἶναι.
οὕτω μὲν γὰρ καὶ ὠφέλιμον, καὶ βλαβερὸν ἂν εἴη, καὶ αἱρετόν, καὶ φευ-
κτὸν ἅμα ἀεί. ἀπίθανον μέν. ἀλλὰ πῶς, εἰ τὸ κακῶς ζῆν, ᾧ ἂν ὑπάρχοι

ebriũ, & intẽperantẽ eſſe, & auarũ, & iniuſtum, & prodito-
rẽ, & tãdẽ inſipiẽtẽ. pfecto multos tales licet videre. quo
modo igit̃ hi excellunt inquit, vt meliores viri fiant grã ha
tum diſciplinarũ? non videt̃ ex hac ratione, ſed quæ eſt
inquam ego causa? quia in ſecundo ambitu verſantur tan
quam appropinquãtes ad veram diſciplinam. & quid hoc
iuuat ipſos inq̃? cũ ſæpe licet videre peruenientes ex primo
ambitu ab incontinentia, & alia malitia ad tertium ambitũ
ad diſciplinam veram qui hos mathematicos p̃tereunt.
Igitur quomodo etiam excellunt, vtiq; vel immobiliores,
vel indociliores ſunt? quõ inquã hoc ego? qm̃ in ſcdo am
bitu ſi nihil aliud. quod ſimulãt ſcire, neſciunt, donec hñt
hanc opinionẽ immobiles eos neceſſe eſt eſſe, vt proruãt
ad verã diſciplinã. deinde aliud nõ vides, quod & opinio
nes ex primo ambitu ingrediuntur ad ipſos ſimiliter, quare
nihil hi illis meliores ſunt, niſi & his inſit pœnitẽtia, & per
ſuadeant̃ q nõ diſciplinã hñt, ſed falſam doctrinã, ob q̃ de
cipiunt̃, ſic affecti nũq̃ ſalui eẽnt, & vos igit̃ o hoſpites inqt
niſi ſic feceritis, & imorati fueritis dictis, donec habitũ acce
peritis, ſed de ipſis ſępe oportet ↄſiderare, & nõ intermitte
re. alia ãt p̃ter rẽ exiſtimare, ſin min⁹, nulla vtilitas erit eorũ
q̃ nũc auditis. faciem⁹. hoc ãt expone, quõ nõ sũt bona q̃
accipiũt hoĩes a fortuna, vt viuere. ſanũ eſſe, diteſcere glo-
rioſum eſſe, filios habere. vincere, & reliqua q̃cũq; his ſimi
lia, vel rurſus cõtraria quõ nõ ſunt mala? valde. n. nobis p̃-
ter opinionẽ & icredibile videt̃ dictũ. age igr̃ enitere inqt
reſpõdere qd videt̃, de qb⁹te interrogabo. ſed faciã hoc in
q̃ ego. nunq d igit̃ ſi male qs viuat, bonũ illi viuere? mihi
nõ videt̃, ſed malũ inq̃ ego. quõ igit̃ bonũ eſt viuere inqt,
ſi ei eſt malũ? qm̃ male qdẽ viuẽtibus malũ mihi videt̃ eẽ,
bñ ãt bonũ, & malũ igit̃ dicis, viuer̃ & bonũ eẽ? ego eqdẽ.
ne ig. t̃ abſurde loquere. impoſsibile. n. eãdẽ rẽ & malã &
bonã eẽ. ſic. n. & vtilis & noxia fuerit, & eligẽda & fugiẽda
ſiml' ſp abſurdũ qdẽ. ſed quõ ſi male viuere cũ affuerit ma

κὰν τι ὑπάρχει αὐτῷ, κακὸν αὐτὸ ἐν τὸ ζῆν ἐστιν. ἀλλ' οὐ τὸ αὐτό ἔφη,
ὑπάρχει τὸ ζῆν τῷ κακῶς ζῆν. ἢ οὔ σοι φαίνεται; ἀμέλει οὐδ' ἐμοὶ
δοκεῖ τὸ αὐτὸ εἶναι. τὸ τοίνυν ζῆν, οὐ κακόν ἐστιν, ἐπεὶ εἰ ἦν κακὸν
τοῖς ζῶσι καλῶς, κακὸν δὴ ὑπῆρχεν. ἐπεὶ τὸ ζῆν αὐτοῖς ὑπῆρχεν, ὅ-
περ ἐστὶ κακόν. ἀληθῆ μοι δοκεῖς λέγειν. ἐπεὶ τοίνυν ἀμφοτέροις συμ-
βαίνει τὸ ζῆν, καὶ τοῖς κακῶς ζῶσι, καὶ τοῖς καλῶς, οὐκ ἂν εἴη οὔτε ἀγα-
θὸν εἶναι τὸ ζῆν, οὔτε κακόν, ὥσπερ οὐδὲ τὸ τέμνειν καὶ καίειν ἐν τοῖς ἀρ-
ρωστοῦσι ἐστὶ νοσερὸν, καὶ ὑγιεινόν. οὐκοῦν οὕτω καὶ ἐπὶ τοῦ ζῆν ἐστι ταῦτα.
σὺ τοίνυν οὕτω θεώρησον πότερον ἂν βούλοιο ζῆν κακῶς, ἢ ἀποθανεῖν κα-
λῶς καὶ ἀνδρείως; ἀποθανεῖν ἔγωγε καλῶς. οὐκοῦν οὐδὲ τὸ ἀποθανεῖν
κακόν ἐστιν, εἴπερ αἱρετώτερον ἐστι πολλάκις τὸ ἀποθανεῖν τοῦ ζῆν. ἔστι ταῦ-
τα. οὐκοῦν ὁ αὐτὸς λόγος καὶ περὶ τοῦ ὑγιαίνειν, καὶ νοσεῖν. πολλάκις γὰρ
οὐ συμφέρει ὑγιαίνειν, ἀλλὰ τοὐναντίον, ὅταν ἡ περίστασις τοιαύτη. ἀλη-
θῆ λέγεις. ἄγε δὴ σκεψώμεθα καὶ περὶ τοῦ πλουτεῖν, οὕτως εἴγε θεωρεῖν
ἐστὶν ὡς πολλάκις ἐστὶν ἰδεῖν ὑπάρχοντα τινὶ πλοῦτον, κακῶς δὲ ζῶντα
τοῦτον καὶ ἀθλίως. νὴ δία πολλούς γε. οὐκοῦν, οὐδὲν τούτοις ὁ πλοῦτος
βοηθεῖ, εἰς τὸ ζῆν καλῶς. οὐ φαίνεται, αὐτοὶ γὰρ φαῦλοί εἰσιν. οὐκοῦν τὸ
σπουδαίους εἶναι, οὐχ ὁ πλοῦτος ποιεῖ, ἀλλὰ ἡ παιδεία. εἰκός γε. ἐκ τούτου
ἄρα τοῦ λόγου ὁ πλοῦτος ἀγαθόν ἐστιν, εἴπερ οὐ βοηθεῖ τοῖς ἔχουσιν
αὐτὸν εἰς τὸ βελτίους εἶναι; φαίνεται οὕτως. οὐ συμφέρει ἄρα ἐνίοις
πλουτεῖν ὅταν μὴ ἐπίστωνται τῷ πλούτῳ χρῆσθαι. δοκεῖ μοι. πῶς οὖν,
τοῦτο ἄν τις κρίνειε ἀγαθὸν εἶναι, ὃ πολλάκις οὐ συμφέρει ὑπάρχειν; οὐ-
δαμῶς. οὐκοῦν εἰ μέν τις ἐπίσταται πλούτῳ χρῆσθαι καλῶς, καὶ ἐμπεί-
ρως, εὖ βιώσεται· εἰ δὲ μὴ, κακῶς. ἀληθέστατά μοι δοκεῖς τοῦτο λέγειν.
καὶ τὸ σύνολον δὲ τὸ τιμᾶν ταῦτα, ὡς ἀγαθὰ ὄντα, ἢ ἀτιμάζειν ὡς
κακὰ, τοῦτο ἐστὶ τὸ ταράττον τοὺς ἀνθρώπους καὶ βλάπτον,
ὅταν τιμῶσί τε αὐτὰ, καὶ οἴονται διὰ τούτων μόνων
εἶναι τὸ εὐδαιμονεῖν. καὶ πάνθ' ὑπομένουσι πράτ-
τουσιν ἕνεκα τούτων, καὶ τὰ ἀσεβέστατα
δοκοῦντα εἶναι, ταῦτα δὲ πά-
σχουσι διὰ τὴν τοῦ ἀγα-
θοῦ ἄγνοιαν.

Τέλος τοῦ κέβητος πίνακος.

lū quod dā inest ipsi, malū ipm viuere est? sed nō idē inqt est viuere, qd male viuere. an nō tibi videt? qppe neq; mihi videt idē eē. ipm igit viuere nō malū ē, qm si eēt malū, viuentibus bñ malū sanè inesset, qa viuere ipsis inesset qd est malū. vera mihi videris dicere. qm igit vtrisq; cōtingit ipm viuere & viuētib⁹ male, & bñ, nō vnq; poterit neq; bonū eē viuere neq; malū, sicut neq; secare & vrere i ęgrotātibus ē morbosum & sanū. igit sic & in ipso viuere sunt hæc. tu igit ita, contēplare vtrū velis viuere male an mori bñ & fortiter. mori ego qdē bene. Igitur neq; mori malum est, cū eligibilius sit sæpenumero mori q̄ viuere. sunt hæc. igit eadē ratio & de ipso valere & ægrotare. sæpe enim nō cōducit valere. sed cōtrariū cū fuerit casus talis. vera dicis. age igit cōsideremus & de diuitiis sic. siqdē cōtēplare licet, vt sępenumero ē videre inesse cuipiā diuitias, male āt viuere hūc & misere. p lcuē multos qdē igit nihil his diuitiæ auxilio sunt ad bñ viuēdū, nō videt. ipsi. n. praui sūt. igit studiosos esse nō diuitiæ faciūt, sed eruditio. verisimile qdē. ex hac igit rōne vbi diuitiæ bonū sunt, si nō iuuant hñtes ipsas, vt meliores sint? videt ita. neq; cōfert igit non nullis ditescere, cū nesciūt diuitiis vti. videt mihi. qūo igitur id quispiā iudicabit bonū eē, qd sępenumero nō cōducit inesse. minime igit. siquis sciat diuitiis vti bñ, & experte, bñ viuet, sin minus, male. verissime mihi videris hoc dicere. & in vniuersum vero, colere hæc, vt bona existentia, aut aspernere, vt mala, hoc est, quod perturbat homines & lædit, cū colantq; ipsa & existiment p hæc sola esse, felicem esse, & omnia consequenter agunt gratia horū, & quæ impiissima videntur esse, hæc autem patiuntur propter boni ignorantiam.

Finis Cebetis Tabulæ.

ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

Ν πάλαι προεκήρυξαν τῶν προφητῶν χορεῖαι, ἀπόστολοι ἐδίδαξαν παρθένον μετὰ τόκον, μάρτυρες ὁμολόγησαν κυρίως θεοτόκον. δεῦτε συμφώνως καὶ ἡμεῖς ὑμνήσωμεν ἀπαύστως, καὶ μεγαλύνωμεν αὐτὴν, ὡς τοῦ θεοῦ μητέρα, καὶ τὴν φωνὴν τοῦ Γαβριὴλ εἴπωμεν τῇ παρθένῳ, χαῖρε χαρᾶς ἡ πρόξενος. χαῖρε. ἀρᾶς ἡ λύσις. χαῖρε Ἀδὰμ ἀνάκλησις, καὶ λύτρωσις τῆς Εὔας. χαῖρε παγκόσμιος χαρά. χαῖρε ἀγγέλων δόξα, καὶ βάθος δυσθεώρητον τοῖς ὀφθαλμοῖς τοῖς τούτων. χαῖρε καθέδρα θαυμαστὴ τοῦ πάντων βασιλέως, καὶ κλίνη, καὶ παλάτιον, καὶ πόκε δροσοφόρε. χαῖρε νεφέλη φωτεινὴ, φέρουσα θεῖον ὄμβρον, καὶ τὰς ψυχὰς ποτίζουσα τῶν σὲ μακαριζόντων. χαῖρε ἡ ῥάβδος Ἀαρὼν, καὶ βάτος ἡ πυρφόρος. χαῖρε ἡ στάμνος ἡ χρυσῆ, ἡ φέρουσα τὸ μάννα, καὶ πλὰξ ἡ θεοχάρακτος, καὶ πύλη κεκλεισμένη. χαῖρε ἡ νέα κιβωτὸς, ἡ σωστικὴ τοῦ κόσμου, καὶ κλίμαξ ἡ οὐράνιος δι' ἧς θεὸς κατῆλθε καὶ τῶν βροτῶν ἐθέωσε τὴν φύσιν ὑπὲρ φύσιν. χαῖρε παντάνασσα σεμνὴ πανύμνητε, παρθένε ἀπείρανδρε, θεόνυμφε, Μαρία, θεοτόκε, ἄσπιλε, παναμώμητε, ἄφθορε, παναγία. χαῖρε ἁγία τράπεζα φέρουσα θεῖον ἄρτον, καὶ τρέφουσα τοὺς εὐσεβῶς σὲ καθομολογοῦντας, καὶ προσκυνοῦντας σχετικῶς, ὡς τοῦ θεοῦ μητέρα. χαῖρε βασίλισσα βροτῶν, δέσποινα τῶν ἀγγέλων, χωρίον τὸ εὐρύχωρον, πλήρωμα τῶν χαρίτων, ἀπηλπισμένων ἡ ἐλπὶς, ῥῶσις τῶν ἀσθενούντων. χαῖρε πεσόντων ἔγερσις, ἀσφάλεια ἑστώτων, ἐκκλησιῶν ὁμόνοια, πατριαρχῶν ἡ δόξα, ἀνάκτων τὸ κραταίωμα, ἰσχὺς τῶν στρατοπέδων, τῶν ἱερέων καλλονὴ, τῶν μοναστῶν τὸ κλέος. χαῖρε λαμπὰς ἡ φωτεινὴ φωτὸς ἀκατασβέστου, πεπλανημένων ὁδηγὲ, τυφλῶν ἡ βακτηρία, τῶν θλιβομένων ἡ χαρὰ ἀδικουμένων ῥύσις. χαῖρε βάθος μυστηρίων τοῦ θεοῦ τῶν ἀποκρύφων. χαῖρε κόρη. χαῖρε πύλη κεκλεισμένη, καὶ πηγὴ ἐσφραγισμένη. χαῖρε σκέπη. χαῖρε χώρα. χαῖρε ὕψος τῶν ἀγγέλων, καὶ κατάπτωσις τῶν δαιμόνων. χαῖρε πάντων ἡ χαρὰ, καὶ ἀντίληψις χαῖρε.

Laudatio in sanctissimam dei genitricem.

Quam quondã prænũciauerũt ꝓphetarũ chori. Apostoli docuerunt virginẽ post ptũ. Martyres cõfessi sũt ꝓprie dei genitricem. agite cõcorditer & nos laudemus ĩcessanter, & magnificemus ipsam, veluti dei matrem & vocem Gabrielis dicamus virgini. Auæ lætitiæ mediatrix. Aue nocumẽti solutio. Aue Adam reuocatio, & redemptio Euæ. Aue vndiq; ornatũ gaudiũ. Aue angelorum gloria, & profunditas difficulter contemplabilis oculis horum. Aue cathedra mirabilis omnium regis, & thorus, & palatium, & vellus roscidũ. Aue nebula lucida, ferens diuinũ imbrẽ, & animas rigans te beatificantium. Aue virga Aaron, & rubus ignifer. Aue vrna aurea ferens manna, & tabula a deo signata, & ianua clausa. Aue noua arca, seruatrix mundi, & scala cœlestis, per quã deus descendit, & mortaliũ deificauit naturã sup naturã. aue oĩum regina, venerabilis, vndiq; laudabilis, virgo, pura dei sponsa, Maria dei genitrix, sine sordibus, sine vlla rephẽsione, icorrupta sanctissima. Aue sctã mẽsa ferẽs diuinũ panem. & nutriens pie te confitentes, & adorantes retentibiliter, vt dei matrem. Aue regina mortalium, domina Angelorũ, Locellus latissima. plenitudo gr̃arum, desperantium spes sanitas ęgrotantium. Aue cadentium excitatio, firmitudo stantiũ, ecclesiarũ cõcordia, patriarcharum gloria, regum fortitudo, vis exercituum, sacerdotum pulchritudo, monachorum gloria. Aue lãpas lucida luminis inextinguibilis, errantium dux, cæcorum baculus tribulatorum lætitia, iniusta patientium liberatrix. Aue profunditas mysteriorũ dei latẽtiũ. Aue virgo. Aue ianua clausa, & fons obsignatus. Aue protectio. Aue regio. Aue altitudo Angelorum, & humiliatio dæmonum, Aue omnium gaudium, & susceptio. Aue

ἡ τεκοῦσα ἐν σαρκὶ τὸν κτίστην τῶν ἁπάντων, καὶ θεὸν, χρυσοῦν
θυμιατήριον, καὶ γέφυρα μετάγουσα τοὺς ἐκ γῆς πρὸς οὐρανόν.
χαῖρε ἰσχύς. χαῖρε τροφή. στολή. ἀντίληψις. δόξα. πνοή.
προστάτις. πορφύρα θεοῦφαντε. στάμνε. ῥάβδε. πόκε. τέμε
κούφη νεφέλη. σὲ μακαριοῦμεν. σὲ δοξολογοῦμεν. σὲ
ὑμνολογοῦμεν, τὴν τιμιωτέραν τῶν χερουβὶμ,
καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σε-
ραφὶμ, τὴν ἀδιαφθόρως θεὸν
λόγον τεκοῦσαν, τὴν ὄν-
τως θεοτόκον, σε με-
γαλύνομεν.

TΕΛΟΣ.

Quæ peperisti in carne conditorẽ omniũ,& deum, aureum thuribulum, & pons traducens terrestres ad cœlum. Aue fortitudo. Aue nutrimẽtũ, stola, protectio, gloria, spũs adiutrix, purpura a dextro vrna, virga, vellus, sectio. leuis nebula, te beatificamus, te glorificamus, te laudamus, te venerabiliorem cherubim, & gloriosiorem incomparabiliter Seraphim, incorrupte deum verbum quæ peperisti. Vere dei genitricem te magnificamus.

FINIS.

De literis græcis, ac diphthongis, & quemad modum ad nos veniant.

De potestate literarum græcarum, & quomodo quis per se discat legere græca verba.

Item quare Christus, & Iesus sic scribimus Xp̃s. IHS.

Cur in Alphabeto y psilon a quibusdam fio dicitur.

Oratio Dominica & duplex salutatio ad Beatiss. Virginē.

Symbolum Apostolorum.

Euangelium diui Ioannis Euangelistæ.

Carmina Aurea Pythagoræ.

Phocylidis Poema ad bene, beateq; viuendum.

Omnia hæc cum interpretatione latina.

Introductio perbreuis ad hebraicam linguam.

Aldus Manutius Romanus Studiosis adoleſcentulis. S. P.D.

NIhil p̃termittere eſt aīus, qđ vtile credamus futurū iis, q grece diſcere cōcupiſcūt, optime'q; ſcire latine. quā obrē græcas literas, ac diphthōgos, earū'q; nomina, & po teſtatē, ac queādmodū in latinū tranſferantur cum exem/ plis ad id accōmodatis annotauimus addidimus ēt abbre uiationes, vt facilius græca legere pdiſcatis. Et qa opæ p̃/ tiū exiſtimauim⁹ſcire vos grece ſalutationē Angeli ad Bea tiſſimā Virginē, exulum'q; filiorū Euæ ad eandē, necnō Di ui Ioānis Euāgeliū. In principio erat verbū. Itē Symbolū Apoſtolorū, hec omnia cū latina interpretatione imprimē da curauim⁹. Addidim⁹ carmina Pythagorę cognomēto, ob ipſorū excellētiā, & diuínas admonitiones, aurea Pho/ cylidis itē præcepta ſanctiss. quē antiquis Ethographis an numerat Iſocrates. quæ ſi placuiſſe cognouero, habeo lon/ ge meliora, maiora'que, quę poſtea Deo fauēte cōdonabū/ tur. Omnē eni vitā decreuimus ad hominū vtilitatē cōſu mere. Deu. eſt mihi teſtis, nihil me magis deſiderare, q̃ p̃/ deſſe hominibus, quod & ante. cta vita noſtra oſtēdit vbi cūq; viximus, & oſtēſurā ſperamus (quādo id volumus) in dies magis, quādiu in hac lachrymarū valle, & plena miſe riæ viuimus. Dabo igitur operā, vt quantū in me eſt, ſemp proſim. nā & ſi qetā, ac trāquillā agere vitā poſſumus, ne gocioſam tñ eligimus, & plenā laboribus. Natus eſt enim homo nō ad voluptates, bono, & docto viro indignas, ſed ad laborē, & ad agendū ſemp aliquid viro dignū. nō tor/ peamus igit̃, nō vitam in ocio, vētri, ſomno'que, & reliquis voluptatibus indulgētes, tranſeamus veluti pecora Nā (vt inquit Cato) Vita hominis ꝓpe'vti ferrū eſt. ferrū ſi exer/ ceas conteritur, ſi nō exerceas, tñ rubigo interficit. ita ſi ſe homo exerceat, conſumitur ſi non exerceat, torpedo plus detrimenti affert, quàm exercitatio. Valete.

Literæ apud græcos sunt quatuor & viginti.
Α α ἄλφα Alpha, a, Β ϐ β Βῆτα Vita.b. Γ γ γ Γάμμα Gamma.g. Δ δ Δέλτα. Delta.d. Ε ε Ἐψιλὸν Epsilon.e. Ζ ζ ζ ζ Ζῆτα Zita.z. Η η η Ἦτα Ita.e.longũ Θ ϑ θ Θῆτα Thita.th. Ι ι ι Ἰῶτα Iota.i. Κ κ Κάππα Cappa.c. Λ λ Λάμβδα Lambda.l Μ μ Μῦ My.m. Ν ν Νῦ Ni.n. Ξ ξ Ξῖ Xi.x. Ο ο Ὀμικρὸν Omicron.o paruũ Π π ϖ Πῖ Pi.p. Ρ ρ ϱ Ῥῶ Rho.r. Σ σ σ ς ς Σῖγμα Sigma.ſ. Τ τ τ Ταῦ Tau.t. Υ υ Ὑψιλὸν Ypsilon.y. Φ φ φ Φῖ Phi.ph. Χ χ Χῖ Chi.ch. Ψ ψ Ψῖ Psi.pſ. Ω ω Ὠμέγα.. Omega.o magnũ.

De diuisione literarum græcarum.

Diuiduntur hæ quatuor & viginti literę in duas parteis, in vocaleis & cõsonãteis. Vocales sunt ſeptem.

α. ε. η. ι. υ. ο. ω.

Diuiduntur ſeptem vocales in treis parteis, in ſemper longas, ſemper breueis, & communeis.

Vocales ſemper longæ duæ.

η ω.

Vocales ſemper breues duæ.

ε. ο.

Vocales communes tres.

α υ ι.

De diphthongis proprie & improprie.

Diphthongi ex vocalibus fiunt. ſunt autem diphthongi proprie & improprie.

Diphthongi proprie ſunt ſex.

αι ἄλφα ἰῶτα. Alpha iota. αυ ἄλφα ὑψιλόν. Alpha ypsilon. ει εἶ ἰῶτα. e iota. ευ ἐ ὖψιλόν. e ypsilon. οι ὂ ἰῶτα. o iota. ου ου ὂ ὖ ψιλόν. o ypsilon.

Diphthongi improprie ſex.

ἄλφα μετὰ τοῦ ἰῶτα ὑπογεγραμμένου. alpha cũ iota ſubſcripto ſic ᾳ ἦτα μετὰ τοῦ ἰῶτα ὑπογεγραμμένου. ita cũ iota ſubſcripto ſic ῃ. ὦ μέγα μετὰ τοῦ ἰῶτα ὑπογεγραμμένου. omega

cum iota subscripto, sic ᾳ. ῦ ψιλὸν μετὰ τοῦ ἰῶτα προσγεγραμμένου idest ypsilon cū iota adscripto sic ῠι. ὦ μέγα ῦ ψιλὸν, idest o mega ypsilon sic ων. ἦτα ῦ ψιλὸν, ita ypsilon sic ηυ.

De consonantibus.

Consonantes sunt decē & septē. β γ δ ζ θ κ λ μ ν ξ π ρ σ τ φ χ ψ Quę diuiduntur in duas parteis in semiuocaleis & mutas.

Semiuocales sunt octo. ζ ξ ψ λ μ ν ρ σ. Rursus semiuocales diuidunť in duas parteis, in duplices, & imutabileis.

Duplices sunt tres. ζ ξ ψ.

Immutabiles quatuor. λ μ ν ρ. Sigma vero remanet semiuocalis.

Mutæ sunt nouē β γ δ κ π τ θ φ χ. quæ secātur in treis parteis. In tenueis. aspiratas. & medias. Tenues sunt tres. κ π τ. Mediæ item tres. β γ δ. Rursus aspiratæ tres. ϑ φ χ. Et sciendum treis tenueis κ π τ. habere suas aspiratas. θ φ χ. Medias vero, β γ δ. Habet enim κ suam aspiratam. χ & mediam γ. π vero habet suam aspiratam, φ & mediam β. τ habet suā aspiratam. ϑ. mediā vero. δ Constituantur autē sic.

Te	κ	Me	γ	Aspi	χ
nu	π	di	β	ra	φ
es	τ.	æ	δ	tæ	ϑ.

Quæ tantā hñt inter se cognationē, vt tenuis sæpe trāseat in suā aspiratā & mediā. Itē aspirata in tenuē, mediam'q;. rursus media in tenuē, atq; aspiratā, qđ facile patet exēplis κ. transit in suam aspiratā. χ in fine dictionis sequēte vocali aspirata, vt. οὐχ οὕτως ἔχει, pro οὐκ ἔχει οὕτως. primū οὐχ hēt χ, qa supra ο est aspiratio. 2m vero. κ. quia sequiť. ε. cū tenui. & πεποίηχ᾽ ὅπερ ἐκέλευσας pro πεποίηκα ὅπερ ἐκέλευσας.

τ trāsit in θ. vt. αἰδεῖ θ᾽ ἁμ θ᾽ ἱερῆα. pro αἰδεῖσθαί τε ἱερῆα. sic in καθέδρα ex κατὰ καὶ ἕδρα abiicit alpha κατὰ θλίψιν, &. τ. trāsit in. ϑ. quia inuenit supra ε. aspirationē. Idem fit in καθέζομαι, καθὸ, ex κατὰ καὶ ἕζομαι, κατὰ καὶ ὅ.

π transit in φ sic ὑφ᾽ ἓν. integrū est. ὑπὸ ἕν, sed κατὰ ἔλλειψιν

it ὑφ' ἐν. & qa π inuenit supra ε aspiratione, tra[nsit] in suam aspiratã φ, & fit ὑφέν. sic ἐφίπτια, ἐξ ἐπὶ καὶ ἵππος ἐφόω, ἐξ ἐπὶ καὶ ὤ. ἐφοράω, ἐκ τοῦ ἐπὶ καὶ ὁράω. sic p quã multa alia. Hanc transmutatione pulchrũ est deprehẽdere ĩ coniugationib. nã idcirco prima coniugatio barytonorũ habet φ aspiratã ante α in ꝑterito, qa ĩ præsenti ẽ vel π tenuis. vel β media vel πτ. vel ipsũ φ. vt λείπω, λέλειφα. λείβω, λέλειφα, τύπτω, τέτυφα. γράφω, γέγραφα. in futuro vero ψ. quæ est πσ. α β π. φ. πτ. in præsenti, vt τύψω pro τύπσω. Eodẽ modo secũda coniugatio barytonorum ideo habet in præterito χ, qa in præsenti est γ media vel κ tenuis vel κτ vel ipsũ χ. vt λέγω, λέλεχα, πλέκω, πέπλεχα, τίκτω, τέτεχα. λέχω, λέλεχα. In futuro vero trãseũt in ξ. qa idẽ est qđ κ tenue, & σ. est.n. ξ. κσ vt. λέξω pro λέκσω. mutãtur etiã aspiratæ in suas tenues in præteritis geminãtibus primã sic. φύω, πέφυκα. χαλέπτω, κεχάλεφα. θαυμάζω, τεθαύμακα, qđ fit ad euitãdã cacophoniã, idest dissonãtiẽ. præterea in ꝑteritis passiuis mediæ ꝓ aspiratis ponuntur ante μαι. γ. n. ponitur ꝓ χ, vt λέλεχα, λέλεγμαι. β pro φ vt τέτυφα deberet esse passiuum preteritum τέτυβμαι, sed quia ante μ nõ admittitur β, transmutatum est β in μ, vt τέτυμμαι pro τέτυβμαι. γέγραμμαι pro γέγραβμαι. Rursus mediæ transeũt in aspiratas sic, λέλεγμαι, ἐλέχθην. γ in χ. τέτυμμαι pro τέτυβμαι, ἐτύφθην β in φ. Item in tenues vt λέλεγμαι, λέλεκται γ in κ. τέτυμμαι pro τέτυβμαι τέτυπται. β in π. id qđ & nos facimus græcas literas in nostras commutãtes, quod paulopost, ubi quonam modo græcæ literæ in nostras transeant, ostendemus.

De potestate literarum omnium, & diphthongorum.

Α. α. facit a, vt ΑΛΛΑ ἀλλὰ allá. ΑΓΑΘΟΣ. ἀγαθὸς Agathos. Β. β facit u, vt ΒΑΡΒΑΡΟΣ. βάρβαρος. varuaros. ΒΑΒΑΙ βαβαὶ vauæ. Γ. γ facit g, vt ΓΕΓΡΑΦΑ. γέγραφα. gegrapha. Δ. δ. facit d vt ΔΑΙΔΑΛΟΣ δαίδαλος. dædalos. Ε. ε. facit e. vt ΕΓΩ, ἐγὼ. ego. Ζ. ζ facit z, vt ΖΑΘΕΟΣ ζάθεος zatheos. Η. η facit i. longum, vt ΦΗΜΗ. φήμη Phimi. Θ. θ. facit th, vt ΘΑΝΑΤΟΣ θάνατος. thanatos. Ι. ι facit i, vt ΙΑΚΧΟΣ ἴακχος iacchos. Κ. κ facit c, vt

ΚΟΡΥΔΩΝ κορύδων corydon. Λ. λ. facit l, vt ΛΑΛΟΣ λάλος lalos. M. μ facit m, vt ΜΟΡΜΩ μορμὼ mormo. N ν facit n, vt ΝΑΙ. ναί. næ. Ξ. ξ facit x, vt ΞΑΝΘΟΤΡΙΞ ξανθότριξ. xanthotrix. O. ο facit o paruum, vt ΟΒΕΛΙΣΚΟΣ ὀβελίσκος. ouelifcos. Π. π. π. facit p, vt ΠΑΠΠΑ πάππα papa. P. ρ. facit r, vt ΡΩΜΗ ῥώμη. rhomi. Σ. σ facit ſ, vt ΣΑΡΞ, σὰρξ ſarx. T. τ facit t, vt ΤΑΛΑΝΤΟΝ τάλαντον talanton. Y. υ facit y, vt ΥΜΝΟΣ ὕμνος hymnos. Φ. φ facit ph, vt ΦΙΛΟΣ φίλος philos. X. χ facit ch, vt ΧΡΙΣΤΟΣ χριστὸς Chriſtos Ψ. ψ facit pſ, vt ΨΙΞ. ψίξ. pſix. ΨΕΛΛΙΖΟΜΑΙ ψελλίζομαι pſellizome. ΨΕ ψὲ pſe. Ω. ω facit o longum, vt ΩΚΑ ὦκα oca ΧΙΤΩΝ χιτὼν chiton.

De poteſtate diphthongorum.

AI. αι facit æ, vt ΑΙΓΙΣ. αἰγὶς ægis. AY. αυ facit af mediū inter b & f vt ΑΥΤΙΚΑ, αὐτίκα aftica. ΑΥΛΗ, αὐλὴ auli. EI ει. facit i lōgū vt ΕΙΣ. εἰς. is. ΕΙΚΩΝ. εἰκὼν icon ΧΕΙΡ χείρ. chir. EY ευ facit ef mediū inter b & f, vt ΕΥΓΕ. εὖγε efge ΘΗΣΕΥΣ θησεὺς thiſeus. οι οι facit i lōgū, vt ΟΙΜΟΙ οἴμοι imi. OY. ου. facit u vocalē lōgā, vt ΟΥΚΟΥΝ, οὐκοῦν ucū.

De poteſtate diphthongorū improprie.

ᾳ cum ι ſubſcripto facit a, vt ἐνταθιοπίᾳ entathiopia. ᾄδω a do
ῃ cum ι ſubſcripto facit i longum, vt τῇ μούσῃ. ti muſi νηρῇδες nirides.

